Bayerische StaatsBibliothek
Münchener DigitalisierungsZentrum Digitale Bibliothek

Zachariae von Lingenthal, Karl Eduard, 1812-1894

Jus Graeco-Romanum

Bd.: 4

Lipsiae 1865

J.rom.f. 154 nc-4
urn:nbn:de:bvb:12-bsb10566410-8

J. rom. F. 154nc

Zachariae

<36605229590014

<36605229590014

Bayer. Staatsbibliothek

JUS GRAECO-ROMANUM.

PARS IV.

ECLOGA PRIVATA AUCTA, ECLOGA AD PROCHIRON MUTATA ET EPANAGOGE AUCTA.

EDIDIT

C. E. ZACHARIAE A LINGENTHAL,

D. J. U. DOMINUS IN GROSSKMEHLEN.

LIPSIAE,

T. O. WEIGEL.

MDCCCLXV.

ECLOGA PRIVATA AUCTA

ECLOGA AD PROCHIRON MUTATA

ET

EPANAGOGE AUCTA.

EDIDIT

C. E. ZACHARIAE A LINGENTHAL,

D. J. U. DOMINUS IN GROSSKMEHLEN.

LIPSIAE,

T. O. WEIGEL.

MDCCCLXV.

BIBLIOTHECA
REGIA
MONACENSIS.

LECTURIS EDITOR S.

Ad exemplum Eclogae Impp. Leonis et Constantini, et Prochiri Impp. Basilii, Constantini ac Leonis, nec non Epanagogae, quae Impp. Basilio, Leonis et Alexandro inscribitur, juris sive prudentes sive studiosi a saec. IX usque ad saec. XIV varia compilaverunt enchiridia sive manualia juris, de quibus pridem disputavi in Prolegomenis ad editionem Prochiri Basiliani (*Ὁ πρόχειρος νόμος.* Heidelbergae apud Mohr. 1837).

Ex his notatu digniora sunt tum E c l o g a p r i v a t a a u c t a, quae non simpliciter ex fontibus probe notis compilata sit, sed varia continet ad crisin juris Justinianei et ad historiam juris Graeco-Romani facientia: tum E c l o g a a d P r o c h i r o n m u t a t a, E p a n a g o g e a u c t a, P r o c h i r o n a u c t u m, quae pro numero Codicum MSS. vel hodie extantium usu apud Graecos tritissima fuisse videntur.

Haec enchiridia typis mandare suasit T. O. Weigel, liberalissimus bibliopola, ut partem IV et V Juris Graeco-Romani a me editi efficerent. Ego vero, quum apographa eorum et collationes e variis Codicibus MSS. ad manus essent, editoris munus lubenter in me suscepi, ut tandem aditus etiam ad hos fontes juris Graeco-Romani cunctis patefieret.

Itaque haec IV pars tibi, benevole lector, praestat primo E c l o g a m p r i v a t a m a u c t a m, deinde E c l o g a m a d P r o c h i r o n m u t a t a m, denique E p a n a g o g e n a u c t a m. Parte autem V P r o c h i r o n a u c t u m continebitur.

Dabam in villa Grosskmehlen apud Ortrand
Kal. Septembribus MDCCCLXV.

ECLOGA PRIVATA AUCTA.

BAYERISCHE STAATS-BIBLIOTHEK MUENCHEN

PROLEGOMENA.

§. 1. Codices MSS.

In Codice bibliothecae publicae Parisiensis graeco 1384, cujus uberiorem notitiam dedi in libello: *Fragmenta versionis graecae legum Rotharis* (Heidelbergae 1835), fol. 79^{b}—95. 148 155. 104 sqq. — ordo nimirum foliorum perversa ligatura turbatus est — extat enchiridium juris, quod Eclogae Leonis et Constantini eam recensionem, quam privatam appellavi, pro fundamento habet, illam tamen plurimis supplementis ita locupletavit, ut non sine ratione Eclogae privatae auctae nomine a me insignita fuerit in *Historiae juris Graeco-Romani delineatione* (Heidelbergae 1839) §. 42 et in editione Eclogae (Lips. 1852) pg. 5.

Idem enchiridium, mutilum tamen, quia folia nonnulla exciderunt, habetur in Codice Vindobonensi jurid. gr. 3. fol. 6—20. Ibi primum fol. 6 est finis praefationis Eclogae et initium tituli primi, fol. 7 est finis tit. V Eclogae privatae auctae. Fol. 7 verso incipit tit. VI Eclogae, quo absoluto fol. 8 verso extat *τί. ϛ΄ ἐκ τοῦ β΄ ἐκλογαδίου περὶ τῶν ἐξ ἀδιαθέτου κ. τ. λ.* i. e. ex Ecloga privata aucta tit. VII. Fol. 9 tit. VIII ejusdem Eclogae privatae mutilus incipit in c. 2 medio. In fine hujus tituli Vindobonensis haec fragmenta addit:

Ἐκ τῆς λζ΄ διατ. τοῦ ιθ΄ τί. τοῦ μη΄ βι. τοῦ κώδ. Ἐάν τις διελέγξῃ ἴδιον προκουράτωρα — (Dig. XLVIII, 19, 38.

Ἐκ τοῦ β΄ βι. τοῦ κώδ. τί. λα΄. Μήτε ἐπίτροπος — (Theod. Nov. 72. §. 1.)

Ἐκ τῆς ϛδ΄ νεαρᾶς διατάξεως. Ὁ χρεωστῶν τοῖς ὀρφανοῖς — (Theod. ib. §. 2.)

Ἐκ τοῦ ε΄ βι. τοῦ κώδ. τί. λε΄. Ἐὰν ὁ ἐπίτροπος — (Theod. ib. §. 3.)

Ἐκ τοῦ ε΄ βι. τοῦ κώδ. τί. λδ΄. Ἐάν τις ἐπίτροπος ἢ κουράτωρ — (Theod. ib. §. 4.)

Ἐκ τοῦ ε΄ βι. τοῦ κώδ. τῆς λζ΄ διατ. Οὐκ ἀδικεῖ τὸν ὀρφανὸν ὁ κηδεμὼν — (Theod. ib. §. 5. 6.)

Ἐκ τοῦ ε΄ βι. καὶ τί. τοῦ κώδ. Ἐὰν προσόδους ἔχῃ — (Theod. ib. § 7.)

Sequitur tit. VIII Eclogae, eique subjectus est tit. IX Eclogae privatae auctae [*Τί. η΄* (sic) *ἐκ τοῦ β΄ ἐκλογαδίου περὶ ἐλευθερίων κ. τ. λ.*]. In fine adjecta sunt fragmenta haec:

Ὁ ἐλεύθερον αἰχμάλωτον ὑπό τινος — ἀνενόχλητος. (Cod. VII, 50, 20.)

Οἱ ἀπελεύθεροι κἂν στρατευόμενοι — ἀποδειχθῇ. (Nov. 78 c. 2. Cf. *Ἀνέκδ.* mea p. 213.)

Ὁ μὴ ὢν δεσπότης — καὶ κατὰ τέχνην ὁμοίως. (Cod. VII, 10, 7.)

Δύο μὲν τῷ δεσπότῃ — ἀγνοοῦντος τοῦ δεσπότου. (Cod. ib.)

Deinde se invicem excipiunt tit. IX Eclogae et tit. X Eclogae privatae auctae, tit. X et tit. XI, tit. XI et tit. XII, tit. XII et tit. XIII, tit. XIII et tit. XIV, tit. XIV et tit. XV. Post lacunam duorum circiter foliorum fol. 17 incipit in Eclogae tit. XVII c. 38, et sequitur tit. XVII Eclogae privatae auctae. Finem facit fol. 20 tit. XVIII (*περὶ διαμερισμοῦ σκύλων*) semel scriptus, quippe utrique Eclogae communis.

§. 2. Indoles et historia.

Ecloga privata aucta saeculo IX debetur.

In Prolegomenis ad editionem Prochiri (Heidelbergae 1837 pg. LII sq.) Eclogam privatam, quae enchiridio, de quo agimus, pro fundamento est, saec. IX exeunti vel potius saeculo X assignavi. Quod si verum esset, Ecloga privata aucta recentiori adeo aetati vindicanda foret. Sed argumenta, quibus conjectura illa de aetate Eclogae privatae nitebatur, debilia sane esse ipse intellexeram.

Hodie, postquam internam juris Graeco-Romani historiam accuratius pertractavi, non dubito, quin Ecloga privata aucta (— et consequenter etiam antiquior illa Ecloga privata —) Basilii Macedonis aetatem antecedat. Utique enim statum juris, qualis ab Iconomachorum tempore usque ad Basilium Macedonem obtinuit, repraesentat, nec novi juris, quod a Basilio ejusque filiis introductum est, vestigia ulla in se continet.

De indole Eclogae privatae auctae sic habe. Videtur esse compositio Eclogae privatae cum aliquo enchiridio alioquin

incognito, quod juris Justinianei elementa exponeret una cum immutationibus, quae sive novellis legibus sive usu fori moribusque introductae essent. Id ipsum enchiridium intelligendum est, sicubi in Ecloga privata aucta aliquod caput τοῦ αὐτοῦ esse dicitur: ad idem plerumque referendi sunt numeri, quos hic illic praeter ordinem Ecloga privata aucta singulis locis praeponit. (Editio numeros continuos praestat: in notis tamen singulares illos numeros adnotavi.) Inter additamenta, quae ex hoc enchiridio ad Eclogam privatam accesserunt, prae ceteris notatu digna sunt:

1. Tit. I c. 3, tit. IV c. 7 in fine, tit. V c. 11, tit. VI c. 6, tit. VII c. 2, tit. VIII c. 2, quae juri Justinianeo non conveniunt, nec tamen ex Ecloga sumta sunt;
2. Tit. II c. 10, quo recentioris Novellae fragmentum contineri videtur.

Reliqua, quae ex illo enchiridio Ecloga privata aucta praestat, juris Justinianei sunt. Et haec quidem aliquando cum jure, quod Ecloga Leonis et Constantini sancitum est, parum consentiunt: quod v. c. ex tit. VII c. 3. 4 facillime intelligitur. Quaeritur igitur, enchiridium illud Ecloga antiquius fuerit nec ne. Qua de re certi quicquam definire non ausim. Si antiquius fuit, Eclogae primum cessisse, postea vero reviviscente paulatim juris Justinianei studio in usum revocatum esse probabile est. Sin post Eclogam confectum esse dicatur, iis profecto temporibus adtribuendum erit, quibus tota νομοθεσία imperatorum Iconomachorum a Graecis ad orthodoxam fidem denuo conversis parvi haberi et jus Justinianeum purum putum in foris et scholis retractari coepit.

Hoc ipso tempore etiam Ecloga privata aucta, sicut diximus, compilata est, et statum juris et jurisprudentiae, qualis tum fuit, egregie illustrat. Sed et posteaquam Basilius Prochiro promulgato enchiridium juris publica auctoritate praeditum juris studiosis largitus fuit, Ecloga illa non magis, quam ipsa Ecloga et Ecloga privata, in manibus verti desiit. Testes sunt Codices MSS., quorum Parisiensis saec. XII, Vindobonensis saec. XIV debetur. Nec minus idem testantur Epitome ad Prochiron mutata et Epanagoge aucta, quarum auctores admodum multa ex Ecloga privata aucta mutuati sunt.

§. 3. Editionis ratio.

Ecloga privata aucta quantum faciat ad historiam juris Graeco-Romani illustrandam, in libro: *Geschichte des Griechisch-*

Römischen Privatrechts (Leipzig 1864) passim exposui, ideoque non indigna videtur, quae typis edatur.

Editioni nostrae pro fundamento est apographum Codicis Parisiensis anno 1835 a memet ipso exaratum, ad quod anno 1837 nonnulla ex Codice Vindobonensi adnotavi. Denique locos in Epitome ad Prochiron mutata et in Epanagoge aucta obvios cum his ipsis libris eorumve apographis a me exaratis contuli, locos ex Ecloga desumtos ad hujus libri editionem a me paratam castigavi, et lacunas nonnullas ex his libris supplevi. In notis id potissimum egi, ut fontem cujusvis loci indicarem: sicubi textum aperte vitiosum levi conjectura emendassem, adnotare supervacaneum esse duxi.

Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος λέων καὶ κωνσταντῖνος πιστοὶ ἐν χριστῷ ἀεισέβαστοι[1] *βασιλεῖς ῥωμαίων.*

ΤΙΤΛΟΣ α'.

Περὶ συστάσεως μνηστείας καὶ λύσεως αὐτῆς.

1. *Συνίσταται μνηστεία χριστιανῶν ἐπὶ τοῖς ἐν πρώτῃ ἡλικίᾳ ἀπὸ ἑπταετοῦς χρόνου καὶ τῇ ἄνω καὶ δευτέρᾳ καὶ τελείᾳ οὖσιν, καὶ μὴ κεκωλυμένοις πρὸς γάμον συνάφειαν, ἔκ τε τῆς τῶν μνηστευομένων ἀρεσκείας καὶ τῆς ἐκ γονέων ἰδίων τε καὶ κηδεμόνων αὐτῶν συνέσεως*[2], *δι' ἀῤῥαβώνων μόνον ἤτοι ὑποβόλων δόσεως, καὶ οὐ δι' ἐπερωτήσεως πρὸς γάμον*[3].

2. *Λύεται ἀζημίως μνηστεία διὰ μονομεροῦς ῥεπουδίου ἐκπομπῆς, ὅτε ἐν τῇ ἐπαρχίᾳ ἢ τόπῳ διάγων ὁ μνηστὴρ εἴσω διετίας μὴ ἕληται τὸν γάμον ποιῆσαι, τῶν χρόνων τῆς ἡλικίας τῆς μνηστῆς πρὸς γάμον μὴ παρεμποδιζόντων*[4]. *ὁμοίως καὶ ἐκ τοῦ ἑνὸς τῶν μνηστευσαμένων ἀποταξαμένου καὶ μονάσαντος, τότε καὶ πάνυ διαισιοῦται*[5].

3. *Τοῦ αὐτοῦ.* — *Ὡσαύτως λύεται ἀζημίως ὁ γάμος*[6], *ὡς ὅτε ὁ εὐτελὴς πλουσίᾳ κόρῃ μνηστεύσηται, μὴ ὑπούσης*[7] *αὐτῇ μητρὸς, μεταμεληθῇ δὲ καὶ πρὸς διάζευξιν ἔλθῃ τῆς μνηστείας. λοιπὸν δὲ καὶ ὅτε κατὰ κοινὴν*[8] *τῶν μνηστευσαμένων ὑπάρχει*[9].

---

[1] Codex: *ἀει.. υτητοι βασιλεῖς ῥωμαίων ἀπὸ τῶν ἰνστιτούτων.* — Caeterum inscriptionem in Codice praecedit index titulorum, qui tamen scribae deberi videtur. [2] Malim *συναινέσεως.* [3] Ecloga I, 1. [4] Cf. Cod. V, 1, 2. [5] Cf. Nov. 123 c. 39. [6] Forte *ἡ μνηστεία.* [7] Codex *ὑπόντος* videbatur habere, ut forte praestet, mox *πατρὸς* pro *μητρὸς* emendare. [8] Nempe deest *ἀρέσκειαν.* Quamquam et *ποινὴν* pro *κοινὴν* legi possit [9] Unde haec sumta sint, nescio.

4. Κεκώλυνται δὲ, ὅσοι ἐκ τοῦ ἁγίου καὶ σωτηριώδους βαπτίσματος ἀλλήλοις προσηνώθησαν, τουτέστιν ἀνάδοχος ἐκ τῆς ἰδίας θυγατρὸς καὶ τῆς αὐτῆς μητρὸς, ὡσαύτως δὲ καὶ ὁ αὐτοῦ υἱὸς ἐκ τῆς αὐτῆς θυγατρὸς καὶ τῆς αὐτῆς μητρὸς, καὶ ὅσοι ἐξ ἑνὸς ἀναδόχου διὰ τοῦ ἁγίου βαπτίσματος ἀνεγεννήθησαν ἀδελφοὶ πνευματικοί. καὶ ὅσοι ἐξ αἵματος συγγενεῖς ἀλλήλοις γνωρίζονται, τουτέστι γονεῖς πρὸς τέκνα, ἀδελφοὶ πρὸς ἀδελφὰς καὶ τὰ τούτων τέκνα, οἱ λεγόμενοι ἐξάδελφοι καὶ οἱ ἐξ αὐτῶν καθόλου γονοί. καὶ οἱ ἐξ ἐπιγαμίας γνωριζόμενοι συγγενεῖς, πατρῷος εἰς προγονὴν, πενθερὸς πρὸς νύμφην, προγονὸς πρὸς μητρυὰν, ἀδελφὸς πρὸς νύμφην ἤγουν γυναῖκα ἀδελφοῦ. ὁμοίως καὶ πατὴρ καὶ υἱὸς πρὸς μητέρα καὶ θυγατέρα, ἢ καὶ δύο ἀδελφοὶ εἰς δύο ἀδελφάς. ἐπὶ τούτοις ἅπασι τοῖς προσώποις μηδὲ μνηστείαν γνωρίζεσθαι [10].

[ΤΙΤΛΟΣ β΄ [1].]

1. Συνίσταται μνηστεία [2] χριστιανῶν, εἴτε ἐγγράφως εἴτε ἀγράφως, μεταξὺ ἀνδρός τε καὶ γυναικὸς, τοῦ εἶναι ἑκατέρων τὴν ἡλικίαν πρὸς συνάφειαν ἡρμοσμένην, τοῦ μὲν ἀνδρὸς ἀπὸ ιε ετοῦς χρόνου, τῆς δὲ γυναικὸς ἀπὸ ιγ ἔτους, ἀμφοτέρων θελόντων μετὰ τῆς τῶν γονέων συναινέσεως [3].

2. Γάμος ἄγραφος συνίσταται ἀδόλῳ συναινέσει τῶν συναλλασσόντων προσώπων καὶ τῶν τούτων γονέων, εἴτε ἐν ἐκκλησίᾳ τοῦτο δι᾽ εὐλογίας ἢ καὶ ἐπὶ φίλοις γνωρισθῇ. ἀλλὰ καὶ οἱοσδήποτε εἰσοικιζόμενος γυναῖκα ἐλευθέραν καὶ καταπιστεύων αὐτῇ τὴν τοῦ ἰδίου οἴκου διοίκησίν τε καὶ περιουσίαν, καὶ ταύτῃ σαρκικῶς συμπλεκόμενος, ἄγραφον συναλλάσσει πρὸς αὐτὴν γάμον. εἰ δὲ ἐξ αὐτῆς μὴ παιδοποιήσας πειραθείη ἐκδιῶξαι αὐτὴν ἐκ τῆς πρὸς αὐτὴν συνοικήσεως, διδόναι αὐτῇ πρὸς τῇ ἀποκαταστάσει τῶν ὡς εἰκὸς ἐνεχθέντων παρ᾽ αὐτῆς πραγμάτων καὶ τὸ τέταρτον μέρος τῆς αὐτοῦ περιουσίας [4]. τοὺς δὲ ἀξιωματικοὺς ἄγραφον συναλλάσσειν γάμον οὐ κελεύομεν.

3. Ἔγγραφος γάμος συνίσταται δι᾽ ἐγγράφου προικῴου συμβολαίου ὑπὸ γ ἀξιοπίστων μαρτύρων κατὰ τὰ παρ᾽ ἡμῶν

---

[10] Ecloga II, 2.

[1] Codex hoc loco tituli inscriptionem non habet, sed perperam infra in media §. 15 collocavit. Cf. not. 24. [2] Lege *γάμος*. [3] Ecloga II, 1.
[4] Ecl. II, 8.

ἀρτίως εὐσεβῶς νομοθετούμενα, ὡς ἐν αὐτῷ ὁμολογεῖν τὸν ἄνδρα τήν τε ἐντελῆ τῆς προικὸς οἰκείωσιν, καὶ ἀδιάτρωτον [5] καὶ ἀμείωτον αὐτῆς παραφυλακὴν καὶ συντήρησιν, μετὰ καὶ τῆς ὡς εἰκὸς παρ' αὐτοῦ ἐν ἐπαυξήσει ἀποχαρισθείσης ποσότητος, ἐγγραφομένου ἐν τῷ παρ' αὐτοῦ ἐκτιθεμένῳ συμβολαίῳ κάσου ἐξ ἀπαιδίας μέρος τέταρτον. τριῶν δηλονότι συμβολαίων μεταξὺ αὐτῶν προερχομένων, δύο μὲν ἀντισυγγράφων τῆς προικὸς ἰσοδυνάμων, τοῦ δὲ ἑτέρου παρὰ τοῦ ἀνδρὸς πρὸς τὴν γυναῖκα ἐκτιθεμένου. καὶ μὴ ἐπερωτᾶσθαι ἢ καταγράφεσθαι παρὰ τοῦ ἀνδρὸς ἰσόμετρον τῆς εἰσαγομένης αὐτῷ προικὸς προγαμιαίαν δωρεάν [6].

4. Καὶ εἰ δεήσει τὴν γυναῖκα παίδων ἄνευ πρὸ τοῦ ἀνδρὸς τελευτῆσαι, δ̄ μοῖραν καὶ μόνον ἐκ πάσης τῆς ὡς εἴρηται ὁμολογηθείσης παρ' αὐτοῦ προικὸς εἰς ἴδιον αὐτοῦ κέρδος ἐγκρατεῖν αὐτὸν, καὶ τὸ ὑπόλοιπον ἥμισυ τέταρτον μέρος τῆς τοιαύτης προικὸς ἢ εἰς τοὺς ἐκ τελευταίας αὐτῆς βουλήσεως κληρονόμους ἀποκαθίστασθαι [ἢ εἰς τοὺς ἐξ ἀδιαθέτου καλουμένους αὐτῆς κληρονόμους ἀποδίδοσθαι]. ἐὰν δὲ ὁ ἀνὴρ πρὸ τῆς ἰδίας γυναικὸς παίδων ἐκτὸς ἀποβιώσει, ὁμοίως πρὸς τῇ ἐντελεῖ ἀποκαταστάσει τῆς ὁμολογηθείσης αὐτῇ προικὸς καὶ τέταρτον μέρος πρὸς τὸ μέτρον τῆς τοιαύτης προικὸς ἐκ τῶν ἐγκαταλειφθέντων τοῦ ἀνδρὸς αὐτῆς παντοίων πραγμάτων ἐν ὀνόματι κάσου εἰς κέρδος οἰκεῖον λαμβάνειν αὐτὴν, καὶ τὴν περιττευομένην ἀνδρῴαν πᾶσαν αὐτῆς ὕπαρξιν ἢ εἰς τοὺς ἐκ τελευταίας αὐτοῦ [βουλήσεως ἢ εἰς τοὺς ἐξ ἀδιαθέτου αὐτοῦ] κληρονόμους περιέρχεσθαι [7].

5. Εἰ δὲ παίδων ὑπόντων ὁ ἀνὴρ πρὸ τῆς οἰκείας γυναικὸς τελευτήσει, τὴν γυναῖκα ἤγουν τὴν τῶν αὐτοῦ τέκνων μητέρα ἐγκάτοχον τῆς τε προικὸς αὐτῆς καὶ ἀνδρῴας ἁπάσης ὑπάρξεως εἶναι, καὶ αὐτὴν πᾶσαν τοῦ οἴκου ποιεῖσθαι φροντίδα τε καὶ διοίκησιν, μὴ δυναμένων τῶν τέκνων αὐτῆς ἀντικαθίστασθαι αὐτῇ ἢ ἐπιζητεῖν παρ' αὐτῆς πατρῴαν ὑπόστασιν, τοὐναντίον μὲν οὖν καὶ πᾶσαν τιμὴν καὶ ὑπακοὴν κατὰ τὴν τοῦ θεοῦ ἐντολὴν ὡς μητρὶ προσαγόντων αὐτῇ. προδήλως ὀφειλούσης αὐτῆς καθὼς πρέπει γονεῦσι τέκνα ἐκπαιδεύειν τε καὶ γαμοστολεῖν καὶ προῖκα ἐπιδοῦναι καθὼς ἂν βουληθῇ. εἰ δὲ συμβῇ αὐτὴν εἰς ἕτερον ἐλθεῖν συνοικέσιον, ἄδειαν ἔχειν τὰ τέκνα αὐτῆς, παρεὰν αὐτὴν καὶ πάντα τὰ πατρῷα αὐτῶν

---

[5] Forte ἀδιάπτωτον. [6] Ecl. II, 3. [7] Ecl. II, 4.

πράγματα ἀνελλιπῶς κομίζεσθαι, τὴν εἰσενεχθεῖσαν παρ' αὐτῆς τῷ πατρὶ αὐτῶν προῖκα καὶ μόνον σὺν τῇ ἀποχαρισθείσῃ παρ' αὐτοῦ ἐν ἐπαυξήσει τῆς προικὸς αὐτῆς δωρεᾷ παρέχοντα αὐτῇ [8].

6. Εἰ δὲ παίδων ὑπόντων ἡ γυνὴ πρὸ τοῦ ἰδίου ἀνδρὸς τελευτήσει, τὸν ἄνδρα αὐτῆς ἤγουν τὸν πατέρα τῶν τέκνων αὐτῶν ἐγκάτοχον τῆς προικὸς αὐτῆς [καὶ τῆς] ἐν ἐξωφέρνοις ἁπάσης αὐτῆς ὑπάρξεως εἶναι ὡς ὑπεξουσίων αὐτῶν [9] προστυγχανόντων, καὶ αὐτὸν τὴν πᾶσαν τοῦ οἴκου ποιεῖσθαι φροντίδα τε καὶ διοίκησιν, μὴ δυναμένων τῶν τέκνων αὐτοῦ ἀντικαθίστασθαι αὐτῷ ἢ ἐπιζητεῖν παρ' αὐτοῦ μητρῷαν ὑπόστασιν, τοὐναντίον μὲν οὖν καὶ πᾶσαν τιμὴν καὶ ὑπακοὴν καθὼς ἁρμόζει γονεῦσι προσαγόντων αὐτῷ κατὰ τὸ γεγραμμένον· ἐν ἔργῳ καὶ λόγῳ τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα ἐπέλθῃ σοι εὐλογία παρ' αὐτῶν· εὐλογία γὰρ πατρὸς στηρίζει οἴκους τέκνων, κατάρα δὲ μητρὸς ἐκριζοῖ θεμέλια· δι' αὐτῶν γὰρ ἐγεννήθησαν, καὶ τί ἀνταποδώσουσιν αὐτοῖς, καθὼς αὐτοὶ ἐκείνοις; ταῦτα γὰρ βεβαιῶν καὶ παῦλος ὁ ἀπόστολος ἔφη· τὰ τέκνα ὑπακούετε τῶν γονέων ὑμῶν ἐν κυρίῳ· τοῦτο γάρ ἐστι δίκαιον· καὶ οἱ γονεῖς μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ἀλλὰ τρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου. εἰ δὲ συμβῇ αὐτὸν εἰς ἕτερον συνοικέσιον περιελθεῖν τῶν τέκνων αὐτοῦ ἀνηλίκων τυγχανόντων, ἀμείωτα παρ' αὐτοῦ τὰ μητρῷα αὐτῶν φυλάττεσθαι πράγματα. εἰ δὲ τῆς ἐννόμου ἡλικίας ταῦτα τυγχάνουσιν, ἀδιασκέπτως τὰ τοιαῦτα αὐτῶν παρέχεσθαι αὐτοῖς πράγματα [10].

7. Εἰ δεήσει τὸν πατέρα ἢ τὴν μητέρα ἄνευ τὸ παρελθεῖν ἕνα ἐξ αὐτῶν εἰς ἕτερον συνοικέσιον τῆς τῶν ἰδίων τέκνων διαγωγῆς χωρισθῆναι, μετὰ τὴν ἐντελῆ τῶν ἰδίων πραγμάτων ἐγκράτησιν καὶ ἑνὸς παιδὸς μοῖραν [λαμβάνειν αὐτὸν] κατὰ τὸν ἀριθμὸν τῶν τέκνων [11].

8. Περὶ ἀποτυχόντων. — Εἰ δὲ τοῦ ἀνδρογύνου περιόντος παίδων ὑπαρχόντων προτελευτήσωσιν οἱ ἐγκάτεροι [12] παῖδες, καὶ μένοντος τοῦ ἀνδρογύνου δεήσει ἕνα τῶν συζύγων λύσεως ἄνευ προτελευτῆσαι συγγενῶν ὑπόντων, εἰς δεύτερον συνοικέσιον, τούτου μὴ ἐρχομένου, τὸ ἥμισυ μέρος τῆς τοῦ προτελευτήσαντος ὑποστάσεως ἐπανέρχεσθαι εἰς τὸν συμμένοντα,

---

[8] Ecl. II, 5. [9] Codex: αὐτῶν ὄντων προστυγχανόντων. [10] Ecl. II, 6.
[11] Cf. Ecl. II, 7. [12] Legendum: ἐγγύτεροι sive ἑκατέρου.

καὶ τὸ ἕτερον ἥμισυ μέρος εἰς τοὺς πλησιάζοντας συγγενεῖς. ἐὰν δὲ οὐχ ὕπεισιν αὐτῷ συγγενεῖς, τὸ αὐτῶν ἥμισυ μέρος εἰς τὸν δημόσιον ἐπανατρέχειν λόγον [13]. εἰ δὲ ἐνδιαθήκως τελευτήσει, τὴν γενομένην παρ' αὐτοῦ διαθήκην φυλάττεσθαι ἀπαράτρωτον. εἰ δὲ μὴ φυλάξῃ τὸν πρῶτον γάμον, ἀλλ' εἰς ἕτερον περιέλθῃ συνοικέσιον, πρὸς τῇ προικὶ αὐτῆς καὶ ἐξ ἀπαιδίας ὀνόματι κάσου τέταρτον μέρος ἐκ τῆς ἀνδρῴας ὑποστάσεως λαμβάνειν.

9. Εἰ δὲ ἀγράφως ἀνδρὶ πρὸς νόμιμον γάμον ἄπορος γυνὴ συναφθῇ, προτελευτῶντος τοῦ ἀνδρὸς παίδων ἄνευ, κομίζεσθαι αὐτὴν ἐκ τῆς ἀνδρῴας ὑποστάσεως μέχρι ι̅ χρυσίου λιτρῶν καὶ μόνον ἐφευρισκομένης τὸ τέταρτον μέρος εἰς κέρδος αὐτῆς ὀνόματι κάσου, καὶ τὰ ὑπολιμπανόμενα ἐκ τῶν ι̅ λιτρῶν μετὰ καὶ τῶν οἷα εἰκὸς ἐπέκεινα τοῦ τοιούτου μέτρου ἐφευρισκομένων ἐγγράφως ἢ ἀγράφως κληρονόμοις ἀποκαθίστασθαι. ἧττον γὰρ τῶν ι̅ λιτρῶν τῆς ἀνδρῴας ὑπάρξεως φαινομένης, καὶ οὕτω τὸ τέταρτον μέρος λαμβάνειν αὐτὴν καὶ μόνον [14].

10. Καὶ ταῦτα μὴ μόνον ἐπὶ τοῖς ἀπὸ τοῦ παρόντος γαμικοῖς συναλλάγμασιν γινομένοις εἰς τὸν ἀεὶ χρόνον συντηρείσθω, ἀλλὰ καὶ ἐπὶ τοῖς πρότερον προελθοῦσιν ἐγγράφως τὸν παρόντα ἡμῖν εὐσεβῆ νόμον κρατεῖν καὶ ἰσχύειν παρακελευόμεθα. σπεύδοντες γὰρ τῇ συνεργείᾳ τοῦ παντοδυνάμου θεοῦ ἡμῶν πάντα σύνδεσμον ἀδικίας διαλύεσθαι, τὴν παροῦσαν σύντομον νομοθεσίαν τοῖς γαμικοῖς ὁρίσασθαι συνείδομεν συναλλάγμασι, διὰ τὸ συμπλοκὰς ἐκ τῶν τέκνων τοῖς γονεῦσιν προσγίνεσθαι χάριν πατρῴων καὶ μητρῴων αὐτῶν πραγμάτων, κἀντεῦθεν γονεῖς πρὸς τέκνα κινεῖσθαι καὶ τέκνα κατὰ γονέων καθίστασθαι, καὶ μάχας καὶ ἐρεσχελίας, δίκας καὶ συντριβὰς μέσον αὐτῶν ἀναφύεσθαι. ἀντὶ γὰρ τῆς προσηκούσης καὶ ἐποφειλομένης ὡς λέλεκται τοῖς γονεῦσι παρὰ τῶν παίδων αἰδοῦς τε καὶ τιμῆς μεγάλαι μᾶλλον φιλονεικίαι καὶ θλίψεις παρὰ τῶν παίδων αὐτοῖς προσεγένοντο, ὡς ἐντεῦθεν παραβάτας αὐτοὺς τῶν ἐντολῶν τοῦ θεοῦ ἀποδείκνυσθαι [15].

11. Περὶ δευτερογαμίας. — Δεύτερος συνίσταται γάμος ἐπὶ τοῖς μὴ κεκωλυμένοις προσώποις εἴτε ἀγράφως εἴτε ἐγγράφως, ἐὰν ὁ ἀνὴρ μόνος ἢ καὶ ἡ γυνὴ ἢ καὶ ἀμφότεροι ἐκ προτέρων ὑπάρχουσι γάμων· καὶ εἰ μὲν παίδων χωρίς,

---

[13] Cf. Ecl. VI, 6. [14] Cf. Ecl. II, 9. [15] Vestigia constitutionis deperditae.

ἀπεριέργως συναλλάσσειν κατὰ τοὺς ἀνωτέρω δηλουμένους τρόπους· ἐπὶ δὲ ἀξιωματικῶν καὶ παγανῶν προδήλως τῆς δευτερογαμούσης γυναικὸς τὸν ἀπὸ καιροῦ τῆς τελευτῆς τοῦ προτέρου ἀνδρὸς παραφυλαξάσης δωδεκαμηνιαῖον χρόνον. εἰ δὲ παῖδες ὕπεισι τῷ δευτερογαμοῦντι ἀγράφως ἢ ἐγγράφως προσώπῳ, μὴ δύνασθαι τὸ συναπτόμενον εἰς δεύτερον συνοικέσιον πλέον ἑνὸς τοῦ ἐκ προτέρων γάμων παιδὸς μοῖραν ἐκ τῆς ἰδίας περιουσίας δωρεῖσθαι, εἴτε ἐν προικὶ ἢ καὶ ἐν ἐγγράφῳ βουλῇ ἢ καθ' ἕτερον οἱονδήποτε τρόπον καταλιμπάνειν. τοὺς δὲ ἐξ αὐτοῦ προερχομένους παῖδας γνησίους γνωρίζεσθαι, καὶ ἅμα τοῖς ἐξ ἑκατέρων γάμων ἀδελφοῖς αὐτῶν τὰ πατρῷα αὐτῶν ἐκ διαθήκης ἢ καὶ ἐξ ἀδιαθέτου κληρονομεῖν δίκαια [16].

12. Ἡ δευτερογαμοῦσα γυνὴ ἔχουσα ἐκ προτέρων γάμων παῖδας, αἰτείτω πρὸ συναλλάγματος τοῦ δευτέρου γάμου ἐπίτροπον τοῖς παισὶν αὐτῆς, καὶ οὕτω συναλλαττέτω. εἰ γὰρ τοῦτο μὴ γένηται, ὑπεύθυνα τὰ αὐτῆς καὶ τοῦ δευτέρου αὐτῆς ἀνδρὸς πράγματα γενήσονται ἐπὶ τῇ ἀποκαταστάσει τῶν ἀνηκόντων τοῖς νέοις πατρικῶν αὐτῶν πραγμάτων [17].

13. *Περὶ ὀρφανῶν πραγμάτων.* — Ἀλλ' οὐδὲ ἐν τῇ πρώτῃ ἡλικίᾳ τελευτώντων τῶν τέκνων αὐτὴ κληρονομήσει. ἡ γὰρ τοῦ τοιούτου παιδὸς προσαρμόζουσα μοῖρα εἰς τοὺς οἰκείους ἐλεύσεται ὁμοπατρίους ἀδελφούς [18].

14. Ἡ δευτερογαμοῦσα γυνὴ πρὸ τῆς συμπληρώσεως τοῦ ἀπὸ τελευτῆς τοῦ προτέρου αὐτῆς ἀνδρὸς ὁρισθέντος δωδεκαμηνιαίου χρόνου ἄτιμος ἔστω, μηδὲν ἀπὸ τοῦ προτέρου ἀνδρὸς κερδαίνουσα [19] ἢ ἐξ ἑτέρου οἱουδήποτε προσώπου κατά τινα φιλοτιμίαν, μήτε δὲ πλεῖον τοῦ τρίτου μέρους τῆς ἰδίας οὐσίας δυναμένη ἐπιδοῦναι τῷ δευτέρῳ ἀνδρί. λύεται δὲ ἡ τοιαύτη αἰτία ἐκ βασιλικῆς ἀντιγραφῆς, τὸ ἥμισυ μέρος τῆς αὐτῆς περιουσίας τοῖς παισὶν αὐτῆς χαριζομένη [20].

15. Λύεται γάμος ἀγράφως ἑνὸς τῶν συνοικούντων τελευτῇ. καὶ εἰ μὲν παίδων [χωρὶς] ἐπὶ διαθήκῃ ὁ εἷς αὐτῶν τελευτήσει, τὰ οἰκεῖα αὐτοῦ διαδέξονται πράγματα οἱ παρ' αὐτοῦ ὁρισθέντες κληρονόμοι, προϋφεξῃρημένου καὶ διδομένου τοῦ τετάρτου μέρους τῆς αὐτοῦ περιουσίας [τῷ περιόντι τῶν ὁμοζύγων προσώπων· εἰ δὲ ἄπαις καὶ ἀδιάθετος, καὶ οὕτω τὸ τέταρτον μέρος τῆς αὐτοῦ περιουσίας] [21] τὸ περιὸν λήψεται

[16] Cf. Ecl. II, 10. [17] Ecl. II, 11. [18] Cf. Dig. XXVI, 6, 2 §. 1 passim. [19] Cf. Ecl. II, 10. [20] Nov. 22 c. 22. [21] Haec addo ex Epitome ad Prochiron mutata, in quam hic locus transscriptus est.

πρόσωπον, καὶ τὸ ἥμισυ τέταρτον οἱ τοῦ τελευτήσαντος συγγενεῖς[22]. εἰ δὲ οὔτε παῖδες οὔτε συγγενεῖς ἔχων ἀδιάθετος τελευτήσει, ὁ μὲν ἀνὴρ τὴν γυναῖκα κληρονομείτω, ἡ δὲ γυνὴ τὸν ἄνδρα, ἀμφότεροι κατὰ τὸ ἥμισυ μέρος τῆς τοῦ προτελευτήσαντος περιουσίας· τὸ δὲ ὑπόλοιπον ἥμισυ μέρος εἰς τὸ δημόσιον ἐπανέρχεσθαι. ὁπότε γὰρ ὁ περιὼν τῶν συζύγων οὔτε παῖδας οὔτε συγγενεῖς ἔχων καὶ αὐτὸς ἀδιάθετος τελευτήσει, ὁ δημόσιος τὸ αὐτοῦ διαδέξεται ὁλοτελῶς πρᾶγμα[23]. εἰ δὲ καί τις ἐκ τῶν συνοικούντων παῖδας ἔχων ἐπ' αὐτοῖς διαθέμενος τελευτήσοι, ἐῤῥώσθω ἡ αὐτοῦ διαθήκη, δηλονότι τοῦ δ̅ μέρους ἀποδιδομένου τῷ περιόντι τῶν συζύγων προσώπῳ[24]. εἰ δὲ ξένα πρόσωπα συνενώσει αὐτοῖς ἐν τῇ τοιαύτῃ διαθήκῃ, μὴ καινοτομεῖσθαι τοὺς παῖδας εἰς τὸ τρίτον μέρος τῆς τοῦ τελευτήσαντος γονέως περιουσίας, δ̅ τὸν ἀριθμὸν ὄντων· εἰ γὰρ ἐπέκεινα τῶν δ̅ ᾖ, [εἰς] τὸ ἥμισυ μέρος[25].

16. *Περὶ τῶν βουλομένων μονάσαι καὶ ἀποταξαμένων*[26]. — Λύεται γάμος ἀγράφως βουλομένων τῶν συνοικούντων μονάσαι. καὶ εἰ μὲν ἀμφότεροι τοῦτο ἐπιλέξωνται, ἀζημίως ὁ γάμος διαλύεται, κἄν τε ὕπεισι παῖδες εἴτε καὶ μή. εἰ δὲ ὁ εἷς τῶν συζύγων ἕληται τὸν τοιοῦτον μοναχικὸν ἀναδέξασθαι βίον, εἰ μὲν παῖδες ὕπεισι τὸν ἀριθμὸν μέχρι γ̅, τὸ τέταρτον τῆς ὅλης οὐσίας αὐτοῦ παρεχέτω τῷ μὴ μονάσαντι προσώπῳ. εἰ δὲ δ̅ καὶ ἐπέκεινα παῖδές εἰσιν, ἑνὸς παιδὸς μοῖραν κατὰ δεσποτείαν εἰς δεύτερον μὴ παρερχομένῳ γάμον· ἐπείτοιγε καὶ τὴν τοιαύτην μοῖραν τοῖς παισὶν ἀποδίδοσθαι. καὶ εἰ μὲν τὸ βουλόμενον μονάσαι πρόσωπον πρὸ ἀποταγῆς τὴν ὑπόλοιπον αὐτοῦ βούλεται διελεῖν τοῖς αὐτοῦ παισὶν ὕπαρξιν, ἢ μὴ ὑπόντων παίδων τοῖς αὐτοῦ γονεῦσιν, ὑπὲρ οἰκείου προσώπου ἓν μέρος ἐγκρατείτω καὶ οὕτως ἀγέτω[27] ἐν ᾧ ἀποτάττεται μοναστηρίῳ. εἰ δὲ μὴ διατυπώσας τὰ καθ' ἑαυτὸν ἀποτάξηται, τότε μετὰ τὴν τελευτὴν αὐτοῦ τὴν νόμιμον μοῖραν ἐκ τῶν καταλιμπανομένων ὑπ' αὐτοῦ πραγμάτων οἱ αὐτοῦ παῖδες λήψονται, μέχρι δ̅ ὄντες τὴν τρίτην μοῖραν, [πλείονες δὲ τὴν ἡμίσειαν· παίδων δὲ μὴ ὑπόντων, ἀλλὰ γονέων, αὐτὴν τὴν γ̅ μοῖραν][28], ὡς εἴρηται, κομίσονται[29].

---

[22] Cf. Ecl. II, 9. [23] Cf. Ecl. VI, 6. [24] Codex hic perperam intercalat: *Τί. β'. περὶ τῶν βουλομένων μονάσαι καὶ ἀποταξαμένων.* Tituli numerus supra fuerat apponendus: rubrica autem §o. 16 praemittenda. [25] Cf. Ecl. V, 7. [26] Cf. not. 24. [27] Forte *τοῦτο εἰσαγέτω.* [28] Haec supleo ex Epitome ad Prochiron mutata, in qua itidem hic locus occurrit. [29] Nov. 123 c. 38. Nov. 22 c. 5.

17. *Περὶ τοῦ μὴ ἰσχύειν μιγῆναι τῇ γυναικὶ αὐτοῦ.* — Λύεται ἀγράφως γάμος, ὁπόταν ἀδυνατήσῃ ὁ ἀνὴρ ἐξ ὑπαρχῆς τοῦ γάμου τῇ οἰκείᾳ μιγῆναι γυναικί. τριετίας γὰρ περαιουμένης καὶ τὰ τοῦ ἀνδρὸς πρὸς αὐτὴν [μὴ] ἀποτελοῦντος, ἀζήμιος ἡ γυνὴ τὸν πρὸς αὐτὸν διαλύει γάμον [30].

18. *Περὶ ἀποχωρισθέντων.* — Λύεται γάμος ἐγγράφως καὶ ἀγράφως, ὅτε οἱ συνοικοῦντες ἐξ ἰδίας ἀρεσκείας ἐπὶ τούτῳ συμφωνήσουσιν. καὶ γὰρ τῷ προσφόρῳ ταβουλαρίῳ ἀβιάστως τὴν ἰδίαν φανεροποιοῦντες γνώμην καὶ πρόφασιν, διὰ τῆς τοῦ ῥεπουδίου ποιήσεως ἀζημίως τὸν πρὸς ἑαυτοὺς διαλύουσι γάμον [31].

19. Λύεται γάμος ἀγράφως βουλομένων τῶν συνοικούντων ἢ ἑνὸς αὐτῶν μονάσαι. κοινῶς μὲν αὐτῶν αἱρουμένων, ἀζημίως τὸν γάμον λύεσθαι· ἑνὸς δὲ αὐτῶν, εἰ μὲν ὁ ἀνὴρ ἀποτάξηται παίδων ὑπόντων αὐτοῖς, εἰς ἕτερον τὴν γυναῖκα μὴ περιερχομένην συνοικέσιον ἐγκάτοχόν τε αὐτὴν γίνεσθαι ἐπὶ τῇ χρηστῇ τῶν παίδων ἀναγωγῇ τῆς τε οἰκείας προικὸς καὶ τῆς ἀνδρῴας ἁπάσης ὑπάρξεως, καθὼς προανατέτακται· εἰ δὲ γυνὴ ἕληται μονάσαι, τὸν ἄνδρα μὴ περιερχόμενον εἰς ἕτερον γάμον, ὡς διατετύπωται, τὰ μητρῷα τῶν τέκνων ἀμείωτα παραφυλάττειν. τοῦ δὲ μονάζοντος προσώπου μέρος τῆς ἰδίας ὑποστάσεως ἐν τῷ μοναστηρίῳ εἰσάγειν βουλομένου, μὴ καινοτομεῖσθαι τὸ νόμιμον μέρος ἤγουν ἐλαττοῦσθαι τὸ τοῖς γνησίοις παισὶν ἐποφειλόμενον ἐκ τῶν γονέων, ἀλλὰ τοῦτο ἀποκαθίστασθαι αὐτοῖς. εἰ δὲ παῖδες οὐχ ὕπεισι τῷ μονάσαντι προσώπῳ, τὸν μὲν ἄνδρα ἐκ τῶν τῆς ἀποταξαμένης γυναικὸς αὐτοῦ προικιμαίων αὐτῆς πραγμάτων τὸ τέταρτον κομίζεσθαι, καὶ τὸ λοιπὸν ἥμισυ τέταρτον αὐτῇ οἰκειοῦσθαι. ὁμοίως καὶ τὴν γυναῖκα τοῦ ἀποταξαμένου ἀνδρὸς τὸ τέταρτον μέρος πρὸς τὸ μέτρον τῆς προικὸς αὐτῆς ἐκ τῆς ἀνδρῴας ὑποστάσεως λαμβάνειν καὶ τὸ ὑπόλοιπον αὐτῷ οἰκειοῦσθαι [32].

20. Λύεται γάμος ἐγγράφως, ὅταν ὁ ἀνὴρ οὐ δύναται μιγῆναι τῇ ἰδίᾳ γυναικὶ, καθὼς προτέτακται [33].

21. Λύεται γάμος ἐγγράφως τε καὶ ἀγράφως μονομερῶς διά τινας ῥητὰς αἰτίας τῆς γυναικὸς τοιαύτας· ἐὰν ἡ γυνὴ ἐπισταμένη συμβουλὴν κατὰ τῆς βασιλείας μὴ φανερώσῃ τῷ ἀνδρί· ἐὰν ἐπιβουλεύσῃ οἱῳδήποτε τρόπῳ τῇ ζωῇ τοῦ ἀνδρὸς,

---

[30] Nov. 22 c. 6. [31] Nov. 140. Nov. 22 c. 4. [32] Nov. 123 c. 38. [33] Nov. 22 c. 6.

ἢ ἐπίσταται ἑτέρου ἐπιβουλεύοντος μηδὲ μηνύσῃ αὐτῷ· ἐὰν ἐξωτικοῖς συμποσιάζῃ ἢ συλλούηται ἀνδράσι ἢ ἐξωτικοῖς παρὰ γνώμην τοῦ ἀνδρός· ὅταν ἱπποδρόμους καὶ θέατρα μὴ βουλομένου τοῦ ἀνδρὸς θεωρεῖ[34].

22. Λύεται γάμος ἐγγράφως καὶ ἀγράφως διά τινας αἰτίας τοῦ ἀνδρὸς τοιαύτας· ἐὰν ὁ ἀνὴρ κατὰ τῆς βασιλείας ἐπιβουλεύσηται ἢ βουλευομένοις συνίστωρ γένηται· ἢ οἱῳδήποτε τρόπῳ ἐπιβουλεύσῃ τῇ ζωῇ τῆς ἰδίας γυναικὸς ἢ ἐπιβουλεύοντας ἰδὼν μὴ μηνύσῃ αὐτῇ· ἢ τῇ σωφροσύνῃ αὐτῆς ἐπιβουλεύσῃ καὶ παραδῷ αὐτὴν μοιχευθῆναι· ἢ ἔγραψε μὲν αὐτὴν μοιχαλίδα, ἀτονήσει [δὲ] παραστῆσαι. ἐπὶ ταύταις ταῖς εἰρημέναις ἐξ ἑνὸς προσώπου κατὰ τοῦ ἑτέρου διὰ ῥεπουδίου ἐγγραφομέναις αἰτίαις, ὁπόταν μίαν ἐξ αὐτῶν ἐνεργεῖν ἀποδειχθῇ εἴτε κατὰ τοῦ ἀνδρὸς εἴτε κατὰ τῆς γυναικὸς, τὸ αἴτιον ἐν μοναστηρίῳ ἐμβάλλεσθαι. καὶ εἰ μὲν ὁ ἀνήρ ἐστι καὶ παῖδας ἔχει, ἐτελέσθησαν δὲ μέσον αὐτοῦ τε καὶ τῆς γυναικὸς αὐτοῦ προικῷα συμβόλαια, λαμβάνειν αὐτὴν τὴν οἰκείαν αὐτῆς προῖκα καὶ ἐκ τῆς ἁπάσης ἀνδρικῆς ὑποστάσεως ὀνόματι τῶν παίδων τὸ δίμοιρον μέρος, δηλονότι μὴ περιερχομένην εἰς ἕτερον συνοικέσιον· περιερχομένης γὰρ τὸ αὐτὸ δίμοιρον μέρος ἀποδίδοσθαι τοῖς παισίν· ὡς τοῦ ἑτέρου τρίτου τῆς ὑποστάσεως αὐτοῦ εἰσαγομένου πρὸς παραγωγὴν αὐτοῦ τῷ μοναστηρίῳ. εἰ δὲ γυνή ἐστιν ἡ τὴν αἰτίαν τῆς λύσεως παρεσχηκυῖα, ὁμοίως παίδων ὑπόντων αὐτῇ τὸ τρίτον μέρος τῆς αὐτῆς ἁπάσης οὐσίας ἐν ᾧπερ ἐμβλήσκεται μοναστηρίῳ εἰς παραγωγὴν αὐτῆς εἰσαγαγέτω, τοῦ διμοίρου δὲ μέρους τῷ ταύτης ἀνδρὶ μὴ δευτερογαμοῦντι ἐπ' ὀνόματι τῶν παίδων αὐτοῦ ἀποκαθισταμένου· εἰς ἕτερον γὰρ καὶ αὐτοῦ περιερχομένου συνοικέσιον, τὸ τοιοῦτον δίμοιρον μέρος τοῖς παισὶν αὐτοῦ ἐν τελείᾳ αὐτῶν ἡλικίᾳ ἀποκαθίστασθαι παρ' αὐτοῦ. εἰ δὲ παῖδες οὐχ ὕπεισιν αὐτῷ, ἔχει δὲ γονεῖς τὸ αἴτιον τῆς λύσεως πρόσωπον, μετὰ τὴν ἀποκατάστασιν τοῦ τετάρτου μέρους τοῦ κάσου τῆς προικὸς ἐκ τῆς λοιπῆς ὑποστάσεως τὸ τρίτον λαμβανέτωσαν οἱ γονεῖς, καὶ τὸ δίμοιρον τῷ μονάσαντι. εἰ δὲ μήτε παῖδες μήτε γονεῖς τοῦ αἰτίου προσώπου εἴτε τοῦ ἀνδρὸς εἴτε τῆς γυναικός εἰσι, τὸ ἐξ ἀπαιδίας τέταρτον μέρος τῆς προικὸς ὀνόματι κάσου τὸ αἴτιον λαμβανέτω πρόσωπον, καὶ τὴν ὑπόλοιπον ὑπόστασιν ἐν τῷ μοναστηρίῳ εἰσάγεσθαι. εἰ δὲ ἄγραφον τὸ

[34] Nov. 117 c. 8.

συνοικέσιον τυγχάνει, ὁ αἴτιος τῆς λύσεως τῷ ἀναιτίῳ προσώπῳ ἐκ πάσης τῆς ἰδίας αὐτοῦ περιουσίας δ̄ μέρος παρεχέτω· ὑπόντων δὲ αὐτῷ τέκνων ἢ γονέων, διαιρείσθω τὴν ὑπόλοιπον αὐτοῦ ὑπόστασιν μεταξὺ αὐτῶν τε καὶ τοῦ μοναστηρίου κατὰ τὴν λεχθεῖσαν διαίρεσιν. χωρὶς δὲ τῶν εἰρημένων προσώπων τε καὶ αἰτιῶν συνοικέσιον μὴ διαλύεσθαι [35].

ΤΙΤΛΟΣ γ΄.

Περὶ τῆς καταγραφείσης προικὸς ἢ καὶ ἀγράφως ἐπαγγελθείσης καὶ μὴ ἐπιδοθείσης, καὶ περὶ τοῦ χρόνου τῆς ἀναργυρίας αὐτῆς, καὶ προνομίου προικός.

1. Ὁ ὁμολογῶν ἐγγράφως ἢ καὶ ἀγράφως ὑποδέξασθαι προῖκα καὶ μετὰ τῆς προικὸς ἐκπληρούμενος πρᾶγμα, μείζων ὢν τῶν κ̄ε̄ ἐτῶν μετὰ διετῆ χρόνον τῆς ἀπολύσεως τῶν προικῴων ἀναργυρίαν προτίθεσθαι οὐ δύναται, ἤγουν ἀποζητεῖν ἀποπληρωθῆναι τὴν τοιαύτην προῖκα, ἐνεχόμενος κατὰ τὴν δύναμιν τῶν κατ᾽ * αὐτοῦ ὁμολογηθέντων. ἥττων δὲ ὑπάρχων, μετὰ τὴν ἐκπλήρωσιν τῶν κ̄ε̄ ἐνιαυτῶν ἐντὸς καὶ ἑτέρας διετίας δύναται ἐπιζητεῖν τὴν μὴ ἐπιδοθεῖσαν αὐτῷ προῖκα κατὰ τὴν αὐτοῦ ὁμολόγησιν. [πληρουμένης γὰρ μετὰ τὸν ἐντελῆ χρόνον τῆς ὁρισθείσης προθεσμίας, μὴ ἔχειν αὐτὸν] ἄδειαν κινεῖν περὶ τὴν ἀναργυρίαν τῆς τοιαύτης ὁμολογηθείσης προικός [1].

2. Τὸ δίκαιον τῆς προικὸς προτετίμηται τῶν τε προτέρων καὶ μετέπειτα τοῦ ἀνδρὸς δανειστῶν, παρὲξ τῶν ἐποφειλομένων τῷ δημοσίῳ ἀπό τε φόρων καὶ ἀρχικῶν ὁμολογήσεων. φαινομένων δὲ καὶ σωζομένων τῶν προικιμαίων πραγμάτων παρὰ τῇ ὑποστάσει τοῦ ἐποφείλοντος τῷ δημοσίῳ, αὐτὰ προαποκαθίστασθαι τῷ μέρει τῆς γυναικὸς ὡς ἰδίων αὐτῆς ὄντων, μὴ συνυπαγομένων τῇ ὑποστάσει τοῦ ἀνδρὸς ἐπὶ ἐκπληρώσει τοῦ εἰρημένου δημοσίου χρέους [2].

3. Εἰ δὲ ὁ δημόσιος οὐ κεχρεώστηται, πάντες οἱ χρεωστούμενοι ἐκ τῆς ὑποστάσεως τοῦ ἀποβιώσαντος προσώπου μετὰ ἀποκαταστάσεως τῆς προικὸς ἀποπληρούσθωσαν [3].

---

[35] Nov. 117 c. 9. ~~10~~ 12. * Legerim παρ᾽.
[1] Cf. Ecl. III, 1. [2] Cf. Ecl. III, 2. [3] Cf. Ecl. ibid.

4. *Μὴ διαρκούσης δὲ τῆς καταλειφθείσης ὑποστάσεως εἰς ἐκπλήρωσιν τῶν τοιούτων ὀφειλημάτων, καὶ εἶθ᾽ οὕτως μετὰ τὴν ἐντελῆ ἀποκατάστασιν τῆς προικὸς τὰ ἐκπεριττευόμενα ἐκτιμᾶσθαι καὶ κατὰ τὸ μέτρον τοῦ ἰδίου χρέους ἕκαστον ἐπιμερίζεσθαι* [4].

ΤΙΤΛΟΣ δ'.

Περὶ δωρεῶν ἁπλῶν ἤγουν ἀπεντεῦθεν ἤδη χρήσεως καὶ δεσποτείας πραγμάτων ἢ δεσποτείας αὐτῶν καὶ μόνον, ἢ μετὰ θάνατόν τισι καταλιμπανομένων.

1. *Ἐγγράφως ἁπλὴ δωρεὰ συνίσταται, ὅτε ὑπὸ τοῦ τελείαν ἄγοντος ἡλικίαν συνταγῇ ἢ ὑπογραφῇ καὶ διὰ πέντε μαρτύρων ἐπὶ τούτοις προσκληθέντων ἐγγράφως μαρτυρηθῇ καὶ ἀπολυθῇ* [1]. *καὶ τὴν τοιαύτην μέχρι πεντακοσίων νομισμάτων δωρεὰν βεβαίαν εἶναι.*

2. *Εἰ δὲ ὑπὲρ τὰ φ̅ νομίσματα τὰ δωρηθέντα εἰσὶν, ἐμφανείας πρᾶξιν ἐπ᾽ αὐτὰ γίνεσθαι ἢ παρὰ τῷ μαγίστρῳ τοῦ κήνσου ἢ κατὰ χώρας διὰ τοῦ ἐκδίκου. εἰ γὰρ πρᾶξις μὴ γένηται, μέχρι τῶν φ̅ νομισμάτων τὴν δωρεὰν ἐῤῥωμένην εἶναι* [2].

3. *Ἄγραφος ἁπλὴ δωρεὰ συνίσταται, ὅτε τὶς τῶν ἐντελῶν ὑπάρχων χρόνων ἐπὶ ε̅ μαρτύρων δωρήσηταί τινα τῶν ἰδίων αὐτοῦ πραγμάτων* [3].

4. *Ἔγγραφος ἁπλὴ δωρεὰ δεσποτείαν καὶ μόνον πραγμάτων παρέχουσά τινι συνίσταται, [ἣ] δηλονότι τῆς χρήσεως αὐτῶν ἐστέρηται, ὅτε [ὁ] δωρησάμενος καὶ ε̅ μάρτυρες ὑπογράψωσιν* [4]· *τῆς ἀνωτέρω δηλουμένης παρατηρήσεως ἐπὶ τῆς ὑπὲρ τὰ φ̅ νομίσματα καὶ ἐπ᾽ αὐτῇ φυλαττομένης.*

5. *Ἡ διὰ προσδοκίαν θανάτου δωρεὰ, ἤτοι μετὰ ἀποβίωσιν τοῦ δωρουμένου τὴν σύστασιν ἔχουσα, γίνεται καὶ αὐτὴ, ὡς ἀνωτέρως δεδήλωται, διά τε τοῦ δωρουμένου καὶ πέντε μαρτύρων ὑπογραφῇ συμπληρουμένη, μὴ δεομένη διὰ πράξεως ὑπομνημάτων ἐμφανείας, ὁσησδήποτε ποσότητος ἐφευρισκομένης τῆς τοῦ δωρησαμένου ὑποστάσεως* [5].

6. *Ἐκ μεταμέλου δὲ τοῦ δωρησαμένου ἡ τοιαύτη πρὸ θανάτου ἀνατρέπεται δωρεὰ, εἰ μήτιγε τὸν μετάμελον ὁ δωρησά-*

---

[4] Cf. Ecl. III, 2.

[1] Ecl. IV, 2. [2] Cf. Cod. VIII, 53, 34 §. 1 et Nov. 162 c. 1. [3] Ecl. IV, 1. [4] Ecl. IV, 3. [5] Ecl. IV, 4.

μενος ῥητῶς ἀπηγόρευσε διά τε τοῦ ὕφους τῆς δωρεᾶς καὶ τῆς αὐτοῦ ὑπογραφῆς [6].

7. Πᾶσα δωρεὰ ἀνατρέπεται διὰ τοιαύτας αἰτίας· εἰ ὁ τὴν δωρεὰν λαβὼν ἀχάριστος περὶ τὸν δωρησάμενον εὑρεθῇ, ἢ τραχείας ὕβρεις ἐπαγάγῃ αὐτῷ, ἢ τύψῃ αὐτὸν, ἢ μεγίστας ζημίας ἐπενέγκῃ αὐτῷ, ἢ ἐπιβουλεύσῃ τῇ ζωῇ αὐτοῦ, ἢ τὰ συμφωνηθέντα, ἐφ' οἷς ἡ δωρεὰ ἐγγράφως ἢ ἀγράφως γέγονε, μὴ πληρώσῃ. μιᾶς γὰρ ἐκ τούτων τῶν αἰτιῶν ἐν δικαστηρίῳ ἀποδεικνυμένης, παρόντων τοῦ δωρησαμένου καὶ τοῦ δεξαμένου τὴν δωρεὰν, ἡ τοιαύτη δωρεὰ ἀνατρέπεται [7]. καὶ ταῦτα εἰ αὐτὸς ὁ δωρησάμενος παρὰ δικαστῇ μέμψηται, ἢ ἐν τελευταίᾳ αὐτοῦ βουλήσει ἐγγράψηται τὴν αἰτίαν· τότε γὰρ διὰ τῶν κληρονόμων αὐτοῦ ἐγγυμνάζεσθαι τὴν τοιαύτην αἰτίαν. ἐπισιωπῶντος δὲ τοῦ δωρησαμένου ἡ τοιαύτη ἀσάλευτος μενέτω δωρεά [8].

ΤΙΤΛΟΣ ε'.

Περὶ τῶν κεκωλυμένων διατίθεσθαι προσώπων, καὶ περὶ διαθηκῶν ἐγγράφων, ἔτι δὲ καὶ περὶ στρατιωτικῶν διαθηκῶν.

1. Κωλύονται διατίθεσθαι· οἱ ἐκ νοσήματος ἐν παραφορᾷ ὄντες· καὶ οἱ ἄνηβοι, τουτέστιν οἱ ἄῤῥενες οἱ ἥττονες τῶν ιε ἐτῶν, αἱ δὲ θήλειαι ἥττονες τῶν ιγ ἐτῶν οὖσαι· οἱ ὑπεξούσιοι ἄνευ τῶν ἀπὸ στρατευμάτων προσκτηθέντων αὐτοῖς πραγμάτων· οἱ διὰ παντὸς μαινόμενοι· οἱ ἐν αἰχμαλωσίᾳ ὄντες· οἱ αἱρετικοί· ὁ ἀσώτως βιῶν· ὁ ἀπὸ γεννητῆς κωφὸς καὶ ἄλαλος· ὁ γὰρ ἐξ ἀσθενείας κωφὸς διατίθεται, ὁμοίως καὶ ὁ ἄλαλος, ἐὰν ἰδιοχείρως ὑπογράψῃ [1].

2. Ἔγγραφος γίνεται διαθήκη ἑνὶ καὶ τῷ αὐτῷ καιρῷ ὑπὸ ζ ἀξιοπίστων μαρτύρων ἐπὶ τοῦτο προσκληθέντων καὶ ἐν αὐτῇ κατὰ ταὐτὸν ὑπογραφόντων καὶ σφραγιζόντων, τοῦ διατιθεμένου ὀφείλοντος διὰ τῆς ἰδίας ὑπογραφῆς ἢ διὰ χειροχρήστου τὸ ὄνομα τοῦ κληρονόμου ἐν αὐτῇ ἀποσημειώσασθαι, μὴ ἐμφαίνοντος τοῖς μάρτυσιν, εἴγε καὶ βούλεται, τὰ τῆς διατυπώσεως αὐτοῦ [2].

3. Ἄγραφος διαθήκη γίνεται, ὅτε ἐπὶ ζ μαρτύρων ἅμα εὑρισκόμενος τὴν αὐτοῦ ὁ διατιθέμενος φανερώσῃ βούλησιν [3], τόν

[6] Ecl. IV, 5. [7] Ecl. IV, 6. [8] Cf. Cod. VIII, 55, 10.
[1] Ecl. V, 1. [2] Ecl. V, 2. [3] Ecl. V, 3.

τε κληρονόμον καὶ τὰς ἐνστάσεις αὐτῶν, τὰ λεγάτα καὶ τὰς ἐλευθερίας ἐπὶ αὐτῶν ὀνομάζων, ἑτέρου οἱουδήποτε κεφαλαίου μὴ διακόπτοντος τὴν τοιαύτην βούλησιν, πρὸς ἑαυτοὺς ἐγγράφως πρὸς μνήμην ἰδίαν ἀποσημειουμένων, ἢ ἅπερ ἤκουσαν ἀπὸ τοῦ διατιθεμένου προτροπῇ τοῦ κληρονόμου ἐπὶ πράξεως ὑπομνημάτων ἐνωμότως ἀποτιθεμένων.

4. Εἰ δὲ ἐν ᾧ τις ἀγράφως διατίθεται τόπῳ ζ̅ οὐχ εὑρίσκονται μάρτυρες, δύνανται καὶ ἐπὶ ε̅ μαρτύρων καὶ οὐκ ἔλαττον τὴν οἰκείαν φανεροποιεῖν βούλησιν. εἰ δὲ παροφθῇ τι ἐν τῇ ποιήσει τῶν εἰρημένων διαθηκῶν, ἄκυρον εἶναι τὴν τοιαύτην διαθήκην [4].

5. Εἰ δὲ καὶ ἐντελῶς γενομένων τῶν διαθηκῶν οἱ γονεῖς τὰ γνήσια τέκνα ἢ ἓν αὐτῶν ἐνδιαθήκως ἀμνημόνευτον ἐάσωσιν, ἢ καὶ μετέπειτα ζώντων τῶν γονέων μετὰ τὴν ποίησιν τῆς διαθήκης ἐπιγεννηθῇ αὐτοῖς βρέφος ἢ καταλειφθῇ ἐγκυμονούμενος καὶ εἰς φῶς προέλθῃ, τὰ μὲν λεγάτα καὶ ἐλευθερίαι κατὰ τὴν διαθήκην κρατείτωσαν, τὰς δὲ τῆς κληρονομίας ἐνστάσεις ἀκυροῦσθαι, καὶ τοὺς μὴ μνημονευθέντας παῖδας ἢ καὶ παῖδα μετὰ τῶν λοιπῶν αὐτῶν συγγενῶν ὡς ἐξ ἀδιαθέτου εἰς διαδοχὴν τῶν τοιούτων γονέων εἰσέρχεσθαι. εἰ γὰρ ξένοι κληρονόμοι ἐγράφησαν ἐν τῇ τοιαύτῃ διαθήκῃ, αὐτοὶ μὲν ἐξωθείσθωσαν, οἱ δὲ παροφθέντες γνήσιοι παῖδες κληρονομείτωσαν [5].

6. Κατὰ τὸν ὅμοιον δὲ τρόπον καὶ ἐπὶ παιδὸς διατιθεμένου καὶ παντελῶς μὴ μνημονεύοντος τῶν οἰκείων γονέων γίνεσθαι [6].

7. Πᾶς δὲ κληρονόμος [εἴτε ἐξ ἐγγράφου] εἴτε ἐξ ἀγράφου βουλήσεως μὴ πληρῶν τὰ κατὰ νόμους βεβουλευμένα τῷ διατιθεμένῳ μεθ᾽ ὑπόμνησιν καὶ δικαστικὴν ψῆφον καὶ ἐνιαυτοῦ τῆς ἐπὶ τούτῳ καταδίκης παραδρομήν, εἰ μὲν ἐκ τῶν συγγενῶν ἐστιν ὁ τὰ διατεταγμένα μὴ πληρῶν, τὴν ἐποφειλομένην αὐτῷ ἐξ ἀδιαθέτου νόμιμον μοῖραν κομιζόμενος καὶ μόνον ἐκ τῆς λοιπῆς τοῦ διατιθεμένου περιουσίας ἐκπιπτέτω, καὶ ταύτην περιέρχεσθαι εἰς τοὺς ἐαθέντας συγκληρονόμους αὐτοῦ ἢ λεγαταρίους ἢ εἰς τοὺς ἑτέρους συγγενεῖς πρὸς διαδοχὴν ἐξ ἀδιαθέτου καλουμένους. εἰ δὲ ξένοι κληρονόμοι εἰσὶν [οἱ] τὰ βεβουλευμένα μὴ πληροῦντες, ἐκπιπτέτωσαν τελείως τῆς ὅλης διαδοχῆς [7].

8. Στρατιωτικὴ γίνεται διαθήκη, ὅτε στρατιώτης εἴτε

---

[4] Ecl. V, 4. [5] Ecl. V, 5. [6] Nov. 115 c. 3. [7] Ecl. V, 7.

ὑπεξούσιος ἐν φωσσάτῳ ὢν προτρέψηταί τινα ἤ τινας ὡς τὰ καθ' ἑαυτοῦ διατυπῶν, καὶ ἐγγράφως εἴτε ἀγράφως τὴν αὐτοῦ φανερώσῃ γνώμην. ὡς ἀπείροις γὰρ νόμου[8] συγχωρείσθω τοῖς στρατιώταις τὸ ἄνευ τῆς ἀνωτέρως λεχθείσης ἀκριβείας διατίθεσθαι, ἀλλὰ καθ' ὃν βούλονται καὶ δύνανται τρόπον ἐν τοῖς ἐξπεδίτοις διάγοντες τὰς αὐτῶν ποιείτωσαν βουλήσεις[9].

9. Τοῦ αὐτοῦ. — Καὶ ἐν παρατάξει πολέμου πληγούμενος στρατιώτης μέλλων τελευτᾶν, καὶ διὰ τοῦ οἰκείου αἵματος τὴν αὐτοῦ βούλησιν γράφων εἴτε ἐν τῇ ξιφοθήκῃ εἴτε ἐν τῷ σκουταρίῳ, ἢ καὶ ἐν ἐδάφει τῷ ξίφει αὐτοῦ ἐγχαράσσων καὶ δηλοποιῶν τὸν κληρονόμον εἴτε τὴν οἰκείαν γνώμην, καὶ τὴν τοιαύτην βουλὴν τοῦ στρατιώτου ἐῤῥωμένην εἶναι[10].

10. Τὸν γὰρ ἐν τοῖς ἰδίοις σεδέτοις διάγοντα στρατιώτην κατὰ τὴν προειρημένην ἀκρίβειαν διατίθεσθαι[11].

11. Οἱ δὲ αὐτεξούσιοι στρατιῶται, εἴτε ἐν ἐξπεδίτοις ἢ ἐν σεδέτοις ὄντες, διατιθέμενοι πάντως τὴν νόμιμον μοῖραν τοῖς γνησίοις παισὶν αὐτῶν καταλιμπανέτωσαν. παίδων δὲ μὴ ὄντων, ἀλλὰ μητρὸς μόνης, καὶ αὐτῇ τὸ νόμιμον παρεχέτωσαν[12].

ΤΙΤΛΟΣ ϛ'.

Περὶ πεκουλίου τῶν ὑπεξουσίων υἱῶν, στρατιωτῶν, κληρικῶν τε καὶ στρατευομένων καὶ παγανῶν, εἰς ἃ διατίθεσθαι δύνανται ἢ κωλύονται.

1. Στρατιωτικὰ πεκούλιά εἰσιν, ἅπερ στρατιῶται ὑπεξούσιοι ὄντες πατρί τε καὶ πάππῳ ἐκ τοῦ στρατιωτικοῦ αὐτῶν τάγματος ἐπικτήσονται· εἰς ἃ διατίθεσθαι δύνανται καὶ ἐν σεδέτοις διάγοντες, καὶ τότε δηλονότι μετὰ τῆς προαναφερομένης περὶ ἐντελῶν διαθηκῶν παραδόσεως. δαπανωμένου δὲ διὰ τῆς βουλήσεως αὐτῶν τοῦ τοιούτου πεκουλίου [μὴ δύνασθαι τοὺς κληρονόμους αὐτῶν ἐκ τοῦ τοιούτου πεκουλίου] τετάρτην μοῖραν ἀπαιτεῖν, ἀλλ' ἐν ἐξουσίᾳ αὐτῶν εἶναι, τὸ τοιοῦτον δωρεῖσθαι [ἢ διὰ βουλήσεως αὐτῶν καταλιμπάνειν ἐντελῶς πεκούλιον. καὶ μετὰ τελευτὴν δὲ τῶν αὐτῶν γονέων μὴ ὡς

---

[8] Forte οὐ μόνον. [9] Dig. XXIX, 1, 1. [10] Cod. VI, 21, 15. [11] Cf. Cod. VI, 21, 17. Ecl. XVI, 1. [12] Cf. Ecl. XVII, 4.

πατρῷον αὐτὸ συνάγεσθαι ἢ διαιρεῖσθαι,] ἀλλ' ἐξαιρέτως τῷ ἰδικῷ αὐτοῦ καὶ μόνῳ γνωρίζεσθαι προσώπῳ [1].

2. Εἰ δὲ καταλειφθῶσιν ἀδελφοὶ μετὰ τὴν τελευτὴν τῶν γονέων αὐτῶν, καί τις ἐξ αὐτῶν στρατευθῇ, ὁ δὲ ἕτερος μείνῃ ἐν τῷ οἴκῳ, εἰ μὲν σύμφωνον ποιήσωσι μετ' ἀλλήλων, τὰ μεταξὺ αὐτῶν στοιχηθέντα κρατείτωσαν. εἰ δὲ ἀστοιχήτως τοῦτο ποιοῦντες καὶ μέχρι δεκαετίας μετὰ τὸ στρατευθῆναι ἕνα ἐξ αὐτῶν συζήσωσιν, πάντα τὰ ἐπικτηθέντα αὐτοῖς εἴτε ἀπὸ ῥόγας εἴτε ἀπὸ καμάτων τοῦ κοινοῦ αὐτῶν οἴκου καὶ σπουδῆς τοῦ ἐν τῷ οἴκῳ μείναντος ἀδελφοῦ ἢ ἀδελφῶν ἐφίσης καὶ ἐξίσης μοῖραν κομίζωνται. μετὰ δὲ τὴν δεκαετίαν ἕως ἑτέρων τριῶν χρόνων συζώντων αὐτῶν μετ' ἀλλήλων καὶ μετὰ τοῦτο συμβῇ αὐτοὺς ἀπ' ἀλλήλων διαιρεθῆναι, ἐπαίρειν τὸν στρατιώτην ἐξαιρέτως τὸ ἱππάριν αὐτοῦ σὺν καὶ τῷ σελλοχαλίνῳ καὶ τὸ ἅρμα αὐτοῦ, καὶ ἐὰν ὡς εἰκὸς ἐπεκτήσατο λωρίκην καὶ μόνον· τὰ δὲ λοιπὰ πάντα μερίζεσθαι αὐτοὺς ἀδελφικῶς ἐξ ἴσης μοίρας. εἰ δὲ καὶ ἐπέκεινα τῶν ιγ̄ χρόνων ζήσωσι μετ' ἀλλήλων, καὶ εὑρεθῇ τίποτε ἐκ τῶν μετὰ ταῦτα ῥογῶν αὐτοῦ ἐπικτησάμενον καὶ σώζεται, καὶ τοῦτο κομίζεσθαι αὐτόν. τὰ δὲ προνοίᾳ θεοῦ ἐπικτηθέντα αὐτῷ ἐκ πρώτης ἡμέρας τοῦ αὐτὸν στρατευθῆναι ἀπό τε σκύλων καὶ φιλοτιμιῶν, καὶ ταῦτα ὁμοίως ἔχειν αὐτὸν ἐξαιρέτως [2].

3. Κληρικοὶ δὲ καὶ χαρτουλάριοι ἢ καὶ ἕτεροί τινες ἀπὸ γονικῆς στρατευόμενοι ὑποστάσεως, εἰ μὲν τελευτῶντες οἱ τούτων γονεῖς θελήσωσι ταῦτα χαρίσασθαι αὐτοῖς, κυριούσθω τούτων ἡ βούλησις. εἰ δὲ μηδὲν περὶ τούτων εἰπόντες τελευτήσωσι, [καὶ τὴν περὶ τῆς τοιαύτης ποσότητος ποιήσουσι κίνησιν] τῷ στρατευθέντι οἱ συγκληρονόμοι αὐτοῦ, λογίζεσθαι αὐτῷ τὰ περὶ τῆς τοιαύτης στρατείας περιελθόντα εἰς τὸν αὐτοῦ πατέρα, καὶ τὸ περιττεῦον ἐκ τῆς δοθείσης ποσότητος εἰς τὸ τοιοῦτον στράτευμα συνεισφέρεσθαι τῇ λοιπῇ ὑποστάσει καὶ συνδιαιρεῖσθαι. εἰ δὲ ὡς εἰκὸς ἐπληρώθη διὰ τοῦ τοιούτου στρατεύματος ἡ δοθεῖσα ποσότης, μὴ ἔχειν ἄδειαν τοὺς συγκληρονόμους τῷ [τὸ] τοιοῦτον στράτευμα ἔχοντι προσώπῳ ἐπιζητεῖν ἕνεκεν τῆς γενομένης ἐξόδου ὑπὲρ αὐτοῦ τὸ εἰτιοῦν διὰ τὸ ὡς εἴρηται ἀντεισαγωγὴν ἐκ τοῦ τοιούτου στρατεύματος γίνεσθαι [3].

---

[1] Ecl. XVI, 1. Hinc nonnulla supplevi. [2] Ecl. XVI, 2. [3] Ecl. XVI, 3.

4. *Κληρικῶν δὲ καὶ στρατευομένων εἰσὶ πεκούλια, ἐφ᾽ οἷς διατίθεσθαι δύνανται κατὰ τὴν ἀκριβῆ καὶ ἐντελῆ τῶν διαθηκῶν παρατήρησιν, ἐπὶ μὲν κληρικῶν τῶν καὶ χειροτονουμένων, τουτέστιν ἀπὸ πρεσβυτέρων καὶ μέχρι ψαλτῶν, τὰ ἀπὸ τῶν οἰκείων αὐτῶν ταγμάτων ἤτοι ἐκκλησιῶν ἐπικτηθέντα· ἐπὶ δὲ τῶν λοιπῶν στρατευομένων ὅσα ἐκ τῆς βασιλικῆς ῥόγας, ἀννόνων τε [καὶ] σολεμνίων τούτοις προσενεμήθησαν, τουτέστι συνεδρίοις, δικολόγοις, μεμοριαλίοις, μαγιστριανοῖς, διδασκάλοις ἤγουν παιδευταῖς ἐλευθεριῶν σπουδασμάτων, ἀρχιατροῖς καὶ λοιποῖς ἅπασι κομιζομένοις ἀπὸ βασιλικῆς χειρὸς ῥόγας ἢ ἀπὸ δημοσίου ἀννόνας καὶ συνηθείας. οὗτοι γὰρ πάντες ἄνευ μέντοι τῶν στρατιωτῶν ἐπὶ τοῖς τοιούτοις πεκουλίοις διατιθέμενοι, παῖδας μὲν ἔχοντες ἄχρι τὸν ἀριθμὸν δ̅, τὴν νόμιμον ἤγουν τὴν τρίτην μοῖραν τοῦ αὐτῶν πεκουλίου καταλιμπανέτωσαν· εἰ δὲ ε̅ καὶ ἐπέκεινα, τὸ ἥμισυ αὐτοῦ μέρος. εἰ δὲ παῖδας οὐκ ἔχουσιν, ὕπεισι δὲ αὐτοῖς γονεῖς, τὴν εἰρημένην τρίτην μοῖραν αὐτοῖς καταλιμπανέτωσαν· εἰς δὲ τὸ ὑπόλοιπον μέρος τοῦ αὐτῶν πεκουλίου κατὰ τὸ δοκοῦν αὐτοῖς διατιθέσθωσαν*[4].

5. *Παγανικὰ δὲ πεκούλια τῶν ὑπεξουσίων εἰσὶν, ὅσα παρὰ τῶν γονέων αὐτῶν πρὸς κόσμον καὶ τιμὴν ἐδόθησαν ἢ ἐπεκτήθησαν, ἅτινα καὶ ὡς γονικὰ γνωρίζονται καὶ μετὰ τὴν τελευτὴν τῶν γονέων τῇ λοιπῇ αὐτῶν ὑποστάσει ἑνοῦνται καὶ συνδιαιροῦνται, ὥσπερ καὶ τὰ ἀπὸ χρημάτων ἢ πραγμάτων τοῦ πατρὸς ἐπικτηθέντα τῷ υἱῷ τῇ πατρῴᾳ ὑποστάσει γνωρίζονται καὶ αὐτῇ συνενοῦνται. ἐπὶ γὰρ τοῖς μητρῴοις αὐτῶν ἢ ἐξ ἱδρώτων καὶ καμάτων ἢ κληρονομίας περιαχθεῖσιν εἰς αὐτοὺς πράγμασι, ἐπ᾽ αὐτοῖς μὲν οὐ διατίθενται, τὴν δὲ χρῆσιν αὐτῶν καὶ μόνον ἔχουσιν οἱ τούτους ἔχοντες ὑπεξουσίους, μὴ περιερχόμενοι ὡς προτέτακται εἰς ἕτερον συνοικέσιον, τὴν δεσποτείαν τῶν τοιούτων πραγμάτων φυλάττοντες αὐτοῖς*[5].

6. *Οἱ δὲ ὑπεξούσιοι ἐπὶ τοῖς ἀπὸ κληρονομίας ἀδελφοῦ περιαχθεῖσιν εἰς αὐτοὺς πράγμασι διατίθεσθαι δύνανται.*

---

[4] Ecl. XVI, 4. [5] Ecl. XVI, 5.

ΤΙΤΛΟΣ ζ'.

Περὶ τῶν ἐξ ἀδιαθέτου κληρονομιῶν, καὶ λεγάτων καὶ διὰ τῆς τῶν κληρονόμων πίστεως ἑτέρῳ καταλιμπανομένων, καὶ περὶ τῶν ἐξ ἀχαριστίας ἐκπιπτόντων κληρονομίας.

1. Ἐάν τις ἀδιάθετος τελευτήσῃ ἐπὶ γνησίοις τέκνοις καὶ ἐγγόνοις καὶ λοιποῖς αὐτοῦ συγγενέσιν ἤτοι κατιοῦσιν, ὑπὸ τῶν πλησιαζόντων αὐτῷ προσώπων κληρονομείσθω. εἰ δὲ οὐχ ὕπεστιν αὐτῷ οἱαδήποτε γνησία γονὴ, περίεισι δὲ αὐτῷ ἀνιόντες, πατὴρ καὶ μήτηρ, πάππος καὶ μάμμη καὶ ἐπέκεινα, καὶ οὕτως ὑπὸ τῶν ἐγγυτέρων κληρονομείσθω γονέων. εἰ δὲ μήτε ἀνιόντες ἢ κατιόντες εἰσὶν, ὑπὸ τῶν ἐκ πλαγίου, ἀδελφοῦ καὶ ἀδελφῆς καὶ ἀνεψιῶν καὶ ἐφεξῆς, δηλονότι τὸν τελευτήσαντα κληρονομεῖσθαι. εἰ δὲ οὐδεὶς ἐκ τῶν τοιούτων συγγενῶν περίεστι τῷ τελευτήσαντι, τότε ὁ ἀνὴρ τὴν γυναῖκα καὶ ἡ γυνὴ τὸν ἄνδρα ἐν τελευταίᾳ διαδοχῇ ἐξ ἀδιαθέτου κατὰ τὸ ἥμισυ ἀλλήλους κληρονομείτωσαν, τοῦ ἑτέρου ἡμίσεος μέρους τῆς καταλιμπανομένης ὑποστάσεως τῷ δημοσίῳ λόγῳ εἰσκομιζομένου [1].

2*. Διατιθεμένου δὲ εἰς ξένον πρόσωπον μὴ ὑπόντων αὐτῷ πρὸς διαδοχὴν συγγενῶν, τὸ μὲν ἥμισυ μέρος καὶ μόνον τῆς αὐτοῦ περιουσίας διὰ τῆς αὐτοῦ βουλήσεως τῷ τοιούτῳ προσώπῳ δωρεῖσθαι. τὸ δὲ ἕτερον ἥμισυ μέρος τῷ εὐσεβεῖ βασιλικῷ σακελλίῳ καταλιμπανέτω.

3**. Ἐὰν υἱὸς τελευτήσῃ ἄπαις καὶ ἀδιάθετος ἐπί τε γνησίοις αὐταδέλφοις καὶ ἐξ ἑτέρου προτελευτήσαντος ἀδελφοῦ αὐτοῦ τέκνοις, εἰς τὸν βαθμὸν τοῦ ἀποβιώσαντος γονέως αὐτοὺς ἐμπαραβαίνειν, καὶ ὁσοιδήποτε ὦσι τὸν ἀριθμὸν τούτους ἐμπροσώπως ὁρίζεσθαι, καὶ εἰς τὴν κληρονομίαν τοῦ τελευτήσαντος θείου ὑπεισέρχεσθαι μετὰ τῶν περιόντων θείων καὶ τῶν τοιούτων γονέων ὁμοίως μίαν μοῖραν ἐξ ἰσότητος κομιζομένους [2].

4***. Ἐάν τις ἐξ ἀδιαθέτου τελευτήσῃ ἐπί τε γονεῦσι καὶ ἀδελφοῖς ὁμοπατρίοις καὶ ὁμομητρίοις καὶ ἑτέροις ἐξ ἑνὸς γονέως αὐτοῦ ἀδελφῷ ἢ ἀδελφοῖς, τοὺς ὁμοπατρίους καὶ ὁμο-

---

[1] Cf. Ecl. VI, 1—6. * Cod. α'. ** Cod. β'. [2] Nov. 127 c. 1. *** Cod. γ'.

μητρίους τοῦ τελευτήσαντος ἀδελφοὺς μετὰ τῶν γονέων αὐτῶν τὸν τελευτήσαντα διαδέχεσθαι, μηδὲν κομιζομένων τῶν ἑτέρων φίλων καὶ ἀδελφῶν ἐν τῇ τοιαύτῃ διαδοχῇ[3].

5 *. Εἰ δὲ οὔτε γονεῖς οὔτε πάππος οὔτε μάμμη οὔτε ἀδελφοὶ ὁμοπάτριοι καὶ ὁμομήτριοι τῷ τελευτήσαντι τυγχάνουσιν, οἱ ἐξ ἑνὸς γονέως ἀδελφοὶ εἰς τὴν τούτου διαδοχὴν ὑπεισερχέσθωσαν[4].

6**. Τὸ ὑπό τινος ἐαθὲν λεγάτον ἐγγράφως ἢ καὶ ἀγράφως βουλευσαμένου ὑπὸ τῶν κληρονόμων αὐτοῦ ἐντελῶς διδόσθω, προϋφεξαιρουμένης ἐκ τῆς τοῦ διατιθεμένου ὑποστάσεως τῆς εἰς ταφὴν καὶ ἀναγραφὴν ἰμβέντου ἐξόδου καὶ δαπανημάτων[5], τῆς τε προικὸς, τῶν χρεῶν καὶ ἐλευθεριῶν. καὶ πρὸς τούτοις ἐκ τῆς μενούσης καθαρᾶς ὑποστάσεως ἀποκαθιστάσθω ἐντελῶς τοῖς ὑποῦσι γνησίοις τέκνοις ἢ γονεῦσι τῷ τελευτήσαντι ἡ νόμιμος μοῖρα, καὶ ἐκ τῶν ὑπολοίπων πραγμάτων δίδοσθαι τὰ ἐαθέντα λεγάτα.

7. Εἰ δὲ ξένος πρὸς δόσιν λεγάτων κληρονόμος ὁρισθῇ, δαπανωμένης εἰς λεγάτα τῆς τοῦ τελευτήσαντος περιουσίας, τότε ἐξ ἑκάστου ἐαθέντος λεγάτου λόγῳ κληρονομίας αὐτοῦ τετάρτην ἐγκρατείτω μοῖραν[6].

8. Ἐάν τις λεγατεύσῃ πρᾶγμα καὶ μετέπειτα διὰ χρέος ὑπόθηται αὐτὸ, ὁ κληρονόμος ἐλευθερούτω τὸ τοιοῦτον λεγατευθὲν πρᾶγμα καὶ ἀποδιδότω τῷ λεγαταρίῳ[7].

9. Τῷ ὁρισθέντι κληρονόμῳ, εἰ καὶ λεγάτον καταλειφθῇ, παραιτουμένῳ τὴν κληρονομίαν διδόσθω αὐτὸ τὸ λεγάτον[8].

10. Ἐάν τις τῷ ἰδίῳ δανειστῇ λεγάτον καταλείψῃ αὐτὸ, ὅπερ δέδωκεν αὐτῷ εἰς ἐνέχυρον, διδότω ὁ κληρονόμος τὸ χρέος, ἐγκρατείτω ὁ δανειστὴς τὸ ἐαθὲν αὐτῷ ἐπ᾽ ὀνόματι λεγάτου ἐνέχυρον[9].

11. Ἐάν τις τελευτῶν ὁρίσῃ λεγάτα, μετὰ τὴν πρόσφορον προδήλως ἔξοδον ταῦτα διδόσθωσαν, καὶ μὴ ἔχειν ἄδειαν τὸν κληρονόμον εἰς ἑτέραν πρόφασιν τὰ ἐαθέντα λεγάτα ἐξοδιάζειν, ἀλλὰ καὶ τοῦτο ἀποκαθιστᾶν τῷ λεγατευθέντι[10].

12 ***. Ἐὰν δὲ κληρονόμος εἴδησιν τῆς καταλιμπανομένης αὐτῷ ὑποστάσεως ἔχῃ, καὶ οἶδε χρέη προηγεῖσθαι, ἐπὶ ἀξιοπίστων μαρτύρων τὴν τοιαύτην ἀναγραφέτωσαν ὑπόστασιν καὶ

---

[3] Nov. 118 c. 3. Forte leg. τῶν ἑτεροθαλῶν ἀδελφῶν. * Cod. δ'.
[4] Ecl. VI, 4. ** Cod. iterum γ' vocat. [5] Ecl. VI, 7. [6] Cf. Historiam juris privati GR. a me editam §. 51. [7] Cod. VI, 37, 3. [8] Cod. VI, 37, 12.
[9] Cod. VI, 37, 16. [10] Ecl. VI, 7. *** Cod. δ'.

φανερούσθω ταύτης ἡ δύναμις. καὶ πρῶτον μὲν πληρούσθωσαν οἱ χρεωφειλέται, καὶ εἶθ' οὕτως τὸ περιττεῦον ἐχέτω ὁ κληρονόμος. εἰ δὲ αὐθαδῶς καὶ ὡς ἔτυχεν ὑπεισερχόμενος τῆς αὐτῆς ἐφάψηται ὑποστάσεως, καὶ φανῇ τινα μερικῶς τῶν χρεῶν ἀποδοὺς, ὑποκείσθω πληροῦν καὶ τοὺς λοιποὺς ὡς διὰ προσφόρου ἀναγραφῆς [τὴν] τῆς τοιαύτης ὑποστάσεως μὴ γνωρίσας κατάληψιν. εἰ δὲ ἐσχάτως ἀναφυῶσι τὰ χρέη, τοῦ κληρονόμου τὴν περὶ τούτου ἄγνοιαν κεκτημένου, διὰ μαρτύρων ἢ καὶ δι' ὅρκου τὸ εὑρεθὲν τῇ ὑποστάσει καὶ περιελθὸν παριστᾶν αὐτὸν, καὶ πρὸς αὐτὸ ἀποκοπτέτω μετὰ τῶν χρεωφειλετῶν αὐτοῦ, καὶ μηδὲν περαιτέρω τοῦτον ἀπαιτεῖσθαι[11].

13. Ἐὰν εἰδὼς τὴν ὕπαρξιν τοῦ διατιθεμένου ἐμμίξῃ αὐτῇ ὁ κληρονόμος καὶ ὑπεισέλθῃ τῇ κληρονομίᾳ, καὶ μερικῶς χρέη ἢ λεγάτα τοῦ βουλευσαμένου ἀποδώσῃ, μὴ πεποιηκὼς τῶν καταλειφθέντων ἁπάντων πραγμάτων τε καὶ δικαίων δημοσίαν ἀναγραφὴν, ἐπὶ πᾶσι τοῖς ἀναφυομένοις χρέεσί τε καὶ λεγάτοις ὑποκείσθω. καὶ εἰ μὲν [ἐν] τῷ ἰδίῳ οἴκῳ ὁ βουλευσάμενος ἐτελεύτησεν, [εἰ] εἴσω τριμηνιαίου καιροῦ τὴν τούτων δημοσίαν ἀναγραφὴν ἐποιήσατο, ἢ καὶ, [εἰ ἐν] ἑτέρᾳ ἐπαρχίᾳ, ἐντὸς ἐνιαυτοῦ, [μὴ] ὑποκεῖσθαι αὐτὸν περαιτέρω τῆς ἐν ἀληθείᾳ καταλειφθείσης καὶ ἀναγραφείσης ὑποστάσεως[12].

14*. Ἐὰν κληρονόμος οἱοσδήποτε ἢ καὶ λεγατάριος φανῇ ἀποκρύψας τὴν καταλειφθεῖσαν αὐτῷ διαθήκην, καὶ ἐν ὑστέρῳ αὕτη παρ' αὐτῷ εὑρεθῇ, ἐκπιπτέτω ὁ μὲν κληρονόμος τῆς κληρονομίας, ὁ δὲ λεγατάριος ἐκ τοῦ λεγάτου[13].

15**. Ἐάν τις τῷ ἰδίῳ κληρονόμῳ ἰδικῶς ἐπιτρέψῃ μαρτύρων μὴ παρόντων ἀποκαταστῆσαί τινι ἐκ τῆς ἰδίας περιουσίας εἶδος ἢ πράγματα, καὶ ἀπαιτούμενος ὁ κληρονόμος ἀρνήσηται, ὀμνυέτω ὁ κληρονόμος ὡς οὐκ ἐπετράπη παρὰ τοῦ τελευτήσαντος ἐκ τῆς ὑποστάσεως ἀποκαταστῆσαί τι, πρότερον τοῦ ζητοῦντος κατατιθεμένου τὸν περὶ ἐπηρείας λόγον[14].

16***. Ἐκπίπτουσι δὲ τῆς νομίμου κληρονομίας διὰ ἀχαριστίαν οἱ μὲν παῖδες, ἐὰν τοὺς ἰδίους τύψωσι γονεῖς, ἐὰν βαρέως αὐτοὺς ὑβρίσωσιν, ἐὰν φαρμάκοις ὡς φάρμακός τις αὐτῶν συναναστρέφηται, ἐὰν ἐπιβουλεύσωσιν οἱῳδήποτε τρόπῳ τῇ ζωῇ αὐτῶν, ἐὰν τῇ μητρυιᾷ ἢ τῇ παλλακῇ τοῦ πατρὸς αὐτῶν σωματικῶς τις αὐτῶν μιγῇ, ἐὰν τοὺς γονεῖς φυλακιζομέ-

---

[11] Ecl. VI, 8—10. [12] Cod. VI, 30, 22. * Cod. ε'. [13] Ecl. VI, 11. ** Cod. ϛ'. [14] Cod. VI, 42, 32. *** Cod. ζ'.

νους οἱ ἄῤῥενες παῖδες καὶ προτραπέντες μὴ ἀντιφωνήσωσιν, ἐὰν ὁ υἱὸς παραγνώμην τῶν γονέων θυμελικὸς γένηται τῶν γονέων μὴ ὄντων τοιούτων, ἐὰν θυγάτηρ μὴ ἕληται νομίμως ζευχθῆναι βουλομένων τῶν γονέων ἀλλ' αἰσχρῶς διάγειν, ἐὰν πενομένων [15] τῶν γονέων μὴ ἕλοιντο οἱ παῖδες ἀντιλαβέσθαι αὐτῶν, καὶ διαμαρτυρηθέντες ἐπὶ τούτῳ ὑπὸ ξένων προσώπων μηδὲ οὕτως ἀνάσχωνται. ἀλλὰ καὶ εἰ πρὸ τῆς μανίας ἐγγράφως κληρονόμους αὐτοὺς ἐνεστήσαντο οἱ γονεῖς, τοὺς ἀμελήσαντας παῖδας τῆς τοιαύτης κληρονομίας ἐκπίπτειν, καὶ ἔρχεσθαι εἰς τοὺς ἐγγράφως ὁρισθέντας μετ' αὐτῶν συγκληρονόμους ἢ εἰς τοὺς ἐξ ἀδιαθέτου τῶν τοιούτων γονέων ὁριζομένους συγγενεῖς [16].

17. Εἰ τὸν γονέα αἰχμάλωτον ὄντα οὐκ ἔσπευσεν ἀναῤῥύσασθαι, ὅτε μείζων τῶν ιη ἐτῶν ἐτύγχανεν· καὶ εἰ συμβῇ τὸν γονέα παρὰ τοῖς πολεμίοις τελευτῆσαι, τὰ πράγματα αὐτοῦ ἡ ἐκκλησία διαδεχέσθω πρὸς ἀνάῤῥυσιν ἑτέρων αἰχμαλώτων. τὸ αὐτὸ δὲ κρατείτω καὶ ἐπὶ τῶν ἐξ ἀδιαθέτου, εἶτα καὶ ἐπὶ ἐξωτικῶν πρὸ τῆς αἰχμαλωσίας γραφέντων κληρονόμων καὶ ἀμελησάντων περὶ τὴν ἀνάῤῥυσιν τῶν εἰς αὐτοὺς διατιθεμένων [17].

18. Ἐὰν ὁ παῖς οὐ κοινωνῇ τῇ καθολικῇ ἐκκλησίᾳ [18].

19. Ἐκπίπτουσι δὲ καὶ οἱ γονεῖς ἐκ τῆς τῶν παίδων νομίμου διαδοχῆς διὰ τὰς προειρημένας αἰτίας, πρός γε δὲ καὶ εἰ κωλύσωσι τοὺς παῖδας αὐτεξουσίους ὄντας διαθέσθαι [19].

20. Τὰς δὲ τοιαύτας ἀχαριστίας πολλὰς ἢ καὶ μίαν ἐξ αὐτῶν ὑπὸ τοῦ διατιθεμένου πάντως ἐν τῇ αὐτοῦ βουλήσει ἐγγράφεσθαι καὶ διὰ τῶν κληρονόμων αὐτοῦ ἐγγυμνάζεσθαι καὶ ἀποδείκνυσθαι. εἰ γὰρ μὴ ἐγγράψηται ὁ διατιθέμενος ἢ καὶ ἐγγραψαμένου αὐτοῦ οἱ κληρονόμοι αὐτοῦ μὴ ἀποδείξωσιν, ἀντ' οὐδενὸς εἶναι τὴν τοιαύτην ἀχαριστίαν, καὶ ὑπεισέρχεσθαι εἰς [δια]δοχὴν τὸν ἀλόγως ἀχαριστίαν αἰτιολογηθέντα [20].

---

[15] Legendum μαινομένων. [16] Ecl. VI, 13. Cf. praeterea Nov. 115 c. 3 §. 12. [17] Nov. 115 c. 3 §. 13. [18] Nov. 115 c. 3 §. 14. [19] Nov. 115 c. 4. [20] Nov. 115 c. 4 §. 9.

ΤΙΤΛΟΣ η'.

Περὶ παίδων ὀρφανῶν καὶ τῆς τούτων κουρατορείας καὶ περὶ ἐπιτρόπων.

1. Ἐὰν ἔκ τινων ὀρφανοὶ καταλειφθῶσι καὶ νήπιοι, καὶ εἰ ὕπεστι τούτοις ὑπόστασις, εἰ μὲν οἱ γονεῖς αὐτῶν τελευτῶντες ἐγγράφως κουράτορα τούτοις παρείασαν, φυλαττέσθω ἐκείνων ἡ βούλησις. εἰ δὲ καὶ μή, οἱ εὐαγεῖς οἶκοι τὴν τούτων κουρατορείαν ἐχέτωσαν, ἐν μὲν τῇ θεοφυλάκτῳ πόλει ταύτῃ τὸ ὀρφανοτροφεῖον καὶ οἱ λοιποὶ εὐαγεῖς οἶκοι καὶ αἱ ἐγνωρισμέναι ἐκκλησίαι, ἐν δὲ ταῖς ἐπαρχίαις τὰ ἐπισκοπεῖα, τὰ μοναστήρια καὶ αἱ ἐκκλησίαι, μέχρις ὅτου πρὸς γάμου κῆραν καταντῶντες οἱ κληρονόμοι ζευχθῶσιν. εἰ δὲ καὶ πρὸς γάμον ἐλθεῖν οὗτοι οὐ βούλονται, μέχρις εἰκοσαετοῦς χρόνου τοὺς αὐτοὺς εὐαγοῦς οἴκους, τὰ μοναστήρια καὶ τὰς ἐκκλησίας τὰς τοιαύτας ὑποστάσεις παραφυλάττειν, καὶ εἶθ' οὕτως ταύτας ἀνελλιπῶς τοῖς εἰρημένοις κληρονόμοις ἀποδιδόναι. οὐ γὰρ ἀρεστὸν τῷ θεῷ ἐστι τοῦ καθάπερ καὶ μέχρι τοῦ νῦν κουράτορας ἑτέρους προσβλήσκεσθαι, καὶ τὰ τῶν ὀρφανῶν κατεσθίειν, κἀκεῖνα προσαιτεῖν. οἱ γὰρ [1] αὐτοὶ εὐαγεῖς οἶκοι καὶ αἱ τοῦ θεοῦ ἐκκλησίαι, οἱ καὶ τῶν ἀλλοτρίων προϊστάμενοι καὶ τοὺς ξένους ὡς ἰδίους κατὰ τὴν ἐντολὴν τοῦ κυρίου ξενοδοχοῦντες καὶ ὑποδεχόμενοι, πολλῷ μᾶλλον τὰ τῶν ὀρφανῶν φυλάξουσι καὶ τὴν τούτων ἀποκατάστασιν καιρῷ τῷ ἰδίῳ ποιήσουσιν [2].

2. Προχειρίζονται ἐπίτροποι καὶ κουράτορες τῶν ἀτελῶν ὀρφανῶν ἐν μὲν τῇ πανευδαίμονι πόλει διὰ ψήφου τοῦ κατὰ καιρὸν ὀρφανοτρόφου, ὑπουργοῦντος τοῦ ἐπιτεταγμένου σκρίβου· τοῖς μὲν πρώτην ἄγουσιν ἡλικίαν, ἐπὶ ἀῤῥένων μέχρι τοῦ ιε-ετοῦς χρόνου, ἐπὶ δὲ θηλειῶν μέχρι τοῦ ιγετοῦς χρόνου, ἐπίτροποι, ἐγγράφως παραλαμβανόμενοι τὴν ὀρφανικὴν ὑπόστασιν ἀκριβῶς διατετιμημένην καὶ διὰ ἀντιφωνητοῦ δόσεως περὶ τοῦ ἀδιαπτώτου ἐγγράφως ὁμολογοῦντες καὶ κατασφαλιζόμενοι τὸν αὐτὸν σκρίβαν [3].

3. Τοῖς δὲ τὴν δευτέραν ἄγουσιν ἡλικίαν, ἐπὶ μὲν τῶν ἀῤῥένων ἀπὸ πεντεκαιδεκαετοῦς χρόνου [ἐπὶ δὲ θηλειῶν ἀπὸ ιγ' χρόνου, ἐπ'] ἀμφοτέρων μέχρι περατώσεως τοῦ κε χρόνου, κουράτορες, καὶ αὐτοὶ κατὰ τὸν ὅμοιον τρόπον τὴν ὀρφανικὴν

---

[1] Codex: οὐ γὰρ οἱ. Forte ἡ γὰρ οἱ. [2] Ecl. VII, 1. [3] Videas, quae dixi in Hist. juris privati GR. §. 26, et cf. Coll. III Nov. 7 c. 3.

ὑπόστασιν διατετιμημένην παραλαμβάνοντες καὶ [δι'] ἀντιφωνητοῦ περὶ τοῦ ἀδιαπτώτου ἐγγράφως καθομολογοῦντες [4].

4. Ἐν δὲ ταῖς ἐπαρχίαις προβλήσκονται ἐπίτροποι ἢ κουράτορες παρά τε τοῦ ἐπισκόπου καὶ τοῦ ἐν τόπῳ ἐκδίκου κατὰ τὴν εἰρημένην παρατήρησιν [5].

5. Οἱ δευτέρας ἡλικίας ὄντες μὴ ἔχοντες κουράτορας, βουλόμενοι δὲ τὴν τῶν οἰκείων πραγμάτων διοίκησιν ποιήσασθαι, συγγνώμην αἰτείτωσαν, οἱ μὲν ἄῤῥενες τῷ κα τῆς ἡλικίας αὐτῶν ἐπιστάντες ἤδη χρόνῳ, θήλειαι δὲ τῷ ιθ, ἔν τε κωνσταντινουπόλει καὶ ἐν ταῖς ἐπαρχίαις παρὰ τοῖς εἰρημένοις προσώποις ἀποδεικνύντες διὰ μαρτύρων, ὡς τοῖς ῥηθεῖσι χρόνοις ἐπέστησαν καὶ ἱκανοὶ εἰς τὴν τῶν οἰκείων πραγμάτων διοίκησιν τυγχάνουσιν [6].

6. Κωλύονται δὲ ἐπιτροπεύειν καὶ κουρατορεύειν τοῖς ὀρφανοῖς ἐπίσκοποι, στρατιῶται καὶ κληρικοὶ ἄνευ τῶν ἰδίων συγγενῶν, καὶ γυναῖκες ἄνευ μητρὸς καὶ μάμμης [7].

ΤΙΤΛΟΣ Θ'.

Περὶ ἐλευθεριῶν καθαρῶς διδομένων ἢ καὶ ὑπὸ αἵρεσιν καὶ περὶ ἀναβοήσεως ἐλευθερίας καὶ ἐξ ἀχαριστίας ἀναδουλώσεως.

1. Ἐπιτίθεται οἰκέτῃ ἐλευθερία, ὁπόταν παρὰ τοῦ ἰδίου κυρίου δημοσιευθῇ εἴτε ἐν ἐκκλησίᾳ· εἴτε ἐπὶ φίλων πέντε ἐπὶ τῷ αὐτῷ προσκληθέντων ἢ καὶ ε̄ μὴ εὑρισκομένων καὶ μέχρι γ̄ ἀπογραφομένων καὶ ἀποτιθεμένων ἐπὶ πράξεως ὑπομνημάτων τὴν οἰκείαν εἴδησιν· εἴτε δι' ἐπιστολῆς τοῦ κυρίου αὐτοῦ, ε̄ μαρτύρων ἢ καὶ γ̄ ὡς εἴρηται ὑπογραφὰς ἐπὶ τούτῳ ἐχούσης. καὶ ἐν διαθήκῃ δὲ ἐγγραφομένη οἰκέτῃ δίδοται [1].

2. Ἀλλὰ καὶ ὅτε βουλήσει τοῦ τελευτήσαντος ἢ καὶ παραχωρήσει τοῦ κληρονόμου οἰκέτης ἐν τῇ κεφαλῇ πάννην φορήσας τῇ τοῦ τελευτήσαντος ἐπακολουθήσει κηδείᾳ [2]. καὶ ὁπόταν ὁ κύριος περιφρονῶν τοῦ ἰδίου οἰκέτου ἀπρονόητον αὐτὸν ἐγκαταλείψει [3].

3. Ἐὰν ὁ κύριος τὸν ὑποκείμενον αὐτῷ δοῦλον ἐλευθέρῳ

---

[4] Instit. I, 23 pr. §. 1. [5] Vide not. 3. [6] Cod. II, 45, 2. [7] Cod. V, 34, 4. I, 3, 51. — Nov. 123 c. 1. 5. Nov. 118 c. 5.

[1] Ecl. VIII, 1. [2] Ecl. VIII, 2. [3] Cod. VII, 6, 1 §. 3.

ζεύξῃ προσώπῳ. ἢ πάλιν ἐὰν ὁ κύριος αὐτοῦ ἢ καὶ ἡ τούτου κυρία ἢ τὰ αὐτῶν τέκνα εἰδήσει ἢ καὶ ἐπιτροπῇ τῶν γονέων ἐκ τοῦ ἁγίου καὶ σωτηριώδους βαπτίσματος αὐτὸν δέξωνται. ἢ καὶ ἐὰν εἰδήσει ἢ βουλήσει τοῦ κυρίου αὐτοῦ κληρικὸς ἢ μοναχὸς γένηται. αἱ δὲ εἰρημέναι ἐλευθερίαι ἀπεντεῦθεν ἤδη καὶ ὑπὸ ὅρον παρὰ τῶν κυρίων αὐτῶν δίδονται [4].

4. Εἰ δέ τις ἐκ τούτων τῶν τρόπων ἐλευθερίᾳ τιμηθεὶς ἐν δουλείᾳ κατέχεται, προσερχέσθω τῇ ἁγίᾳ τοῦ θεοῦ ἐκκλησίᾳ καὶ τοῖς προσφόροις ἄρχουσιν, καὶ παρ' αὐτοῖς τὰ τῆς ἐπιτεθείσης αὐτῷ ἐλευθερίας ἀποδεικνύτω καὶ ταύτης ἀπολαυέτω [5].

5. Ὁ ἐκ τῶν ἐχθρῶν ἐλεύθερον ἀγοράζων οἰκέτην καὶ ἐν τῷ ἰδίῳ οἴκῳ ἀποκαθιστῶν αὐτὸν, εἰ μὲν εὐπορεῖ τὰς στοιχηθείσας μεταξὺ αὐτῶν πληρῶσαι τιμὰς, ἀπολυέσθω ἐλεύθερος. εἰ δὲ ἀπορεῖ, ἐχέτω αὐτὸν ὁ ἀγοράσας μίσθιον μέχρις ἂν πληρωθῇ, ἅπερ ἐστοίχησεν, ὁριζομένου δηλονότι ὑπὸ ἀκροατῶν τοῦ ὀφείλοντος ἑκάστῳ ἔτει ὑπὲρ μισθῶν τῷ ἀγορασθέντι λογίζεσθαι [6].

6. Ὁ ὑπὸ τῶν πολεμίων αἰχμαλωτιζόμενος οἰκέτης καὶ κλάσμα τὶ ὑπὲρ τῆς πολιτείας [εἰς αὐτοὺς] ἐνδεικνύμενος, καὶ οὕτως ἀνθυποστρέφων, παρα[χρῆμα ἐλευθερούσθω]. ὁ δὲ αἰχμαλωτισθεὶς ὑπ' αὐτῶν καὶ πάλιν ἀποφυγὼν, κλάσμα τὶ εἰς αὐτοὺς ὑπὲρ τῆς πολιτείας μὴ ἀπεργασάμενος, ἀλλ' οὕτως ἀνθυποστρέφων, πενταετίαν δουλευέτω τῇ ἰδίᾳ δεσποτείᾳ καὶ εἶθ' οὕτως ἐλεύθερος ἀπολυέσθω [7].

7. Ὁ δὲ αὐτοπροαιρέτως τοῖς ἐχθροῖς προστρέχων καὶ πάλιν ἐν μεταμέλῳ γινόμενος καὶ ἀποφεύγων ἀπ' αὐτῶν καὶ ἀνακάμπτων, διὸ ὅλως αὐτομολήσας τούτοις προσέδραμεν, ἕως τῆς ζωῆς αὐτοῦ ἔστω δοῦλος [8].

ΤΙΤΛΟΣ ί.

Περὶ πράσεως καὶ ἀγορασίας ἐγγράφου καὶ ἀγράφου καὶ ἀῤῥαβώνων αὐτῶν.

1. Ἔγγραφος πρᾶσις καὶ ἀγορασία ἐν οἱῳδήποτε εἴδει καὶ πράγματι τῆς τιμῆς στοιχουμένης συνίσταται ἀδόλῳ τῶν συναλλασσόντων συμφωνίᾳ [1].

[4] Ecl. VIII, 3. 4. [5] Ecl. VIII, 5. [6] Ecl. VIII, 6. [7] Ecl. VIII, 8. [8] Ecl. VIII, 9.
[1] Ecl. IX, 1.

2. Ἄγραφος πρᾶσις καὶ ἀγορασία συνίσταται ἀδόλῳ τῶν συναλλασσόντων συμφωνίᾳ ἐπὶ ῥητοῦ τιμήματος χρυσικῇ ποσότητι· ὁπόταν γὰρ τὸ τίμημα τῷ πράτῃ καταβληθῇ καὶ τὸ πρᾶγμα τῷ ἠγορακότι παραδοθῇ, ἡ πρᾶσις συνίσταται. καὶ ἐκ μεταμέλου ἑνὸς αὐτῶν τὴν τοιαύτην πρᾶσιν μὴ ἀνατρέπεσθαι. ἔδει γὰρ αὐτὸν πρὸ τοῦ συναλλάγματος τὸ συμφέρον διερευνᾶν καὶ οὕτω συναλλάσσειν [2].

3. Ἔγγραφος πρᾶσις καὶ ἀγορασία συνίσταται, ὅτε οἱ συναλλάσσοντες ῥητὴν ἐπὶ τῷ τιμήματι χρυσικὴν ποσότητα περὶ τοῦ πράγματος στοιχήσαντες, ὁ μὲν πράτης τὸ τίμημα, ὁ δὲ ἀγοραστὴς τὸ πρᾶγμα κατέλαβεν [3], καὶ τὸ τοιοῦτον συνάλλαγμα εἴτε ἐξ ἰδιοχείρων εἴτε ἐξ ἀγοραίου συμβολαίου τετελεσμένου πληρώσωσιν. καὶ εἰ μὲν ἐξ ἀπαρχῆς τοῦ συναλλάγματος περὶ ἐλαττώματος ἤγουν αἰτίας τοῦ διαπραθέντος πράγματος συνεφωνήθη καὶ ἐνεγράφη, ἐῤῥώσθω τὰ συμπεφωνημένα. εἰ δὲ οὐδὲν περὶ ἐλαττώματος ἤγουν αἰτίας τοῦ διαπραθέντος πράγματος ἐμνημονεύθη καὶ ἐνεγράφη, ἀσάλευτον εἶναι τὸ τοιοῦτον συνάλλαγμα· καὶ ἑαυτὸν ὁ ἠγορακὼς μέμφεσθαι διὸ πρὸ τῆς ἀγορασίας περὶ ἐλαττώματος οὐκ ἠκρίβωσεν ἢ καὶ ἐξειργάσατο ἢ καὶ ἐν τῇ ὠνεακῇ συγγραφῇ περὶ κεκρυμμένης αἰτίας τοῦ πεπραμένου πράγματος ἐντεθῆναι ἐν συμφώνῳ παρεσκεύασε· καὶ τὴν τοιαύτην ἔγγραφον τετελεσμένην πρᾶσιν ἐκ μεταμέλου μὴ ἀνατρέπεσθαι. εἰ δὲ μὴ τὸ ἰδιόχειρον τὸ ἐπὶ τῇ πράσει καὶ ἀγορασίᾳ πληρωθῇ, μήτε, εἰ ἀγοραῖον ἦν, ἡ ὑπογραφὴ τελεσθῇ τε καὶ ἀπολυθῇ, ἐκ μεταμέλου ἑκάτερον μέρος ἀζημίως τῆς τοιαύτης πράσεως ἀναχωρεῖται [4].

4. Δεῖ γὰρ τὸν ἀγοραστὴν πρὸ τοῦ συναλλάγματος δι' ἐρευνῆς γενέσθαι καὶ ἀκριβοῦν καὶ οὕτω συναλλάσσειν. εἰ δὲ ὡς εἰκὸς μετὰ τὴν πρᾶσιν εὑρεθῇ τὸ πραθὲν σῶμα ἐλεύθερον ἢ καὶ δαιμονιῶντα, τοῦτο ἀναδίδοσθαι [5].

5. Ἐὰν ἀῤῥαβὼν ἐν οἱῳδήποτε πράγματι ἢ συναλλάγματι δοθῇ ὡς ἀτελοῦς ὄντος τοῦ συναλλάγματος, ἐξ ἀγνωμοσύνης μὲν τοῦ δεδωκότος τὸν ἀῤῥαβῶνα, [ἐν κέρδει γενέσθω τοῦ λαβόντος ὁ δοθεὶς ἀῤῥαβὼν, ἐκ διαστροφῆς δὲ τοῦ δεξαμένου τὸν ἀῤῥαβῶνα,] ἀναδιδόσθω μετὰ καὶ ἄλλου τοσούτου τῷ δεδωκότι αὐτόν [6].

---

[2] Ecl. IX, 1. [3] Forte κατέβαλεν. [4] Instit. III, 23 pr. [5] Ecl. IX, 1 rel. [6] Ecl. IX, 2.

ΤΙΤΛΟΣ ια΄.

Περὶ δανείου ἐγγράφου τε καὶ ἀγράφου, ἐγγαίου τε καὶ ἐπιποντίου, καὶ τῶν διδομένων ἐπ᾽ αὐτοῖς ἐνεχύρων, τόκων τε αὐτῶν, καὶ κέρδους κοινωνίας.

1. Δάνειον ἔγγραφόν τε καὶ ἄγραφον συνίσταται ἐπὶ τοῖς εἴδεσι τοῖς ἀριθμῷ ἢ σταθμῷ ἢ μέτρῳ διδομένοις τῷ δανειζομένῳ, τουτέστιν ἐν χρυσοῦ ποσότητι, ἐν ἀργυρῷ καὶ χρυσῷ καὶ χαλκῷ χαράγματι, ξηροῖς τε καὶ ὑγροῖς καρποῖς τοῖς ἐν τῇ χρήσει τοῦ λαμβάνοντος δαπανωμένοις· οὐκ αὐτῶν τῶν δοθέντων πρὸς τὴν τοῦ ὀφλήματος ἀπόδοσιν τῷ πιστευτῇ ἀναδιδομένων, ἀλλὰ δὴ ὁμοίων τοῦ αὐτοῦ γένους, εἴδους τε καὶ καλλονῆς πρὸς ἐκπλήρωσιν παρεχομένων [1].

2. Ἐκδανείζονται δὲ τὰ τοιαῦτα εἴδη ἢ δι᾽ ἐνεχύρων δόσεως ἢ ἀξιοπιστίᾳ καὶ μόνῃ τοῦ λαμβάνοντος, ἢ ἐν γραμματείῳ ἰδιοχείρῳ ἢ ἀγοραίῳ τοῦ λαβόντος κατασφαλιζομένου τὸν δεδωκότα καὶ ἐν αὐτῷ ἀποσημειουμένου τὰ δοθέντα αὐτῷ ἐνέχυρα, καὶ ὁμολογοῦντος τὴν συμφωνηθεῖσαν μέσον αὐτῶν ἢ μερικὴν ἢ ἐντελῆ ἐμπρόθεσμον ἐκπλήρωσιν, μετὰ καὶ τῶν εἰ οὕτως τύχῃ ἐπερωτωμένων μεταξὺ αὐτῶν τόκων. κατὰ τὸν ὅμοιον δὲ τρόπον ἐπὶ γ̄ μαρτύρων καὶ τὸ ἄγραφον συνίσταται δάνειον. μετὰ δὲ τὸ οὕτως συστῆναι τὸ δάνειον τὰ ἐπὶ τοῖς δανεισθεῖσι τυχηρὰ τὸν δανεισάμενον ὁρᾶν.

3*. Ἐάν τις ἐγγράφως ἢ καὶ ἀγράφως λογάριον ἢ ἀργύριον ἢ καὶ ἕτερον εἶδος τὸ οἱονοῦν ἐν τῇ γῇ ἢ καὶ ἐν τῇ θαλάσσῃ δανείσηται, κατὰ τὸ στοίχημα καὶ τὴν μεταξὺ αὐτῶν προθεσμίαν ἀναλαμβανέτω ὁ δανείσας τὰ ἴδια, μὴ ἔχοντος ἄδειαν τοῦ δανεισαμένου ἐχθρικὴν ἐπιδρομὴν ἢ ναυάγιον θαλάσσης ἢ καὶ ἑτέραν τὴν οἱανοῦν ἀφορμὴν πρὸς διαστροφὴν ἢ ἀναγωγὴν προτίθεσθαι τοῦ δανείσαντος. ἐὰν δὲ ὁ δανεισάμενος ἐνέχυρα τέθεικε, καὶ αὐτὸς μετὰ τὴν [τοῦ] χρέους ἀποπλήρωσιν ἀνελλιπῶς ἀναλαμβανέτω τὰ ἴδια, μὴ δυναμένου τοῦ τὰ τοιαῦτα κατεσχηκότος ἐνέχυρα λέγειν τὶ κατὰ τοῦ δανεισαμένου ἢ ὅτι ἀπώλεσεν αὐτὰ ἢ ἑτέραν τινὰ προσφέρειν πρόφασιν, εἰ μήπω ἀποδειχθείη τοιαύτην ὡς εἰκὸς ἐπελθεῖν συμφορὰν καὶ σὺν τῷ ἰδίῳ ἀπολεσθῆναι καὶ τὰ ἀλλότρια, καθὼς λοιπὸν περὶ τούτου τηρήσωσιν οἱ ἀκροαταί [2].

---

[1] Instit. III, 14 pr. * Cod. α΄. [2] Ecl. X, 1.

4. Ἐάν τις δανείσῃ τινὶ καὶ κατὰ τὴν οἰκείαν ὁμολόγησιν ἐκ προθεσμίας ὁ χρεώστης μὴ ἐκπληρώσῃ, προτρεπέσθω τοῦτον ἐκ διαβασίμου ὁ χρεωστούμενος, καὶ ἐὰν μετὰ δύο καὶ τρεῖς προτροπάς τε καὶ διαμαρτυρίας μὴ θελήσῃ ὁ χρεωστῶν παῤῥησιασθῆναι ἢ τὸ ἀπόχρεων ποιῆσαι, αὐθεντίαν ἐχέτω ὁ τὰ ἐνέχυρα κατέχων ὑπὸ ἀκριβῆ δημοσίαν ἐκτίμησιν διὰ ταβουλαρίων ἢ καὶ ἐκδίκων ἀποσημειουμένων ταῦτα διαπιπράσκειν, καὶ ἐκ τῶν τιμημάτων τὰ κεχρεωστημένα αὐτῷ παρακρατεῖν, καὶ τὸ ὡς εἰκὸς περιττεῦον ἀποκαθιστᾶν τῷ χρεωστοῦντι. εἰ δὲ ἡ τῶν ἐνεχύρων δικαία πρᾶσις οὐ σώζει τὴν ἐντελῆ τοῦ χρέους ἀπόδοσιν, ἀπαιτείτω τὸν χρεώστην τὸ λειπαζόμενον [3].

5. Ἐάν τις ἐγγράφως ἢ ἀγράφως ἐγγαίως ἐπὶ τόκων δανείσῃ τινὶ, εἰ μὲν ἀξιωματικός ἐστιν, εἰς τὸν δωδεκαμηνιαῖον καιρὸν τρίτον ἑκατοστῆς ἐπερωτάτω καὶ λαμβανέτω τόκον, τουτέστιν ἐφ' ἑκάστῳ νομίσματι κεράτιον ἕν. εἰ δὲ ἀργυροπράτης ἐστὶν τὴν διμοιρίαν τῆς ἑκατοστῆς λαμβανέτω τόκον, τουτέστι καθ' ἕκαστον χρόνον ἐφ' ἑκάστῳ νομίσματι χρυσοῦ κεράτια δύο, εἰ καὶ μὴ ἐπερώτησις περὶ τόκου προῆλθεν. οἱ δὲ λοιποὶ παγανοὶ τὸν ἡμιεκατοστιαῖον κατ' ἔτος λαμβανέτωσαν τόκον, τουτέστιν ἐφ' ἑκάστῳ νομίσματι κεράτιον ἓν ἥμισυ. ἀνεπερώτητος γὰρ τόκος οὐκ ἀπαιτεῖται, εἰ μὴ ἐπὶ τῶν ἀργυροπρατῶν ὡς εἴρηται καὶ μόνων. μὴ ἐξεῖναι δὲ τοῖς δανείζουσιν ἐκ τῶν δανειζομένων παρ' αὐτῶν ποσῶν ἐπ' ὀνόματι τῶν λεγομένων παρ' ἀλλήλων ἐγκρατεῖν κερατισμὸν, ἀλλὰ τοῖς εἰρημένοις ἀρκεῖσθαι τόκοις κατὰ τὴν λεχθεῖσαν τῶν δανειζόντων προσώπων ποιότητα. εἰ δὲ πλεῖον τοῦ διατεταγμένου τόκου ἐπερωτήσωσιν ἢ ἀπαιτήσωσιν, τὸ κατὰ περίσσειαν τοῦ ὁρισθέντος τόκου διδόμενον εἰς κεφάλαιον λογίζεσθαι τῷ δανειζομένῳ [4].

6. Οἱ τόκοι μέχρι τοῦ μέτρου τῆς ἐκδανεισθείσης ποσότητος τῶν κεφαλαίων ἐκτεινέσθωσαν καὶ μὴ ὑπερβαινέτωσαν αὐτά. εἰ δὲ δεήσει ἐπέκεινα τοῦ μέτρου τῶν κεφαλαίων τόκους καταβληθῆναι, τὰ ὑπὲρ τούτου εἰς κεφάλαια λογίσασθαι. ἐπὶ δὲ τῇ εἰρημένῃ τῶν κεφαλαίων ἰσότητι καὶ τὰς μερικὰς καταβολὰς τῶν τόκων συμψηφίζεσθαι, καὶ μὴ ἀπαιτεῖσθαι τῶν κεχρεωστημένων τόκων τοὺς τόκους [5].

7. Ἐπιπόντια δάνειά εἰσι τὰ διδόμενα τοῖς ἐν θαλάττῃ τὰς πραγματείας ποιουμένοις καὶ ταύτην ἔχουσι τοῦ βίου τὴν

---

[3] Ecl. X, 2. [4] Cod. IV, 32, 26. [5] Cod. IV, 32, 27. Nov. 121. 138.

πρόφασιν. ὁ δὲ τοῦ τοιούτου δανείου ἐπερωτάσθω καὶ ἀπαιτείσθω τόκος τῷ νομίσματι ἑκατοστιαῖος τουτέστι κεράτια γ̄ ἐφ' ἑκάστῳ ταξειδίῳ τοῦ πλοίου σωζομένου τε καὶ ἐπανερχομένου, τὴν δὲ κατὰ θάλασσαν [βλάβην ἢ ἀπώλειαν] τὸν δανείσαντα ὁρᾶν [6].

8. Τοῖς ἐπὶ δανείου ἐγγαίου διδομένοις ἐνεχύροις ἐπιμελεστάτην παραφυλακὴν ὁ ταῦτα κομισάμενος [χρεωστεῖ], εἰς τὴν ἐκ τύχης καὶ μόνον ἐπισυμβαίνουσαν αὐτοῖς ἀπώλειαν μὴ ἐνεχόμενος· τὴν γὰρ ἐξ ἀμελείας αὐτοῦ τοῦ δανείσαντος γενομένην εἰς αὐτὰ βλάβην ἢ ἀπώλειαν αὐτὸν ἐπιγινώσκειν [7].

9 *. Ὁ δανειστὴς εἰ ἐνέχυρα λάβῃ ἢ καὶ ἐπάρῃ τὰ τέκνα τῶν ἰδίων χρεωστῶν ἢ καὶ εἰς δουλικὴν ὑπηρεσίαν ταῦτα μισθώσηται, ἐκπιπτέτω τοῦ χρέους καὶ ἄλλην τοσαύτην ποσότητα τῷ κρατηθέντι ἢ καὶ τοῖς τούτου γονεῦσι καταβαλλέτω [8].

10 **. Ἐάν τις ἔχων γυναῖκα δανείσηται ἔκ τινος καὶ μὴ εὐπορῇ ποιῆσαι τὴν τούτων ἀπόδοσιν, ἀνέγκλητος ἔστω ἡ γυνὴ αὐτοῦ τοῦ ταῦτα ἐκ τῆς προικὸς αὐτῆς παρασχεῖν τῷ δανείσαντι, εἰ μήπω εὑρεθῇ ἑκουσίως ἐν τῷ τοιούτῳ χρέει συνομολογήσασα τῷ ἀνδρὶ αὐτῆς [9].

11. Ἐὰν γυνὴ συναινέσῃ δανειζομένῳ τῷ οἰκείῳ ἀνδρὶ ἢ ἑτέρῳ οἱῳδήποτε προσώπῳ καὶ παρεγγυήσηται καὶ ὑπόθηται ἑαυτὴν καὶ τὰ οἰκεῖα πράγματα τὸ σύνολον, οὐ κατέχεται, εἰ μὴ σαφῶς ἀποδειχθῇ εἰς τὰ ἴδια αὐτῆς πράγματα τὰ δανεισθέντα προχωρῆσαι. ταῖς γὰρ ἀπατωμέναις ἢ βλαπτομέναις δεῖ βοηθεῖν καὶ οὐ ταῖς βλαπτούσαις ἢ ἀπατώσαις [10].

12 ***. Περὶ κοινωνίας. — Συνίσταται κοινωνία ἐγγράφως ἢ καὶ ἀγράφως μεταξὺ δύο ἢ καὶ πλειόνων, ὁπόταν ἕκαστος αὐτῶν ἐξ ἰσότητος ἢ καὶ ἐπ' ἔλαττον τὴν οἰκείαν εἰς ἐνθήκην συναγάγοι μοῖραν, ἤ τινων μὲν ἐνθήκην, ἑτέρου δὲ ἢ ἑτέρων τοὺς οἰκείους μόχθους καὶ ὀπέρας καταβαλλομένων. τὸ δὲ περιποιούμενον αὐτοῖς κέρδος, μεθ' ὑφαίρεσιν δηλονότι τῶν κεφαλαίων, κατὰ τὰ ἐν μέσῳ αὐτῶν στοιχηθέντα ἐπιμερίζεσθαι. εἰ δὲ συμβῇ ἐπὶ τῇ τοιαύτῃ κοινωνίᾳ προσγενέσθαι τῇ ἐνθήκῃ

---

[6] Dig. XXII, 2, 3. Cod. IV, 32, 26 §. 1. [7] Dig. XIII, 7, 13 §. 1. * Cod. β΄. [8] Ecl. X, 3. — Noster Codex hoc loco intrudit fragmentum, quod tamen Vindobonensis non agnoscit. Est autem hoc; περὶ ἐκδικήσεως προικὸς καὶ τῶν ἀρραβώνων αὐτῶν. Οὐ μόνον ἐπὶ τῶν συνεστώτων γάμων, ἀλλὰ καὶ ἐπὶ τῶν κεκωλυμένων ἀνίσχυροί εἰσιν αἱ δωρεαί. ** Cod. γ΄. [9] Ecl. X, 4. [10] Nov. 134 c. 8. Cf. Athanas. IV, 22. *** Cod. δ΄.

ζημίαν, ἕκαστον κοινωνὸν κατὰ τὴν τοῦ κέρδους μοῖραν ταύτην ἐπιγινώσκειν [11].

13. Ὁ δανείζων γεωργῷ μὴ λαμβανέτω τὴν γῆν αὐτοῦ εἰς ὑποθήκην. εἰ μὲν καρποὺς δανείζῃ, κατὰ μόδιον ὀγδόην μοῖραν λαμβανέτω. εἰ δὲ καὶ λογάριν, ἐφ' ἑκάστῳ νομίσματι κεράτιον ἓν κατὰ τοὺς προειρημένους τόπους [12]. ὁ δὲ παρὰ ταῦτα δανείζων ἐκπίπτει τοῦ χρέους [13].

14. Λελύσθω τῆς ὑποθήκης ὁ ἀγρὸς ἐκ τῶν καρπῶν αὐτοῦ πληρωθέντος τοῦ χρέους, καὶ διὰ τοῦτο μὴ ἐκποιεῖσθαι παρὰ τοῦ δανειστοῦ [14].

ΤΙΤΛΟΣ ιβ'.

Περὶ παρακαταθήκης παντοίου εἴδους καὶ πράγματος καὶ τῶν ἐπ' αὐτῆς συμβαινόντων τυχηρῶν καὶ περὶ τῆς εἰς αὐτὴν γινομένης κακουργίας.

1. Παρακαταθήκη ἐστὶ τὸ πρὸς παραφυλακὴν διδόμενον χρυσίον χάραγμα ἢ ἕτερον εἶδος τὸ οἱονοῦν ἰδίῳ ἢ γνωρίμῳ αὐτοῦ διά τινα τοῦ παρατιθεμένου εὐλογοφανῆ πρόφασιν. εἰ μὲν γὰρ διὰ φόβον ἐμπρησμοῦ ἢ καταπτώσεως ἢ ναυαγίου ἢ θορύβου ἡ παραθήκη γέγονε, τὸν παραθηκάριον ἐξ ἀρνήσεως καὶ ἀγνωμοσύνης εἰς τὸ διπλοῦν καταδικάζεσθαι, εἴς τε τὸ παρατεθὲν καὶ ἄλλο τοσοῦτον. εἰ δὲ ἄνευ τῶν δ̄ τοιούτων προφάσεων ἡ τοιαύτη παρακαταθήκη γέγονεν [ἢ] ἑνὶ ἐδόθη, ἐξ ἀγνωμοσύνης εἰς τὸ ἁπλοῦν ἤγουν τὸ παρατεθὲν καὶ μόνον τὸν παραθηκάριον εἰσπράττεσθαι [1].

2. Ὁ παραθηκάριος εἰ ἐπὶ μισθῷ δοθέντι αὐτῷ ἢ ὁμολογηθέντι παραλάβῃ τὴν παραθήκην, ἐπιμελεστάτην ἐπ' αὐτῇ χρεωστεῖ παραφυλακὴν, τοῖς τυχηροῖς καὶ μόνον μὴ ἐνεχόμενος ἤγουν τοῖς ἐξ ἀπροόπτου καὶ ἀθρόου συμφορᾶς ἐπισυμβαίνουσιν. εἰ δὲ ἄνευ μισθοῦ τὴν παραθήκην ἐκομίσατο, οἵαν ἐπὶ τοῖς οἰκείοις ἐνδείκνυσι πράγμασι, τοιαύτην ἐπὶ τῇ παραθήκῃ ἐποφείλει συντήρησιν, δόλῳ καὶ ἄκρᾳ ῥαθυμίᾳ ἐνεχόμενος [2].

3*. Ἐάν τις δι' οἱανδήποτε πρόφασιν ἢ φόβον παραθήκην

---

[11] Ecl. X, 5. [12] Forte τρόπους. [13] Nov. 32. Cf. Athanas. XVI, 1. [14] Cod. VIII, 27, 1.

[1] Dig. XVI, 3, 1 pr. §. 1. [2] Dig. eod. 1 §. 5 et l. 32. * Cod. α'.

παράθηταί τινι καὶ συμβῇ τὸν ταῦτα παραλαμβάνοντα ἀρνήσασθαι, ζητουμένου τοῦ κεφαλαίου καὶ ἀποδεικνυμένου αὐτοῦ ψεύστου, κατὰ δίπλαν ἀποδότω ταῦτα τῷ παραθεμένῳ. εἰ δὲ καὶ δεήσει συμφοράν τινα εἴτε ἀπὸ πυρκαΐας ἢ καὶ ἀπὸ κλοπῆς ἐπελθεῖν αὐτῷ καὶ σὺν τῷ ἰδίῳ αὐτοῦ ἀπολέσθαι κἀκεῖνο, τηρείτωσαν οἱ ἀκροαταὶ καὶ ἀνέγκλητον τὸν τὴν τοιαύτην παραθήκην κατεσχηκότα παραφυλαττέτωσαν ὡς ἀκουσίως αὐτὰ ἀπολέσαντα [3].

ΤΙΤΛΟΣ ιγ'.

Περὶ ἐμφυτεύσεων διηνεκῶν καὶ ἐμπεριγράφων εἴτε τοῦ δημοσίου καὶ βασιλικῶν οἴκων [ἢ] ἐκκλησιῶν καὶ μοναστηρίων καὶ λοιπῶν εὐαγῶν τόπων, καὶ τῶν κεκωλυμένων συναλλάσσειν προσώπων.

1. Διηνεκεῖς ἐμφυτεύσεις ἀκινήτων δικαίων γίνονται ἐπὶ τελέσματι ἐνιαυσιαίῳ συμφωνουμένῳ καὶ ἐπιμελείᾳ τε καὶ διορθώσει τῶν ἐκδιδομένων. εἰ δέ τις ἐκ τῶν φροντιστῶν χαρτουλαρίων ἢ καὶ λοιπῶν πρὸς βλάβην ἢ περιγραφὴν τῆς πρωτοτύπου δεσποτείας φανῇ ἀπεργαζόμενος τίποτε, οὗτος μὲν παρευθὺ ἐκπιπτέτω ἐκ τοῦ στρατεύματος αὐτοῦ, ἀκυρούσθω δὲ καὶ ἡ τοιαύτη ἔκδοσις [1].

2. Τὸν διηνεκῶς ἐμφυτευσάμενον τὸ ἐνιαυσιαῖον ἀδιαστρόφως καταβαλλόμενον τέλεσμα, καὶ εἰς τὴν τοῦ ἀκινήτου ἀγωνιῶντα σύστασίν τε καὶ ἐπιμέλειαν, μὴ ἀποκινεῖσθαι ἐκ τῆς τοιαύτης ἐκδικήσεως, ἀλλ' ἐξεῖναι αὐτῷ τὸ δίκαιον τῆς τοιαύτης ἐμφυτεύσεως κληρονόμοις καταλιμπάνειν, δωρεῖσθαί τε καὶ ἐν προικὶ ἐπιδιδόναι ἢ καθ' ἕτερον τρόπον μεταχωρεῖν καὶ διαπιπράσκειν, προτίμησιν δηλονότι τῷ πρωτοτύπῳ δεσπότῃ πρὸ διαπράσεως παρέχοντι τοῦ αὐτὸν τὸ τοιοῦτον ὠνεῖσθαι δίκαιον. ἐκείνου δὲ μὴ βουλομένου, ἀπαρεμποδίστως μετὰ $\overline{β}$ μῆνας τῆς τούτου προτροπῆς πιπράσκειν αὐτὸν τοῖς μὴ κεκωλυμένοις προσώποις τά τε ἐμπονήματα καὶ τὸ τῆς τοιαύτης ἐμφυτεύσεως δίκαιον, ἀναγκαζομένου τοῦ πρωτοτύπου δεσπότου ἐπιτηδείους ὄντας τοὺς ὑπεισερχομένους ἐμφυτευτὰς ἐγγράφως

---

[3] Ecl. XI, 1.
[1] Ecl. XII, 1.

εἰσδέχεσθαι. μὴ ποιοῦντα δὲ τοῦτο [τὸν] ἐμφυτευτὴν ἐκπίπτειν τῆς ἐμφυτεύσεως [2].

3. Τοῦ διηνεκοῦς ἐμφυτευτοῦ, εἰ μὲν εὐαγοῦς οἴκου ἐστὶν, ἐπὶ τριετίαν ἀγνωμονοῦντος τὸ ἐτήσιον τέλος ἢ καὶ χεῖρον ποιοῦντος τὸ ἐμφυτευθὲν πρᾶγμα, ἄδειαν ἔχει ἡ δεσποτεία τοῦτον ἐκ τοῦ τοιούτου ἀκινήτου ἐξεοῦσθαι δικαίου, τὰ δὲ ὡς εἰκὸς παρ' αὐτοῦ χρεωστούμενα παραχωρεῖν. εἰ δὲ ἑτέρων τινῶν ἐμφυτευτὴς ὑπάρχει, ἐπὶ τριετίαν ἀγνωμονῶν ἢ ἀμελῶν τοῦ ἐμφυτευθέντος ἀκινήτου δικαίου καὶ αὐτὸς ἐξεούσθω κατὰ τὸν ὅμοιον τρόπον [3].

4. Ἡ δὲ τῆς βασιλίδος πόλεως ἁγιωτάτη ἐκκλησία καὶ οἱ τῆς περιοικίδος αὐτῆς σεπτότατοι οἶκοι, τό τε ὀρφανοτροφεῖον, τὰ πτωχεῖα, οἱ ξενῶνες, κεκώλυνται παρὲξ τῶν ἐρειπίων τόπων διηνεκῶς ἐκδιδόναι ἀκίνητον δίκαιον· βασιλικῷ δὲ οἴκῳ ἀνταλλάσσειν καὶ μόνον. αἱ δὲ ἐν ἐπαρχίαις οὖσαι σεπταὶ ἐκκλησίαι τε καὶ μοναστήρια, πρὸς δέ γε καὶ τὰ τῆς βασιλίδος πόλεως εὐαγῆ μοναστήρια, ἄδειαν ἐχέτωσαν διηνεκεῖς ἐμφυτεύσεις ποιεῖν [4].

5. Αἱ ἐμπερίγραφοι ἐμφυτεύσεις ἐξ οἱουδήποτε εὐαγοῦς τε καὶ βασιλικοῦ οἴκου καὶ ἑτέρου προσώπου γινέσθωσαν ἐπὶ ὀνομαστῷ ἐνιαυσιαίῳ τελέσματι κατὰ τὰ ἀνωτέρως προσκείμενα, μέχρι γ̄ καὶ μόνον προσώπων ἀλλήλους ἐκ διαθήκης ἢ καὶ ἐξ ἀδιαθέτου διαθέσεως δεχομένων, τὸ ϛ' μέρος τοῦ σωζομένου κανόνος ἐν ἀρχῇ τοῦ συναλλάγματος κουφιζομένου· μὴ δυναμένου τοῦ τελευταίου γ̄ προσώπου ἐπανακαινίζειν τὸ ἐμπερίγραφον ἐμφύτευμα, τοῦ μὴ εἰς διηνεκὲς αὐτὸ τῷ τρόπῳ τούτῳ παρεκτείνεσθαι σχῆμα [5].

6. Μὴ ἐκλαμβανέτωσαν διηνεκῶς ἢ ἐμπεριγράφως οἱ φροντισταὶ τοῦ ἐκδιδοῦντος μέρους βασιλικοῦ τε ἢ εὐαγοῦς οἴκου ἢ χαρτουλάριοι ἢ διοικηταὶ ἢ συγγενεῖς αὐτῶν μηδὲ διὰ παρενθέτου προσώπου. ἀλλ' οὔτε ἄρχοντες πολιτικοὶ ἐμφυτεύεσθαι ἢ μισθοῦσθαι δύνανται. μήτε δὲ στρατιῶται συναλλάγμασι τοιούτοις ὑπεισερχέσθωσαν, ἢ ἑαυτοὺς παρεμβαλλέτωσαν, μήτε δὲ οἴκοις ἢ κτήμασί τινων προσεδρευέτωσαν ἢ ὑπουργείτωσαν, ὡς ὑπὲρ τῆς πολιτείας κατὰ τῶν ἐχθρῶν καὶ μόνον ἀγωνίζεσθαι τεταγμένοι [6].

---

[2] Ecl. XII, 2. [3] Ecl. XII, 3. [4] Ecl. XII, 4. [5] Ecl. XII, 5
[6] Ecl. XII, 6.

ΤΙΤΛΟΣ ιδ'.

Περὶ μισθώσεως οἰκημάτων, κτημάτων, χωρίων, ἀγρῶν, πλοίων, ὁμολογιῶν τῶν ὑποτελῶν, ἐγγράφου καὶ ἀγράφου.

1. Αἱ μισθώσεις ἔγγραφοί τε καὶ ἄγραφοι ἐπὶ ὀνομαστῷ ἐνιαυσιαίῳ συμφωνουμένῳ τελέσματι καὶ αὐταὶ ἔστωσαν, περαιτέρω τῶν ιθ[1] χρόνων μὴ ἐκτεινόμεναι, εἴτε ἐκληπτορικῶς εἴτε τοῦ μέρους τοῦ δημοσίου ἢ βασιλικοῦ οἴκου ἢ εὐαγοῦς τόπου κτημάτων, χωρίων, ἀγρῶν ἢ καὶ λοιπῶν αἱ τοιαῦται ἐκδόσεις γεγένηνται· καὶ πρὸς τὸ ἐκσυμφωνηθὲν ἐκ τοῦ ἐκλαμβανομένου καὶ ὁμολογηθὲν ἐνιαυσιαῖον μισθωτικὸν τέλεσμα παρὰ τοῦ ἐκδεδωκότος [μέρους εἰσπράττεσθαι. μὴ δυναμένων εἴτε τοῦ ἐκδεδωκότος] εἴτε τοῦ ἐκλαμβανομένου μετάμελον μετὰ τὴν μίσθωσιν ἐντὸς ἐνιαυτοῦ προτίθεσθαι, ἐὰν ἐκ συμφώνου περὶ τούτου ὀνομαστὶ ἀπετάξαντο[2].

ΤΙΤΛΟΣ ιε'.

Περὶ μαρτύρων καὶ τῶν τὰ ἴδια ἀρνουμένων ἰδιόχειρα.

1. Οἱ μάρτυρες ἢ ἀξίαν ἢ στρατείαν ἢ ἐπιτήδευμα ἢ εὐπορίαν ἔχοντες κατὰ πρόληψιν δεκτέοι τυγχάνουσιν. εἰ δὲ καὶ εὑρεθῶσι μάρτυρες ἄγνωστοι καὶ ἀμφισβηταὶ[1] τὰ τῆς αὐτῶν μαρτυρίας, κανονιζέτωσαν οἱ ἀκροαταὶ καὶ διὰ βασάνων ἐρχέσθωσαν πρὸς αὐτούς, ὅπως τὴν τῆς ἀληθείας κατάληψιν εὕρωσιν[2].

2. Οἱ μάρτυρες ἐὰν ἄγνωστοι καὶ εὐτελεῖς εἰσιν, καὶ ἀμφισβητεῖται τὰ τῆς αὐτῶν μαρτυρίας, δύναται ὁ δικαστής, εἰ μὲν ἄρχων ἐστὶν, δι' ἑαυτοῦ πρὸς κατάληψιν τῆς ἀληθείας τούτους βασανίζειν· εἰ δὲ μή ἐστιν ἄρχων, ἐν κωνσταντινουπόλει ὁ πραίτωρ, ἐν δὲ ταῖς ἐπαρχίαις ἢ ἄρχων ἢ ἔκδικος δύναται ὡς εἴρηται τούτους βασανίζειν[3].

3*. Οἱ ἀνιόντες καὶ κατιόντες κατ' ἀλλήλων μὴ μαρτυρείτωσαν[4].

---

[1] Lege κθ'. [2] Ecl XIII.

[1] Lege: ἀμφισβητεῖται. [2] Ecl. XIV, 1. [3] Nov. 90 c. 1. Cf. Athanas. V, 5. * Cod. β'. [4] Ecl. XIV, 2.

4*. *Μὴ ἀναγκαζέσθω τὶς καθ' ἑαυτοῦ ἄγειν μάρτυρας*[5].

5. *Οἱ μάρτυρες ἐπὶ τῶν δικαστῶν εἰς μαρτυρίαν εἰσαγόμενοι πρῶτον μὲν ἄνευ ὅρκου ἐπὶ δυσὶν ἢ τρισὶν ἀνακρίσεσι τὰ τῆς εἰδήσεως αὐτῶν λεγέτωσαν, καὶ ἐὰν περὶ τοῦ ζητουμένου εὑρεθῶσι λέγοντες τίποτε, τότε ὀμνυέτωσαν*[6].

6. *Οὔτε ὑπὲρ δεσπότου οὔτε κατὰ δεσπότου δοῦλος ἢ ἀπελεύθερος μαρτυρείτω*[7].

7. *Πρὸ τοῦ ἀποθέσθαι τὴν εἴδησιν οἱ μάρτυρες πρὸ τῶν ἁγίων εὐαγγελίων ὀμνυέτωσαν ὡς ἀληθῆ μαρτυροῦσιν ἢ ὡς οὐδὲν ἐπίστανται περὶ τοῦ πράγματος*[8].

8. *Ἕνα μὴ προσίεσθαι μάρτυρα, κἂν συγκλητικός ἐστιν*[9].

9**. *Ἐν ἰδίῳ πράγματι μηδεὶς μαρτυρείτω*[10].

10. *Οἱ μακρὰν διάγοντες μάρτυρες ἐν ταῖς χρηματικαῖς ὑποθέσεσιν κατὰ τὸν τόπον μὴ ἀναγκαζέσθωσαν παραγενέσθαι, ἀλλὰ δι' ἐντολῶν πρὸς αὐτοὺς στελλομένων τὰ τῆς εἰδήσεως αὐτῶν μαρτυρείτωσαν*[11].

11. *Τὸν ὑπέρ τινος ἐν ἑτέρᾳ ὑποθέσει μαρτυρήσαντα κατ' αὐτοῦ παραγενόμενον μὴ παραγράφεσθαι, εἰ μήτοιγε ἐχθρὸς τοῦ καθ' οὗ παράγεται γέγονεν ἢ δόσει ποσότητος ἢ ἐπαγγελίᾳ ὑποφθαρῇ*[12].

12. *Οἱ παρὰ αἱρετοῖς ἤτοι κομπρομισσαρίοις δικασταῖς μαρτυρήσαντες, τῆς δίκης μεταφερομένης εἰς δικαστήριον πάλιν μαρτυρείτωσαν, ἢ αἱ φωναὶ αὐτῶν ἀγέσθωσαν, εἰ ὁ ἀντίδικος βούλεται. εἰ δὲ ἐτελεύτησαν οἱ μάρτυρες, τότε τὰ παρὰ τῷ κομπρομισσαρίῳ μεμαρτυρημένα παραγέσθωσαν. εἰ δέ τινες μὲν ἐτελεύτησαν, τινὲς δὲ ὕπεισιν, τῶν τελευτησάντων αἱ καταθέσεις προσφερέσθωσαν*[13].

13. *Ἐάν τις μάρτυρας ἐν ἰδίῳ πράγματι παραγάγῃ, τὸν δὲ αυτον μάρτυρα ἕτερον πρόσωπον ἐν ἄλλῳ κεφαλαίῳ κατ' αὐτοῦ ἀγάγῃ, τὸν τοιοῦτον κατ' ἐκείνου παραγενόμενον μὴ παραγράφεσθαι, εἰ μήπω φανῇ ὡς ἔχθρα τὶς τελευταῖον παρηκολούθησε μεταξὺ αὐτῶν, ἢ δόσις ἢ καὶ ὑπόσχεσις πρὸς ὑποφθορὰν τοῦ πράγματος τῷ μάρτυρι γέγονεν*[14].

14***. *Ἐάν τινες ἐκ συμφωνίας παρὰ κοινοῖς εὑρισκόμενοι δικασταῖς καὶ λαμβάνοντες φωνὴν μὴ ἐμμείνωσιν, ἀλλὰ πάλιν εἰς ἕτερον θελήσωσιν ἀπελθεῖν δικαστήριον, τοὺς πρῴην ἐπὶ*

* Cod. γ'. [5] Ecl. XIV, 4. [6] Ecl. XIV, 5. [7] Ecl. XIV, 3. [8] Cod. IV, 20, 9 pr. [9] Cod. eod. 9 §. 1. ** Cod. δ'. [10] Cod. eod. 10. [11] Ecl. XIV, 6. [12] Cod. IV, 20, 17. [13] Cod. eod. 20. [14] Ecl. XIV, 7. *** Cod. ε'.

τῷ κεφαλαίῳ αὐτῶν πραχθέντας μάρτυρας μὴ παραγράφεσθαι. εἰ δὲ καὶ συμβῇ τοὺς αὐτοὺς μάρτυρας τελευτῆσαι, τὰς τούτων φωνὰς τοὺς προτέρους δικαστὰς δι' ὅρκου φανεροποιεῖν. καὶ εἰ μὲν ὁ τῇ προγενεστέρᾳ φωνῇ μὴ ἐμμείνας παρὰ τοῖς ἐσχάτοις δικασταῖς εὑρισκόμενος ἐκνικήσει, ἔστω ἀνέγκλητος. εἰ δὲ πάλιν καὶ παρ' ἐκείνων κατακριθῇ καὶ φανῇ ἀδίκως ἐνσύρων τὸν ἀντίδικον αὐτοῦ, τὸ ὡς εἰκὸς παρὰ τῶν προτέρων δικαστῶν ὁρισθὲν πρόστιμον παρεχέτω τῷ ἐμμείναντι. εἰ δὲ καὶ πρόστιμον οὐχ ὥριστο μεταξὺ αὐτῶν, διδότω τὴν συντριβὴν αὐτοῦ ἢ ἄλλην ὑπομενέτω οἵαν οἱ δικασταὶ συνείδωσιν ὑπεξέλευσιν [15].

15*. Οἱ μάρτυρες ἀκοῇ μὴ προσμαρτυρείτωσαν, λέγοντες ὡς ἠκούσαμεν ἔκ τινος τόνδε χρεωστεῖν ἢ τόνδε καταβάλλεσθαι, κἂν ταβουλάριοι ὦσιν οἱ ταῦτα μαρτυροῦντες [16].

16**. Ταβουλάριοι μὴ πιστευέσθωσαν ἐν ἐκμαρτυρίῳ λέγοντες τὸν ἔμπειρον γραμμάτων χωρὶς ὑπογραφῆς οἰκεῖον ὁμολογῆσαι χρέος, εἰ μὴ τῇ ἐπὶ μαρτύρων νομίμῳ καταθέσει [17].

17. Ἐν ἐκμαρτυρίῳ μὴ πιστευέσθω ταβουλάριος, ἐὰν ὁ δανεισάμενος γράμματα γινώσκων καὶ δυνατῶς ἔχων ἐν τῇ τοῦ χρέους ὁμολογίᾳ ὑπογράψαι ἐξ ἰδιοχείρου μὴ ὑπογράψῃ [18].

18†. Ἐπὶ τῶν ἐγκληματικῶν πάντως ἐπὶ τῷ ἀκροωμένῳ τῆς ὑποθέσεως δικαστῇ παραγενέσθωσαν οἱ μάρτυρες [19].

19. Μέχρι β̄ ἢ γ̄ ἀξιοπίστων μαρτύρων τὸν δικαστὴν προσανέχειν ἐπὶ τῇ ἀληθεῖ τῆς ζητουμένης ὑποθέσεως καταλήψει, παρὲξ τῶν προανατεταγμένων κεφαλαίων τῶν διάριν τοῦ ἀριθμοῦ μαρτύρων τὴν σύστασιν [20] ἀπαιτούντων [21].

20††. Οἱ μάρτυρες ὁσοιδήποτε ἀριθμῷ ὦσι, μέχρι δ̄ καὶ μόνον ταξειδίων ἀγέσθωσαν, ἑκάστης παραγωγῆς μίαν ἡμέραν λαμβανούσης· εἰ δὲ πρὸ τῆς δ̄ παραγωγῆς ἀποτάξηται ὁ παράγων καὶ τὰ μεμαρτυρημένα ἐκδοθῶσι, μετὰ τοῦτο μὴ παράγειν αὐτὸν ἕτερον μάρτυρα ἀλλ' ἐμμένειν ταῖς τῶν πραχθέντων μαρτύρων φωναῖς [22].

21†††. Ὁ τὴν οἰκείαν ἰδιόχειρον τοῦ χρέους συγγραφὴν ἀρνούμενος, ἢ καὶ τὰ οἰκεῖα μὲν γράμματα συντιθέμενος, ἀρνεῖται δὲ τὴν καταβολὴν τῆς ποσότητος, ὡς ἔνθεν ἀναγκα-

---

[15] Ecl. XIV, 8. * Cod. ϛ'. [16] Ecl. XIV, 9. ** Cod. ζ'. [17] Nov. 90 c. 3. Cf. Athanas. V, 5. [18] Nov. cit. † Cod. η'. [19] Ecl. XIV, 10. [20] Forte: τῶν περισσότερον ἀριθμὸν μαρτύρων πρὸς σύστασιν. [21] Dig. XXII, 5, 1 §. 3 et l. 12. †† Cod. ϑ'. [22] Ecl. XIV, 11. ††† Cod. ι'.

σθῆναι τὰς συστάσεις ποιεῖν τῶν ἐποφειλομένων, μετὰ ἀπόδειξιν τῆς ἀληθείας διπλῇ ποσότητι ὁ ἀρνούμενος τοῦ χρέους καταδικαζέσθω [23].

ΤΙΤΛΟΣ ιϛ'.

Περὶ διαλύσεων [1] ὑπὸ ἀνηλίκων παίδων γινομένων.

1. Ἡ διάλυσις ἐγγράφως διὰ ὑπογραφῆς γ̅ μαρτύρων γενέσθω [2].

2. Ἐάν τις τῶν ἐντελῶν χρόνων μὴ ὢν διάλυσιν ποιήσῃ πρός τινα καὶ διὰ τὴν τῶν χρόνων ἴσως ἀτέλειαν καταφρονηθῇ ἢ καὶ δι' ἑτέραν αἰτίαν τὴν οἱανοῦν παραβλαβῇ, καὶ εἰς τὴν τῶν κ̅ε̅ χρόνων ἐντέλειαν καταντῶν διαγνῷ τὴν προγινομένην αὐτῷ βλάβην, ἄδειαν ἔχειν παρὰ δικασταῖς κινεῖν τὰ τῆς ὑποθέσεως, καὶ τῆς ἀληθείας ἀποδεικνυμένης φυλαττέσθω τούτῳ τὸ δίκαιον· εἰ δὲ τὰ τῆς ἀδικίας ἀποδεῖξαι μὴ δυνηθείη, βεβαίαν εἶναι τὴν τοιαύτην διάλυσιν [3].

3 *. Εἰ δὲ καί τις μείζων τῶν κ̅ε̅ ἐτῶν ὑπάρχων διὰ φόβον ἐξουσίας χειρὶ ἢ καὶ δόλῳ τῷ οἱῳδήποτε εὑρεθῇ πεποιηκὼς διάλυσιν, καὶ τοῦτο παρὰ ἀκροαταῖς ἀποδειχθῇ, τὴν τοιαύτην διάλυσιν ἀνατρέπεσθαι καὶ ἐξ ἀπαρχῆς τὸ κατ' αὐτὸν ζητείσθω κεφάλαιον [4].

4. Διάλυσίς ἐστιν ἀμφιβαλλομένου καὶ φιλονεικουμένου κεφαλαίου τομὴ καὶ περάτωσις [5]. γίνεται δὲ ἢ ἐξ ἰδιοχείρου μεμαρτυρημένου ἢ δι' ἀγοραίου τετελεσμένου συμβολαίου ἢ δι' ὁμολογήσεως ἀγράφου ἐπί τινων προσώπων βεβαιουμένης.

5. Μετὰ τετελεσμένην διάλυσιν μὴ κινείτω τὶς, εἰ μήπω παράσχοι πάντα, ὅσα διαλυσάμενος ἐκομίσατο, καὶ τοῦτο βουλομένου τοῦ ἐναγομένου [6].

6. Ὁ περὶ ῥητῆς ποσότητος διαλυσάμενος, μείζων ὢν τῶν κ̅ε̅ ἐνιαυτῶν, δύναται κινεῖν περὶ λοιπῆς ἐποφειλομένης αὐτῷ ποσότητος [7]. εἰ δὲ γενικῶς καὶ περιεκτικῶς καθόλου ἄνευ τινὸς κακουργήματος καὶ δόλου παρακολουθήσαντος διελύσατο, μηκέτι κινείτω, ἀλλὰ καὶ τὴν ἐγκειμένην ποινὴν ἀπαιτείσθω,

---

[23] Ecl. XIV, 12.

[1] Videtur addendum esse: κυρουμένων καὶ ἀνατρεπομένων καὶ. [2] Ecl. XV, 1. [3] Ecl. XV, 2. * Cod. β'. [4] Ecl. XV, 3. [5] Dig. II, 15, 1. [6] Cod. II, 4, 14. [7] Cod. II, 4, 24. 31.

καὶ οὕτως ἀπαρασάλευτον εἶναι τὴν τοιαύτην διάλυσιν[8]. τὴν γὰρ φόβῳ ἢ δόλῳ καὶ κακονοίᾳ τινὶ γενομένην διάλυσιν εἴσω διετίας, τούτου τρανῶς ἀποδεικνυμένου, ἀνατρέπεσθαι[9].

7. Ὁ ἥττων τῶν κε ἐτῶν ἄνευ κουράτορος διαλυόμενος, εἰ ἐκ τούτου παραβλαβῇ τι, κινείτω μέχρι τοῦ κθ τῆς οἰκείας ἡλικίας χρόνου τὴν περὶ τῆς βλάβης αὐτοῦ ἀγωγὴν, μὴ προκριματιζόμενος ἕνεκεν τῆς παρ' αὐτοῦ σχετισθείσης[10] διαλύσεως[11].

ΤΙΤΛΟΣ ιζ.

Ποινάλιος τῶν ἐγκληματικῶν κεφαλαίων*.

1. Μηδεὶς τὸν ἐν ἐκκλησίᾳ προσφεύγοντα βίᾳ ἀφαιρείσθω, ἀλλὰ τὴν αἰτίαν τοῦ πρόσφυγος δηλοποιείτω τῷ ἱερεῖ [καὶ παρ' αὐτοῦ] μετὰ τῶν ἀσφαλῶν παραλαμβανέτω τὸν προσφεύγοντα τοῦ νομίμως ζητηθῆναι καὶ διοικηθῆναι τὸ κατ' αὐτὸν κεφάλαιον. εἰ δέ τις δοκιμάσει χειρὶ ἀπὸ ἐκκλησίας πρόσφυγα ἐπάραι τὸν οἱονδήποτε, ὁ τοιοῦτος ιβ ἀλλακτὰ λαμβανέτω καὶ τότε κατὰ τὸ πρέπον τὸ τοῦ αὐτοῦ προσφύγου ζητείσθω κεφάλαιον[1].

2. Ὁ ἐκ δικαστικῆς ψήφου ἢ καὶ ἐπὶ μαρτυρίᾳ παραγενόμενος ἢ ἐξ ἐπαγωγῆς ἀντιδίκου καὶ ἐφαπτόμενος τῶν ἁγίων τοῦ θεοῦ εὐαγγελίων καὶ ἐφομνύμενος[2], ἐπίορκος δὲ μετὰ ταῦτα ἀποδεικνύμενος, γλωσσοκοπείσθω[3].

3. Ὁ καθοσίωσιν πλημμελῶν ἤγουν κατὰ βασιλέως φρατριάζων ἢ βουλευόμενος ἢ συνομοσίας κατ' αὐτοῦ ἢ τῆς αὐτοῦ πολιτείας ποιῶν, ξίφει τιμωρείσθω. ὁ διαλοιδορῶν ἢ κακῶς μνημονεύων τοῦ βασιλέως, ὑπ' οὐδενὸς μὲν τιμωρείσθω, ἀλλὰ τα περὶ αὐτοῦ ἀναφερέσθω τῷ βασιλεῖ καὶ παρ' αὐτοῦ τὴν κρίσιν προέρχεσθαι[4].

---

[8] Cod. II, 4, 17. [9] Cod II, 4, 13. 19. 20, 8. [10] Bodlej. 3399: ἐκτεθείσης. [11] Cod. II, 31. 52, 7.

* Cod. Vindob. jurid. gr. 3 fol. 17 verso §§os hujus tituli diverso plane ordine exhibet. Noster quoque §§os non continua serie numerat, — quod equidem in commodum lectorum feci, — sed numeros passim omittit, hic illic extra seriem inscribit, ut genuinum ordinem se non servasse ipse videatur indicare. [1] Ecl. XVII, 1. [2] Lege ἐπομν. [3] Ecl. XVII, 2. [4] Cod. IX, 7.

4. Ὁ κατὰ βασιλέως φρατριάζων ἢ βουλευόμενος ἢ συνομοσίας κατ᾿ αὐτοῦ ἢ τῆς πολιτείας τῶν χριστιανῶν ποιῶν, τὸν μὲν τοιοῦτον ἥρμοσε κατὰ τὴν ὥραν θανατοῦσθαι ὡς τὴν τοῦ παντὸς κατάλυσιν μελετήσαντα. ἀλλ᾿ ἵνα μή τινες καὶ ἐχθρωδῶς πολλάκις διακείμενοι πρός τινας ἀνακρίτως [5] φονεύσωσιν, ἀπολογίαν ἐσχάτως προσφέροντες ὡς κατὰ τῆς βασιλείας ἐλάλησεν, δέον τὸν τοιοῦτον κατὰ τὸν τόπον ὑπὸ στερεὰν φυλακὴν γενέσθαι καὶ τὰ περὶ τούτου τῷ βασιλεῖ ἀναφέρεσθαι καὶ καθὼς λοιπὸν αὐτὸς ἀνακρίνει καὶ βουλεύσεται ποιεῖν [6].

5 *. Περὶ φόνων ἑκουσίων καὶ ἀκουσίων. — Ὁ φονεύων ἑκουσίως, οἱασδήποτε ἡλικίας ἐστὶ, ξίφει τιμωρείσθω [7].

6. Ὁ μετὰ ξίφους πλήττων τινὰ, ἐὰν φονεύσῃ, ξίφει τιμωρείσθω. εἰ δὲ οὐκ ἀποθάνῃ ὁ πληγεὶς, χειροκοπείσθω ὁ δεδωκὼς, διὸ ὅλως μετὰ ξίφους δοῦναι ἐτόλμησεν [8].

7. Ἐάν τις τὸν ἴδιον οἰκέτην λώροις ἢ ῥάβδοις τύψῃ καὶ ἀποθάνῃ· οὐ κατακρίνεται ὁ δεσπότης αὐτοῦ ὡς ἀνδροφόνος. εἰ δὲ ἀμέτρως αὐτὸν ἐβασάνισεν ἢ φαρμάκῳ ἀνεῖλεν ἢ προσέκαυσεν, ὡς φόνον πεποιηκὼς τιμωρείσθω [9].

8 **. Ἐὰν μάχης μεταξύ [τινων] γενομένης συμβῇ θάνατον προελθεῖν, συγκρινέτωσαν οἱ ἀκροαταὶ καὶ τηρείτωσαν τὰ ὄργανα δι᾿ ὧν ἐπράχθη ὁ θάνατος. καὶ εἰ εὕρωσι διὰ ξύλων τελείων ἢ λίθων μεγάλων ἢ λακτέων τὸν φόνον γενέσθαι, ὁ τοιοῦτο ποιῶν χειροκοπείσθω. εἰ δὲ δι᾿ ἐλαφροτέρων τινῶν συμβῇ γενέσθαι τὸν θάνατον, τύπτεσθαι αὐτὸν καὶ ἐξορίζεσθαι [10].

9 ***. Ὁ ἐν μάχῃ μετὰ χειρῶν τύπτων καὶ φονεύων, τυπτέσθω καὶ ἐξοριζέσθω ὡς ἀκουσίως φονεύων [11].

10 †. Περὶ φθορέων. — Ὁ ἁρπάζων τὴν τῷ θεῷ καθιερωμένην ἢ παρθένον ἢ χήραν τιμίως ζῶσαν ἢ ὕπανδρον ἢ τὴν ἰδίαν μνηστὴν, ξίφει τιμωρείσθω [12].

11. Ὁ ἀσελγὴς ὅ τε ποιῶν καὶ ὁ ὑπομένων, ξίφει τιμωρείσθω. ὁ δὲ ἥττων τῶν ιε ἐτῶν τυπτέσθω καὶ ἐν μοναστηρίῳ εἰσαγέσθω, ὡς τῆς ἡλικίας δηλούσης ἀκουσίως τοῦτο πεπονθέναι [13].

12 ††. Ὁ ἐξπλοράτωρ ἤγουν ὁ ἐκ τῶν πολεμίων κατάσκοπος ξίφει τιμωρείσθω [14].

[5] Lege ἀκρίτως. [6] Ecl. XVII, 3. * Cod. δ'. [7] Ecl. XVII, 45. [8] Ecl. XVII, 46. [9] Ecl. XVII, 49. ** Cod. να'. [10] Ecl. XVII, 47. *** Cod. νγ'. [11] Ecl. XVII, 48. † Cod. ε'. [12] Cod. IX, 13. [13] Ecl. XVII, 38. †† Cod. ς'. [14] Dig. XLIX, 16, 6 § 4.

13 *. Ὁ αὐτόμολος εἰς τοὺς πολεμίους προστρέχων ξίφει τιμωρείσθω [15].

14 **. Ὁ ληστὴς ἤγουν ὁ ἐνέδρας ποιῶν πρὸς ἐπιβουλὰς ἀνθρώπων ἐπιτοπίως φουρκιζέσθω [16].

15 ***. Ὁ ἀλλοτρίας ἀγέλης οἱασδήποτε ἀπελασίαν ποιούμενος, ἐν μὲν πρώτοις τοῦτο ποιῶν, τυπτέσθω· δεύτερον δὲ, ἐν ἐξορίᾳ παραπεμπέσθω· τρίτον δὲ, χειροκοπείσθω· ὀφείλοντος δηλονότι τοῦ παρ᾽ αὐτοῦ ἀπελαυνομένου τῇ ἰδίᾳ ἀποκαθίστασθαι δεσποτείᾳ [17].

16 †. Περὶ αἱμομίκτων. — Οἱ αἱμομῖκται ἢ γονεῖς πρὸς τέκνα ἢ τέκνα πρὸς γονεῖς ἢ ἀδελφοὶ πρὸς ἀδελφὰς ξίφει τιμωρείσθωσαν. οἱ δὲ πρὸς ἄλλην συγγένειαν συνδιαφθειρόμενοι, τουτέστι πατὴρ πρὸς γυναῖκα υἱοῦ ἢ υἱὸς εἰς γυναῖκα πατρὸς ἤγουν μητρυιὰν ἢ πατρωὸς εἰς προγονὴν ἢ ἀδελφὸς εἰς γυναῖκα ἀδελφοῦ ἢ θεῖος εἰς ἀνεψιὰν ἢ ἀνεψιὸς εἰς θείαν, ὁμοίως ῥινοκοπείσθωσαν· ὁμοίως καὶ ὁ εἰς δύο ἀδελφὰς σὺν εἰδήσει μιγνύμενος [18].

17††. Ὁ ἀγαγόμενος νομίμως γυναῖκα καὶ τῇ ταύτης ἀδελφῇ συμπαραφθαρεὶς σαρκικῶς, ἢ θυγατρὶ αὐτῆς ἐκείνου δὲ προγονῇ, τυπτέσθω καὶ ῥινοκοπείσθω καὶ διηνεκῶς ἐξοριζέσθω. καὶ ἡ συμπλακεῖσα δὲ αὐτῷ ὡς ἐν εἰδήσει πλημμελήσασα καὶ αὐτὴ τυπτέσθω καὶ ῥινοκοπείσθω μὴ ἐξοριζομένη [19].

18†††. Ὁ πορνικαῖς ἀλλοτρίαις μητροθυγατράσι ἐν εἰδήσει σαρκικῶς μιγνύμενος, τυπτέσθω καὶ ῥινοκοπείσθω· τῇ αὐτῇ ποινῇ ὑποκειμένης καὶ τῆς ἐν εἰδήσει συμπλημμελησάσης αὐτῷ [20].

19 †*. Ἐὰν γυνὴ ἐπιβουλεύηται τῇ ἰδίᾳ γαστρὶ πρὸς τὸ ἐκτρῶσαι. — Ἐὰν γυνὴ πορνεύσῃ καὶ γένηται ἔγκυος, καὶ ἐπιβουλεύσῃ τῇ ἰδίᾳ γαστρὶ πρὸς τὸ ἐκτρῶσαι, τυπτομένη ἐξοριζέσθω [21].

20 †**. Ὁ συγγινόμενος κόρῃ παρθένῳ, προαιρέσει μὲν τῆς κόρης, ἀγνοούντων δὲ τῶν αὐτῆς γονέων, ἐν ὑστέρῳ δὲ τούτων διαγινωσκόντων, εἰ μὲν θελήσει λαβεῖν αὐτὴν καὶ θελήσωσι καὶ οἱ γονεῖς αὐτῆς, γινέσθω τὸ συνάλλαγμα. εἰ δὲ ἓν τῶν μερῶν οὐ θελήσει, εἰ μέν ἐστιν εὔπορος ὁ φθορεὺς, διδότω τῇ φθαρείσῃ κόρῃ λίτραν μίαν χρυσίου· εἰ δέ ἐστιν ἐνδεέστερος,

---

* Cod. ζ'. [15] Cf. Ecl. p. 51 not. 170. ** Cod. η'. [16] Ecl. XVII, 50.
*** Cod. θ'. [17] Ecl. XVII, 13. † Cod. ιε'. [18] Ecl. XVII, 33.
†† Cod. ια'. [19] Fontem non invenio. ††† Cod. ιβ'. [20] Ecl. XVIII, 34.
†* Cod. κζ'. [21] Ecl. XVII, 36. †** Cod. μζ'.

διδότω τὸ ἥμισυ τῆς ὑποστάσεως αὐτοῦ· εἰ δὲ παντελῶς ὑπάρχει πένης καὶ ἀνεύπορος, τυπτόμενος καὶ κουρευόμενος ἐξοριζέσθω[22].

21 *. *Ὁ μὴ ἔχων γυναῖκα καὶ πορνεύων, τυπτέσθω ἀλλακτὰ ἕξ*[23].

22. *Ὁ γυναῖκα νομίμως ἔχων καὶ εἰς πορνείαν εὑρισκόμενος, ὡς τὸ ῥῆμα τοῦ κυρίου καταφρονῶν τὸ διδάσκον· μὴ πορνεύσῃς, τυπτέσθω πρὸς σωφρονισμὸν ἀλλακτὰ ιβ̅, κἄντε πλούσιός ἐστι κἄντε πένης*[24].

23 **. *Ὁ ἔχων γυναῖκα καὶ τῇ ἰδίᾳ συγγινόμενος δούλῃ, διαγινωσκομένου τοῦ πράγματος ταύτην ὑπὸ τοῦ κατὰ τὸν τόπον ἄρχοντος ἐπαίρεσθαι καὶ ὑπὲρ ἐπαρχίαν πιπράσκεσθαι, τῶν τιμῶν αὐτῆς εἰσκομιζομένων ἐν τῷ μέρει τοῦ δημοσίου*[25].

24 ***. *Ὁ πορνεύων εἰς δούλην ἀλλοτρίαν, ἔντιμος ὢν παρεχέτω ὑπὲρ τοῦ τοιούτου πταίσματος τῷ αὐθέντῃ τῆς δούλης νομίσματα λϛ̅, εὐτελὴς δὲ ὢν τυπτέσθω καὶ εἰς ὃ εὐπορεῖ κατὰ ἀναλογίαν τῶν λϛ̅ νομισμάτων διδότω*[26].

25 †. *Ὁ εἰς ὕπανδρον γυναῖκα πλημμελῶν ῥινοκοπείσθω καὶ αὐτὸς καὶ ἡ μοιχαλὶς, ὡς ἐντεῦθεν χωρισμοῦ γινομένου καὶ ἀπωλείας τέκνων προερχομένης καὶ τοῦ κυριακοῦ λόγου μὴ φυλαττομένου τοῦ διδάσκοντος· ὅτι ὁ θεὸς εἰς σάρκα μίαν τούτους συνήνωσεν· μετὰ δὲ τὸ ῥινοκοπηθῆναι τὴν μοιχαλίδα λαμβάνειν αὐτὴν τὰ ἴδια αὐτῆς πράγματα, ἅπερ εἰσήγαγε τῷ ἀνδρὶ αὐτῆς καὶ μηδὲν ἕτερον, τὸν δὲ μοιχὸν ἐκ τῆς ἰδίας γυναικὸς μὴ χωρίζεσθαι, εἰ καὶ ἐρινοκοπήθη. μετὰ πολλῆς δὲ ἀκριβείας τὸ περὶ μοιχείας ζητείσθω κεφάλαιον, καὶ ἐπιτηρείτωσαν οἱ ἀκροαταὶ τοὺς κατηγόρους τῆς τοιαύτης ὑποθέσεως. καὶ εἰ μέν ἐστιν ὁ ἴδιος ἀνὴρ ἢ ὁ πατὴρ αὐτῆς ἢ ἀδελφὸς ἢ θεῖος ὁ κατηγορῶν, εὐπιστοτέρα ἡ πρόφασις τῆς ζητήσεως γίνεται· εἰ δὲ ξένοι εἰσὶν οἱ κατηγοροῦντες, δέον κανονίζεσθαι τὰ πρόσωπα ποίας πολιτείας εἰσὶν, καὶ τούτους κατασφαλίζεσθαι, καὶ ἀπαιτεῖν αὐτοὺς τὴν περὶ τούτου ἀπόδειξιν. καὶ εἰ μὲν ἀποδείξωσι τὴν μοιχείαν, ῥινοκοπείσθωσαν ὅ τε μοιχὸς καὶ ἡ μοιχαλίς· εἰ δὲ οὐκ ἀποδείξωσιν, ἀλλὰ δι' ἔχθραν τινὰ τὴν κατηγορίαν ἐποίησαν, τὴν ταυτοπάθειαν ὡς συκοφάνται ὑπομενέτωσαν*[27].

26 ††. *Ὁ εἰς ὕπανδρον γυναῖκα μοιχείαν πλημμελῶν, ῥινο-*

---

[22] Ecl. XVII, 29. * Cod. λα'. [23] Ecl. XVII, 20. [24] Ecl. XVII, 19. ** Cod. με'. [25] Ecl. XVII, 21. *** Cod. κη'. [26] Ecl. XVII, 22. † Cod. κϛ'. [27] Ecl. XVII, 27. †† Eundem numerum Codex habet.

κοπείσθω, μὴ χωριζομένου τοῦ μοιχοῦ τῆς οἰκείας γαμετῆς. ἡ δὲ μοιχαλὶς καὶ αὐτὴ ῥινοκοπείσθω κομιζομένη παρὰ τοῦ ἀνδρὸς τὰ ἴδια αὐτῆς πράγματα. κατηγορείτωσαν δὲ μοιχείαν τὰ ε̄ ἐπὶ τούτῳ γνωριζόμενα πρόσωπα, τουτέστιν ὁ ἀνὴρ τῆς μοιχευθείσης, πατὴρ αὐτῆς, ἀδελφὸς αὐτῆς, τοῦ πατρὸς καὶ μητρὸς αὐτῆς θεῖοι [28]. *εἰ δὲ ἔκ τινος ἑτέρου προσώπου μήνυσις γένηται τῷ προσφόρῳ ἄρχοντι περὶ μοιχείας, τὸν τοῦτο καταμηνύσαντα περὶ τῆς συστάσεως αὐτοῦ κατασφαλιζέσθω, οὕτω τε κατάδηλον παρὰ τῆς ἀρχῆς τῷ ἀνδρὶ τῆς γυναικὸς ἐνδημοῦντι γενέσθω περὶ τῆς τοιαύτης μηνύσεως. εἰ δὲ ταύτης οὐκ ἐνδημεῖ ὁ ἀνήρ, ἑνὶ τῶν εἰρημένων δ̄ προσώπων τοῦτο γνωριζέσθω. καὶ οὕτω καὶ δι' αὐτοῦ κατὰ σύστασιν ἐγγυμναζέσθω ἠκριβωμένως περὶ τοῦ τοιούτου ἐγκλήματος, καὶ ἀποδεικνυμένου ταῖς λεγομέναις ποιναῖς τοῦ ὑπευθύνου* [29].

27 *. *Ἡ ἐξεπίτηδες καθ' οἱονδήποτε τρόπον τῇ οἰκείᾳ γαστρὶ ἐπιβουλεύουσα πρὸς τὸ ἀμβλῶναι ἤτοι ἐκτρῶσαι, τυπτομένη ἐξοριζέσθω* [30].

28 **. *Ὁ προαγωγὸς ἤτοι τῇ ἰδίᾳ συγγινώσκων γαμετῇ μοιχείαν καὶ παραχωρῶν, τυπτόμενος ἐξοριζέσθω* [31].

29 ***. *Ο ἔχων γυναῖκα καὶ πορνεύων τοῖς ἐκκλησιαστικοῖς ἐπιτιμίοις ὡς πορνὸς καταδικαζέσθω καὶ τούτοις ὑποβαλλέσθω. εἰ δὲ τὰ ἐπιτεθησόμενα αὐτῷ καταφρονῶν μὴ παραφυλάξῃ κανονικὰ ἐπιτίμια, τὸ ἥμισυ μέρος τῆς αὐτοῦ περιουσίας τῷ δημοσίῳ μέρει εἰσκομιζέσθω* [32].

30 †. *Οἱ ἀλογευόμενοι ἤγουν κτηνοβάται καυλοκοπείσθωσαν* [33].

31 ††. *Ὁ δύο γαμετὰς ἔχων τυπτέσθω, ἐκδιωκομένης παρ' αὐτοῦ τῆς δευτέρας γυναικὸς μετὰ τῶν ἐξ αὐτῆς τεχθέντων παίδων* [34].

32 †††. *Ὁ βίᾳ εἰς οἴκους ἢ ἀγροὺς μεθ' ὅπλων ἐπερχόμενος, ἐὰν φόνου αἴτιος γένηται, ξίφει τιμωρείσθω* [35].

33 †*. *Ὁ μὴ προσφωνήσας ἄρχοντι ἢ δικαστῇ ἀλλ' αὐτοβούλως πρᾶγμα ὑπό τινος διακεχρημένῃ βίᾳ ἀφέληται, εἰ μὲν*

---

[28] Cod. IX, 9, 29. [29] Forte legendum: *τὸν ὑπεύθυνον ὑποκεῖσθαι.* * Eundem numerum Codex praestat. [30] Cf. supra §. 19. ** Cod. *κθ'*. [31] Ecl. XVII, 28. *** Cod. *λ'*. [32] Non invenio. Cf. Ecl. XVII, 19. † Cod. *ιγ'*. [33] Ecl. XVII, 39. †† Cod. *ιδ'*. [34] Ecl. XVII, 35. ††† Cod. *ιε'*. [35] Dig. XLVIII, 6, 11 pr. — Codex in margine adscripta habet haec: *Γυνὴ ἀλογευομένη ξίφει τιμωρείσθω, φιλανθρωπίας δὲ ἀξιουμένη καταδουλούσθω.* †* Cod. *ιϛ'*.

ἐν ἀληθείᾳ ἴδιον αὐτοῦ ἐστιν, ἐκπιπτέτω τῆς ἐπ' αὐτῷ δεσποτείας ἀναδιδοὺς αὐτὸ τῷ βιασθέντι. εἰ δὲ ἀλλότριον τυγχάνει τὸ ἀφαιρεθὲν, ὁμοίως ἀναδιδότω μὴ μόνον τὸ τοιοῦτον πρᾶγμα, ἀλλὰ καὶ τὴν αὐτοῦ διατίμησιν τῷ τὴν βίαν ὑπομείναντι [36].

34 [a]. Ὁ ἱερέα εἴτε ἐν ἐκκλησίᾳ εἴτε ἐν λιτῇ ἐπιχειρῶν, τυπτόμενος ἐξοριζέσθω [37].

35 [b]. Οἱ ἐκ τῆς ἀμωμήτου τῶν χριστιανῶν πίστεως ἀποστάντες ξίφει τιμωρείσθωσαν [38].

36 [c]. Οἱ ὑπὸ τῶν πολεμίων χειρωθέντες καὶ ἀρνησάμενοι, ὑποστρέψαντες ἐν τῇ πολιτείᾳ αὐτῶν τῇ ἐκκλησίᾳ παραπεμπέσθωσαν [39].

37 [d]. Ὁ ἱερόσυλος ἐν νυκτὶ τῷ θυσιαστηρίῳ ἐπιβαίνων, καὶ τὰ ἀνατεθειμένα τῷ θεῷ ἱερὰ μόνον ἀφαιρούμενος, ξίφει τιμωρείσθω [40].

38. Ὁ ἱερόσυλος ἐν ἡμέρᾳ ἢ ἐν νυκτί [41] τι ἀφελόμενος ἀπὸ ἐκκλησίας, εἰ διὰ πτωχείαν τοῦτο ποιήσει, τυπτόμενος ἐξοριζέσθω [42].

39 [e]. Οἱ φαρμάκοις τισὶν ἤγουν δηλητηρίοις ἑκουσίως ἀναιροῦντες ἀνθρώπους, ξίφει τιμωρείσθωσαν [43].

40 [f]. Οἱ τὰ περίαπτα ἔχοντα χαρακτῆρας ποιοῦντες τυπτέσθωσαν [44].

41 [g]. Οἱ γόητες οἱ ἐπὶ βλάβην ἀνθρώπων δαίμονας ἐπικαλούμενοι ἢ διὰ θυσιῶν μαντευόμενοι, ξίφει τιμωρείσθωσαν [45].

42 [h]. Οἱ [διά] τινας ἔχθρας ἢ ἁρπαγὰς πραγμάτων ἐμπρησμὸν ἐν πόλει ποιοῦντες πυρὶ παραδιδόσθωσαν. [i] εἰ δὲ ἔξω πόλεως οἰκίας ἢ ἀγρὸν ἢ χωρία ἐξεπίτηδες ἐμπρήσωσι, ξίφει τιμωρείσθωσαν. [k] εἰ δὲ μὴ ἑκουσίως ἀλλὰ κατὰ ῥᾳθυμίαν τινὰ, τὸ ἀζήμιον τῷ βλαβέντι ποιείτωσαν [46].

43 [l]. Οἱ τοὺς νεκροὺς ἐν τοῖς τάφοις ἐκδύοντες χειροκοπείσθωσαν [47].

44 [m]. Οἱ παραχαράκται μονίτας χειροκοπείσθωσαν [48].

---

[36] Cod. VIII, 4, 7. Cf. Ecl. XVII, 5. *a* Cod. ιζ'. [37] Ecl. XVII, 4. *b* Cod. ιη'. [38] Non invenio. Cf. Cod. I, 7, 3. Proch. XXXIX, 33. *c* Cod. ιθ'. [39] Ecl. XVII, 6. *d* Cod. κ'. [40] Cf. Dig. XLVIII, 13, 6 pr. 9 pr. §. 1. [41] Codex τρίτηὄντι. [42] Cf. not. 40 et Ecl. XVII, 15. *e* Cod. κα'. [43] Cf. Dig. XLVIII, 8, 3 pr. *f* Cod. κβ'. [44] Cf. Ecl. XVII, 44. *g* Cod. κγ'. [45] Ecl. XVII, 43. *h* Cod. κδ'. *i* Cod. praefigit numerum κε'. *k* Idem praefigit κς'. [46] Ecl. XVII, 41. *l* Cod. λα'. [47] Ecl. XVII, 14. *m* Cod. λγ'. [48] Ecl. XVII, 18.

45 [a]. Οἱ πλαστογράφοι χειροκοπείσθωσαν [49].

46 [b]. Εἰ συκοφάνται ἐν οἱᾳδήποτε αἰτίᾳ συκοφαντήσωσί τινα, τῇ ταὐτοπαθείᾳ ὑποκείσθωσαν [50].

47 [c]. Ὁ ἀνδραποδιστὴς τυπτέσθω, τοῦ ἡμίσεος μέρους τῆς ὑπάρξεως αὐτοῦ ἀφαιρουμένου, κἀκείνου ἐξορίᾳ ὑποβλησκομένου [51].

48 [d]. Ὁ κρύπτων καὶ ἀφανῆ ποιῶν ἢ ὑπονοθεύων ἀλλότριον οἰκέτην, πρὸς τῇ ἀποκαταστάσει τοῦ δούλου καὶ ἕτερον τῷ δεσπότῃ οἰκέτην ἢ τὰς ὑπὲρ αὐτοῦ τιμὰς διδότω [52].

49 [e]. Ὁ κλέπτων ἐν φοσσάτῳ ἢ ἐν ἐξπεδίτῳ, εἰ μὲν ὅπλα, τυπτέσθω· εἰ δὲ ἄλογον, χειροκοπείσθω [53].

50 [f]. Ὁ κλέπτων ἐν ἑτέρῳ τόπῳ τῆς πολιτείας, ἐν πρώτοις τοῦτο ἁμαρτάνων, ἐλεύθερος ὢν, εἰ μὲν εὐπορεῖ, πρὸς τῇ ἀποκαταστάσει τοῦ κλαπέντος καὶ διπλὴν τοῦ κλαπέντος τιμὴν παρεχέτω. εἰ δὲ ἄπορός ἐστιν, τυπτέσθω καὶ ἐξοριζέσθω. δεύτερον δὲ ποιῶν, χειροκοπείσθω [54].

51 [g]. Ὁ τοῦ δούλου κλέπτου δεσπότης, βουλόμενος ἔχειν τὸν τοιοῦτον οἰκέτην, τὸ ἀζήμιον οἴκοθεν ποιείτω τῷ κλαπέντι. μὴ βουλομένου δὲ ἔχειν τὸν αὐτὸν οἰκέτην, μετεκχωρείτω αὐτὸν καὶ τὴν ἐπ᾽ αὐτῷ δεσποτείαν τῷ τὴν κλοπὴν ὑπομείναντι [55].

52 [h]. Οἱ μανιχαῖοι καὶ οἱ μοντανοὶ ξίφει τιμωρείσθωσαν [56].

53 [i]. Ὁ ἀποκλείσας ἀλλότρια θρέμματα καὶ λιμῷ διαφθείρας ἢ ἄλλως πῶς ἀνελὼν, εἰς τὸ διπλάσιον καταδικάζεται [57].

54 [k]. Ἐὰν χρήσηταί τις ἵππῳ ἕως ὡρισμένου τόπου, ὑπὲρ δὲ τὸν ὡρισμένον τόπον τοῦτον ἀπενέγκῃ ἢ πέμψῃ, τὴν ὡς εἰκὸς ἐπ᾽ αὐτῷ γενομένην βλάβην ἢ θάνατον τὸν χρησάμενον ὁρᾶν καὶ τὸ ἀζήμιον ποιεῖσθαι τῷ κυρίῳ τοῦ ἵππου [58].

55 [l]. Ἐὰν κριοὶ ἢ βόες συνέλθωσιν, εἰ μὲν ὁ πρῶτος ἐπελθὼν φονευθῇ, οὐκ ἐνάγεται ὁ κύριος τοῦ φονεύσαντος· εἰ δὲ καθ᾽ οὗ ἐπῆλθεν ἀποθάνῃ, ἐνάγεται ὁ κύριος τοῦ φονεύσαντος, καὶ ἢ ἀποδίδωσι τὸ ζῶον τὸ φονεῦσαν τῷ κυρίῳ τοῦ ἀποθανόντος, ἢ τὸ ἀζήμιον τῷ βλαβέντι ποιείτω [59].

56 [m]. Ὁ ἁρπάζων μοναστρίαν ἢ καὶ παρθένον βιωτικὴν ἐξ

---

a Cod. λδʹ. [49] Cf. Dig. XLVIII, 10, 1 §. 13 et l. 8. *b* Cod. λεʹ. [50] Ecl. XVII, 51. *c* Cod. λϛʹ. [51] Cf. Dig. XLVIII, 15, 7. Ecl. XVII, 16. *d* Cod. λζʹ. [52] Ecl. XVII, 17. *e* Cod. ληʹ. [53] Ecl. XVII, 10. *f* Cod. λθʹ. [54] Ecl. XVII, 11. *g* Cod. μʹ. [55] Ecl. XVII, 12. *h* Cod. μαʹ. [56] Ecl. XVII, 52. *i* Cod. μβʹ. [57] Ecl. XVII, 8. *k* Cod. μγʹ. [58] Ecl. XVII, 7. *l* Cod. μδʹ. [59] Ecl. XVII, 9. *m* Cod. μϛʹ.

οἱουδήποτε τόπου, ἐὰν διαφθείρῃ αὐτὴν, ῥινοκοπείσθω· οἱ δὲ τῇ τοιαύτῃ ἁρπαγῇ συντρέχοντες ἐξοριζέσθωσαν[60].

57 *. Ὁ βιαζόμενος κόρην καὶ φθείρων αὐτὴν ῥινοκοπείσθω[61].

58 **. Ὁ τὴν ἀλλοτρίαν μνηστὴν φθείρων, εἰ καὶ προαιρέσει τῆς κόρης τοῦτο ἐγένετο, ῥινοκοπείσθω[62].

59 ***. Ὁ πῦρ ἐμβάλλων ἐν ἀλλοτρίᾳ ὕλῃ ἢ κόπτων ἐξ αὐτῆς δένδρα εἰς τὸ διπλάσιον καταδικάζεται[63].

60 †. Ὁ διδάσκων τοὺς βαρβάρους ναῦς κατασκευάζειν κεφαλικῇ τιμωρίᾳ ὑπόκειται[64].

61 ††. Εἰ δέ τις εἰς ὕπανδρον σύντεκνον αὐτοῦ σαρκικῶς συμπλακῇ, καὶ αὐτὸς καὶ αὐτὴ πρὸς τῇ ἐκτομῇ τῆς ῥινὸς καὶ σφοδρῶς τυπτέσθωσαν[65].

62 †††. Ὁ ληστεύων καὶ ἐνέδρας ποιῶν καὶ φονεύων, ἐν ᾧ κρατεῖται τόπῳ φουρκιζέσθω[66].

ΤΙΤΛΟΣ ιη'.

Περὶ διαμερισμοῦ σκύλων [1].

1. Τοὺς ἐξερχομένους εἰς ἐχθροὺς ἐπὶ πολέμῳ φυλάξαι δεῖ ἑαυτοὺς ἀπὸ παντὸς πονηροῦ πράγματος καὶ ῥήματος καὶ πρὸς μόνον τὸν θεὸν τὸν νοῦν αὐτῶν ἔχειν καὶ τὴν δέησιν καὶ μετὰ συμβουλίας ποιῆσαι τὸν πόλεμον. βοήθεια γὰρ ἐκ θεοῦ δίδοται μετὰ καρδίας τελευτικῆς[2]. οὐκ ἐν πλήθει γὰρ δυνάμεων νίκη πολέμου, ἀλλ' ἐκ θεοῦ ἡ ἰσχύς.

2. Τοῦ θεοῦ παρέχοντος νίκην τὸ ἕκτον μέρος ἀφιεροῦσθαι δεῖ τῷ δημοσίῳ, καὶ τὸ λοιπὸν πᾶν μέτρον ἅπαντας τοῦ λαοῦ ἐξ ἴσης καὶ ἐπ' ἴσης μοίρας μερίζεσθαι, τὸν μέγαν καὶ τὸν μικρόν. ἀρκεῖ γὰρ τοῖς ἄρχουσιν ἡ προσθήκη τῶν ῥογῶν αὐτῶν. εἰ δὲ εὑρεθῶσί τινες τῶν αὐτῶν ἀρχόντων ἀνδρείως φερόμενοι, ὁ εὑρισκόμενος στρατηγὸς ἐκ τοῦ εἰρημένου ϛ̄ μέρους τοῦ δημοσίου ἵνα παράσχῃ καὶ κατὰ τὸ πρέπον συγκροτήσῃ αὐτούς.

3. Κατὰ δὲ τὴν μερίδα τῶν εὑρισκομένων εἰς τὸν πόλεμον οὕτως ἔστω κατὰ τὸ γεγραμμένον καὶ ἡ μερὶς τῶν ἐν τοῖς τούλδοις ἀπερχομένων.

---

[60] Ecl. XVII, 24. * Cod. μη'. [61] Ecl. XVII, 30. ** Cod. μθ'.
[62] Ecl. XVII, 32. *** Cod. ν'. [63] Ecl. XVII, 40. † Cod. να'.
[64] Cod. IX, 47, 25. †† Cod. νδ'. [65] Ecl. XVII, 26. ††† Cod. νε'.
[66] Ecl. XVII, 50.

[1] Ecl. tit. XVIII integer. [2] Forte: τελεστικοῖς. Ecloga: ἐπιδεομένοις.

ECLOGA
AD PROCHIRON MUTATA.

PROLEGOMENA.

§. 1. Codices MSS.

Enchiridium juris, quod hoc loco edimus, extat in Codicibus MSS.:

1) Paris. gr. 1384 saec. XII fol. 182—192.
2) Vatic. 640 saec. XIV fol. 290—346.
3) Palatin. 371 saec. XIV fol. 25—216.
4) Paris. gr. 1263 saec. XIV et XVI fol. 250—258.
5) Paris. gr. 1720 saec. XV exeuntis fol. 124—163.
6) Lipsiensis Senatus I, 66 fol. 1—4 saec. XVI.

Integrum in duobus tantum habetur, in Palat. 371 et Paris. 1720. Lipsiensis praefationem tantum praestat, a recentiori manu Prochiro aucto praepositam, Paris. 1263 in tit. IV §. 4 desinit, Vaticanus 640 in fine canones Apostolorum non habet. Denique, qui omnium antiquissimus est, Paris. 1384 nonnisi fragmenta titulorum I—XXVII et canones Apostolorum exhibet, utpote praetermittens locos, qui in aliis enchiridiis initio Codicis descriptis continebantur: in eodem Codice, quod notatu dignum est, non praefatio Prochiri, sed particula praefationis Eclogae inscriptionem illam *Ἐκλογαὶ κ. τ. λ.* praecedit.

Quod olim suspicatus sum, id ipsum enchiridium in Palatino 55 sive integrum sive mutilatum extare (*Ὁ πρόχειρος νόμος* p. XX not. 12. p. CXXXIII not. 1. p. CXCVIII), in eo me a vero aberrasse protinus intellexi, quum ipsum Codicem anno 1838 inspicerem.

§. 2. Fontes.

Enchiridium, de quo agimus, ex variis fontibus compilatum est. Praecipui hi sunt:

I. Ecloga privata, quae titulis I—XXII enchiridii nostri pro fundamento est. Ecloga privata necdum edita est: sed quum

ab Ecloga Leonis et Constantini eo tantum differat, quod titulum XVI transponit et titulum II in duos titulos dividit, satis fuit hoc nostrum enchiridium cum Ecloga genuina, quam dudum edidi, conferre.

II. Prochiron Basilii, Constantini et Leonis. Ei non solum praefatio debetur, sed et plurima in quovis titulo additamenta. Haec olim non ex ipso Prochiro, sed ex Epitome, quae vel ipsa delectum ex Prochiro titulis suis admiscuit, desumta esse conjeci (Ὁ πρόχειρος νόμος p. CLII); hodie vero, natura atque indole tum Epitomae tum nostri enchiridii penitius perspecta, non dubito, quin ipsum Prochiron auctori ad manus fuerit.

III. Epanagoge. Ei nimirum loci nonnulli in enchiridio nostro obvii proprii sunt, quos tamen num auctor ex ipsa Epanagoge hauserit, an forte ad marginem Prochiri sui adscriptos in usus suos verterit, equidem dijudicare nolim.

IV. Epitome. Titulo enim XXXVII sqq. noster integrorum Epitomae titulorum delectum praestat, atque etiam in reliquis titulis nonnulla hic illic ex Epitomae titulis apposuit.

V. Appendix Eclogae, cui non solum legum rusticarum, militarium et navalium delectus debetur, sed et alia quamplurima, potissimum in titulis XXVII sqq. Appendix autem Eclogae, qua auctor usus est, aliquanto locupletior fuisse videtur ea, quam edidi in Ἀνεκδότων volumine p. 184.

VI. Athanasii Epitome Novellarum. Per totum enchiridium nostrum passim loci ex illa desumti reperiuntur, maxime tit. XXXVIII. Auctori tamen non ipsum Athanasii opus, sed excerptorum seriem Eclogae vel Prochiro corollarii loco adjectam ob oculos fuisse probabile est.

VII. Ecloga legis Mosaicae (— videsis tit. XXXIX —) et

VIII. Canones Apostolorum. Tam hi quam illa in Codicibus MSS. manualium juris nonnunquam appendicis loco adjiciuntur.

Sunt tamen nonnulla reliqua, tum juris Justinianei capita tum loci plane singulares (veluti tit. I §. 4, tit. II §. 28—33, tit. VI §. 27, tit. X §. 14, tit. XVIII §. 29. 31—38, tit. XIX §. 16. 18, tit. XXII §. 16—18. 22. 23, tit. XXIV §. 25, tit. XXVI §. 11. 15—17, tit. XXXII §. 4. 5), quorum fontem non inveni. Ex his loci isti singulares, qui vestigia juris plane novi atque inauditi continent, prae caeteris digni sunt, ad quos animus advertatur.

§. 3. Denominatio et historia.

Secundum ea, quae de fontibus enchiridii nostri dixi, haud inepte Eclogae ad Prochiron mutatae nomine designabitur. Quod quo facilius ab aliis enchiridiis distingueretur, jam olim in libro Ὁ πρόχειρος νόμος p. CLII proposui, nunc autem eo lubentius confirmo, quo magis auctorem in supplenda atque locupletanda Ecloga Prochiro usum esse apparuit.

Quo tempore auctor Eclogae ad Prochiron mutandae operam suam navaverit, difficile est ad definiendum, maxime propter locos illos singulares, de quibus §. 2 dixi. Illud dubium esse non potest, auctorem intra saec. X medium et saec. XII medium vixisse: utitur enim Epitome, quae saec. X ineunte confecta est, et enchiridii nostri antiquissimus qui servatus sit Codex saec. XII exeunte exaratus est. Sed intra hoc spatium ducentorum circiter annorum dubius haereo, cui demum aetati enchiridium nostrum vindicem. Novellas leges Leonis Sapientis et insequentium imperatorum auctor non videtur habuisse cognitas, unde quis eum his imperatoribus antiquiorem fuisse facile possit concludere. Sed argumentum ejusmodi cautissime adhibendum est in auctore, qui, quod ex locis istis singularibus colligitur, longe ab urbe regia in provincia vixisse videtur, in qua sive consuetudine sive magistratuum provincialium edictis jura a communi jure imperii abhorrentia forte invaluerant, et in quam ut recentiorum imperatorum leges non penetrarent facile potuit evenire.

§. 4. Editionis ratio.

Eclogae ad Prochiron mutatae particulae quaedam dudum typis impressae fuerunt. Leunclavius in Delectu compendiario juris antiqui, quem ex variis Codicibus composuit quique editus est to. II Juris Graeco-Romani per M. Freherum, titulos X—XVII enchiridii nostri, qui apud ipsum sunt tit. XX—XXVII, primus praestitit, usus ad id non Codice Palatino 55, quod olim suspicatus sum, sed potius Palatino 371. Deinde Mascovius praefationem edidit ex Codice Lipsiensi, de quo videatur Puettmanni Memoria G. Mascovii. Lips. 1771. Denique ego τὸν πίνακα et tit. I ex Cod. Paris. gr. 1720 potissimum exhibui in libro Ὁ πρόχειρος νόμος p. CXXXIV sqq.

Ex eodem Codice nunc integram edo, ex reliquis Codicibus MSS. a me obiter perlustratis nonnulla corrigens atque supplens. Quum vel sic complura vitiose scripta remanerent, — Codex enim Paris. 1720 itacismo. et accentuum copia et aliis labibus foedus est, — tam conjecturis quam fontium ope textum eatenus castigavi, ut usus ejus *τοῖς ἐντυγχάνουσι* commodior fieret.

In notis id potissimum egi, ut fontes, quoad ejus fieri posset, diligenter indicarem.

Qui vero Eclogae ad Prochiron mutatae in fine accedunt Canones Apostolorum, eos, sequutus exemplum Codicis Vaticani, typis repetere nolui, vel propterea, quod cum jure civili nihil commune habeant.

ΝΟΜΟΣ Ὁ ΠΡΟΧΕΙΡΟΣ[1].

Αὐτοκράτορες καίσαρες[2] βασίλειος[3], κωνσταντῖνος καὶ λέων, εὐτυχεῖς, εὐσεβεῖς, ἔνδοξοι, νικηταί, τροπαιοῦχοι, ἀεισέβαστοι, αὔγουστοι.

Τὸν[4] μέγαν καὶ φύσει ἀληθῆ θεὸν καὶ σωτῆρα ἡμῶν ἰησοῦν χριστὸν διὰ παντὸς ἐπικαλούμενοι, σπουδὴν εὐμελῆ καὶ πόθον ἐγκάρδιον ἐθέμεθα, ὡς τὰ πρὸς ὠφέλειαν καὶ λυσιτέλειαν τῶν παρὰ θεοῦ πεπιστευμένων ἡμῖν ὑπηκόων καθ' ἑκάστην ἐφευρίσκομεν, καὶ ὡς τὸ θεῖον θεραπεύεται, ὡς πάντων τῶν καλῶν καὶ μέγιστον ἡ δικαιοσύνη, δι' οὗ ἔθνος ἀνυψοῦται κατὰ τὸν σοφὸν σολομῶντα· φησὶ γάρ· δικαιοσύνη ὑψοῖ ἔθνος· καὶ [δι' αὐτῆς] πάσης ἀδικίας ἐξαιρουμένης, καὶ τοῦ ἡσαΐου λέγοντος· παύσασθε ἀπὸ τῶν πονηριῶν ὑμῶν· μάθετε καλὸν ποιεῖν· ἐκζητήσατε κρίσιν· ῥύσασθε ἀδικούμενον· κρίνατε ὀρφανὸν καὶ δικαιώσατε χήραν· καὶ δεῦτε καὶ διαλεχθῶμεν, λέγει κυρίος· εἶτα καὶ ἔπαθλον ἐπαγγέλλεται· καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χίονα λευκανῶ, καὶ ἐὰν θέλετε καὶ εἰσακούσετέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· ἐὰν δὲ μὴ θέλετε μηδὲ εἰσακούσετέ μου, μάχαιρα ὑμᾶς κατέδεται· τὸ γὰρ στόμα χριστοῦ ἐλάλησε ταῦτα. οὐδενὶ γὰρ τῶν ἄλλων ὡς δικαιοκρισίᾳ θεὸς θεραπεύεται· οὐκ ἐν νηστείᾳ, οὐκ ἐν σάκκῳ καὶ σποδῷ, οὐκ ἐν ταπεινώσει ψυχῆς· ὡς αὐτὸς διὰ

---

[1] Haec inscriptio abest a Cod. Paris. gr. 1720. — Praefatio, quae sequitur, cum sua inscriptione Prochiri est. [2] Paris. 1720 istud *καίσαρες* non habet. [3] Paris. 1263 et Vatic. 640: *βασιλεῖς*. Idem Vaticanus in margine a recentiore manu adscriptum habet: *Ἐν ἄλλῳ βιβλίῳ παλαιοτάτῳ ἰσοδυνάμῳ οὕτως ἦν ἡ ἐπιγραφή· Ἐν ὀνόματι τοῦ δεσπότου ἰησοῦ χριστοῦ τοῦ θεοῦ ἡμῶν αὐτοκράτορες καίσαρες βασιλεῖς κωνσταντῖνος καὶ λέων καὶ ῥωμανὸς εὐτυχεῖς εὐσεβεῖς ἔνδοξοι νικηταὶ τροπαιοῦχοι ἀεισέβαστοι πιστοὶ αὔγουστοι.* [4] In Paris. 1384 inscriptio et praefatio *Τὸν μέγαν* deest. Earum loco habetur fragmentum ex praefatione Eclogae (*Ὁ δεσπότης κ. τ. λ.*).

τοῦ αὐτοῦ προφήτου πάλιν φησίν· οὐ ταύτην τὴν νηστείαν ἐγὼ ἐξελεξάμην [5], λέγει κυρίος, ἀλλὰ λύε πάντα σύνδεσμον ἀδικίας· διάλυε στραγγαλιὰς βιαίων συναλλαγμάτων, ἀπόστελλε ἀπωσμένους ἐν ἀφέσει, καὶ πᾶσαν συγγραφὴν ἄδικον διάσπα. δικαιοσύνην δέ φημι, ἥτις καὶ διὰ νόμου θεόθεν τοῖς ἀνθρώποις δεδώρηται, ὥς φησιν ὁ αὐτὸς ἠσαΐας· νόμον γὰρ εἰς βοήθειαν ἔδωκεν· εἰ γάρ τις νόμον τοῦ ἀνθρωπίνου βίου ἀφέληται, χήρα καὶ ὀρφανὸς καὶ πένης διάρπαγμα τῶν ἐν ματαιότητι κατεπαιρομένων γενήσεται, κατὰ τὸν αὐτὸν προφήτην, ὅς φησιν· οὐαὶ τοῖς γράφουσι πονηρίαν· γράφοντες γὰρ πονηρίαν γράφουσιν· ἐκκλίνοντες κρίσιν πτωχῶν, ἁρπάζοντες κρίσιν πενήτων τοῦ λαοῦ μου, ὥστε εἶναι χήραν εἰς ἁρπαγὴν καὶ ὀρφανὸν εἰς προνομήν· καὶ τί ποιήσουσιν τῇ ἡμέρᾳ τῆς ἐπισκοπῆς; τοιγαροῦν καὶ ἡμεῖς, ἵνα καθ' ἕκαστον ὅσα τῇ θείᾳ γραφῇ διηγόρευται περὶ τῶν νόμων παραδραμόντες τῆς συντομίας φροντίσωμεν, καὶ τὴν ἀπ' αὐτῶν ὠφέλειαν εἰδότες ὅση τῷ ὄντι τοῖς ἀνθρώποις ἐγγίνεται, ὡς πάντων ἡμῶν τῶν πραγμάτων ἀρχήν τε καὶ τέλος τὸν θεὸν ποιούμενοι, τὸ περὶ τοὺς νόμους ἔργον σπουδαίως ἐπιδείξασθαι προεθυμήθημεν. καὶ γὰρ πολλῶν ἐπὶ τὴν γραφὴν ταύτην κινηθέντων, ὡς ἂν μηδὲν τῶν καθ' ἡμᾶς συμβαινόντων λόγου ἐκτὸς διακριθείη, διά τε τὸ ἄπειρα τὰ συμβαίνοντα εἶναι, διά τε τὸ παρηλλαγμένον τοῦ βίου καὶ ἀπῳκισμένον τῶν ἠθῶν καὶ τὸ ἀνόμοιον τῶν τρόπων εἰς πλῆθος ἄπειρον σχεδὸν ἡ τῶν νόμων γραφὴ ἐλήλακεν. ἐντεῦθεν τοιγαροῦν καὶ τοῖς πολλοῖς ὄκνον ἐμποιεῖ ὁ περὶ αὐτοὺς πόνος· διότι τινὲς μὲν τῶν περὶ τὰ τοιαῦτα ἐσχολακότων τὰ πλεῖστα πρὸς τὸ σαφέστερον ἤγαγον, ἄλλοι δὲ καί τινα τῆς προσηκούσης ἠξίωσαν διορθώσεως, ἔτι γε μὴν καὶ παρήκασιν καὶ σιγῇ παντελεῖ καθυπέβαλον. καὶ ἐπειδὴ ἡ τούτων διδασκαλία τοῖς πᾶσιν ἀναγκαία ὑπάρχει, τί ἂν ἐπινοήσαιμεν, ὥστε καὶ τῶν ἀνθρώπων τὸν ὄκνον ἀπωθεῖσθαι καὶ τὴν τῶν νόμων διδασκαλίαν εὔληπτον ποιῆσαι; οὐδὲν ἕτερον ἢ ἐγκύψαι εἰς τὸ πλῆθος τῆς γραφῆς τῶν νόμων, καὶ ἐξ ἑκάστου βιβλίου τὰ ἀναγκαῖα καὶ χρειώδη καὶ συχνῶς ζητούμενα ἀναγκάζεσθαι, καὶ ταῦτα κεφαλαιωδῶς ἐν τῷδε τῷ προχείρῳ νόμῳ ἐγγράψασθαι, μὴ παραλιπόντες σχεδόν, ὅσα τοῖς πολλοῖς ἐν γνώσει καθίστασθαι δίκαιον. καὶ τὸ μὲν πλάτος εἰς περιμετρίαν περιεστείλαμεν, τῶν δὲ ῥωμαϊκῶν λέξεων τὴν

[5] Nonnulla propter ὁμοιοτέλευτα exciderunt.

συνθήκην εἰς τὴν ἑλλάδα γλῶσσαν ἐποιήσαμεν, τῶν τε παραπεπαυμένων νομίμων ἀνακαινισμὸν ἐθέμεθα, καί τινα τῶν δεομένων διορθώσεως πρὸς κρείττονα λυσιτέλειαν μετηγάγομεν· ἔτι δὲ καὶ περὶ ὧν οὐ γέγραπται νόμος, καινὴν ποιήσασθαι τὴν νομοθεσίαν ἐσπεύσαμεν, ὡς ἂν μετὰ τοῦ σαφοῦς καὶ συμμετρίου καὶ ὀρθοῦ λόγου μηδὲ τὸ ἐλλεῖπον τῶν νόμων ἡμᾶς διάφυγοι· καὶ ταῦτα ἀναλεξάμενοι ἐν ὅλοις τεσσαράκοντα τίτλοις, τὴν διάκρισιν τῆς τοιαύτης νομοθεσίας πεποιήκαμεν. εἰ δέ τι τὸ ἐλλιπὲς ἔχοι τὸ παρ' ἡμῶν γραφόμενον (οὐδὲ γὰρ οἷόν τε ἀπείρων βιβλίων γραφὴν ἐν ταύτῃ τῇ συντομίᾳ περιληφθῆναι), χρεὼν τοῖς φιλοπόνοις ἐγκύπτουσιν ἐν τῷ παρ' ἡμῶν ἀρτίως ἀνακεκαθαρμένῳ τοῦ νόμου πλάτει τὴν τοῦ ζητουμένου γνῶσιν ἀρύσασθαι. ἐπειδὴ δὲ καὶ τοῖς πρὸ ἡμῶν τινὶ τοιοῦτον γέγονεν, φαίη τὶς ἂν ἴσως, ὅτου δὴ χάριν οὐκ ἐκείνῃ τῇ συντομίᾳ σχολὴν ἄγοντας μὴ πρὸς δευτέραν ἐκλογὴν ἐληλυθέναι ἡμᾶς ἐξῆν. εἰδέναι χρή, ὡς οὐκ ἐκλογὴ μᾶλλον ἢ ἀνατροπὴ ὁ καλούμενος ἐγχειρίδιος καθίστατο[6] τῶν καλῶς νομοθετηθέντων ἐκ τοῦ συλλεξαμένου, ὅπερ τῇ πολιτείᾳ ἦν ἀλυσιτελὲς καὶ τὸ φυλάττειν παράλογον. τίς γὰρ ἂν τῶν εὐφρονούντων δίκαιον κρίνοι μεμνῆσθαι νόμον τὸν ἀνατροπὴν τοιαύτην ἐργασάμενον νομοθεσιῶν εὐσεβῶς γραφεισῶν ὑπὸ πολλῶν βασιλέων τε καὶ διδασκάλων θεοσεβῶν καὶ μεγάλων καὶ ἐν μείζονι μοίρᾳ τὴν εὐνομίαν τιθεμένων; καὶ γὰρ ὁ τὸν τοιοῦτον νόμον μὴ παραδεχόμενος ἐλεγχθήσεται ὕβριν κατὰ τῶν πρῴην εὐσεβῶς νομοθετησάντων μᾶλλον ἢ διδασκαλίαν ἀποδεχόμενος. διὰ τοῦτο ἀποτρόπαιος μὲν καὶ τοῖς πρὸ ἡμῶν γέγονεν ὁ πρῴην ἐγχειρίδιος, οὐχ ὅλος μέντοιγε ὁλικῶς, ἀλλ' ὅσον ὤφειλεν. ὁ δέ γε παρ' ἡμῶν ἀρτίως συλλεχθείς τε καὶ συντεθεὶς εἴς τε σύστασιν τῶν καλῶς νομοθετηθέντων καὶ εὐχέρειαν τῆς αὐτῶν γνώσεως ἐπινενόηται. ἐπειδὴ δὲ ἀνωτέρω ἀνακαθάρσεως τῶν παλαιῶν νόμων ἐμνημονεύσαμεν, εἰδέναι χρή, ὅτι συναγηοχότες ἐν ἑνὶ τεύχει τὰ ἀνῃρημένα[7] πάντα τεθείκαμεν, ὡς ἂν δήλη καὶ σαφὴς ἡ τούτων ἀργία πᾶσιν γνωρίζοιτο, [τὰ μέντοιγε συνεστῶτα τῶν παλαιῶν νόμων] ἐν τῷ οἰκείῳ σχήματι μένοντα ἐν ἑτέραις ἑξήκοντα βίβλοις καθυπετάξαμεν, τοῖς βουλομένοις σπουδὴν καὶ περὶ τὴν γνῶσιν καὶ μάθησιν τοῦ πλάτους τῶν νόμων ἐγκαταλείψαντες. τῆς μέντοιγε παρούσης

[6] Paris. 1720: ὥστε ἐκείνων μᾶλλον ἡ ἀνατροπὴ — ἐγχειρίδιος ὥστε το τῶν καλῶς κ. τ. λ. [7] Paris 1720: ἀνειμένα.

πραγματείας ἀρχὴ τέθειται, ὁπόθεν καὶ ἡ καθ' ἡμᾶς φύσις τὴν ἀρχὴν εἴληφε.

Πίναξ σὺν θεῷ τῆσδε τῆς βίβλου[8].

Νόμος λέοντος καὶ κωνσταντίνου τῶν πιστῶν βασιλέων.
Νόμος ἰουστινιανοῦ τοῦ μεγάλου βασιλέως.
Νόμος ῥούφου καὶ ποιναλίου περὶ στρατιωτῶν.
Νόμος ῥοδίωνος ναυτικός.
Νόμος τῶν ἁγίων ἀποστόλων φυσιολόγος.

Σύμφωνα κατανοήσας τῇ τοῦ θεοῦ δικαιοσύνῃ τῶν εὐσεβῶν καὶ φιλοχρίστων δεσποτῶν καὶ βασιλέων τὰ νόμιμα, καὶ τούτων ἀναλαβεῖν ἐν γράμμασι ποθήσας τὴν δύναμιν, ὁ τῆς αὐτῶν εὐσεβοῦς βασιλείας ὁ δοῦλος τήνδε ἠρετησάμην τὴν δέλτον ὑπὲρ χρυσίον καὶ τοπάζιον κτήσασθαι, ὡς πρὸς τήρησιν τῶν τοῦ θεοῦ ἐντολῶν ὁδηγοῦσάν με· καὶ πρὸς αὐτὸν λέγειν πρακτικῶς παρωρμησάμην· λύχνος τοῖς ποσί μου ὁ νόμος σου καὶ φῶς ταῖς τρίβοις μου[9].

Κεφάλαια ἐν συντόμῳ τοῦ παρόντος προχείρου[10].

Τίτλος α΄. ἔχων κεφάλαια[11] περὶ συστάσεως μνηστείας καὶ λύσεως αὐτῆς, καὶ περὶ ὀρφανῶν ἀτελῶν, καὶ περὶ ἑτεροδόξων καὶ αὐτεξουσίων.
Τίτλος β΄. ἔχων κεφάλαια περὶ γάμων ἐπιτετραμμένων, καὶ περὶ παίδων τελευτώντων, καὶ περὶ ἀνηλίκων, καὶ περὶ δευτερογαμίας.
Τίτλος γ΄. ἔχων κεφάλαια περὶ αἰτιῶν τῆς λύσεως τοῦ γάμου.
Τίτλος δ΄. περὶ τῆς καταγραφείσης προικὸς καὶ μὴ ἐπιδοθείσης, καὶ περὶ τοῦ μὴ ὑποκεῖσθαι τὴν προῖκα τῆς γυναικὸς εἰς τὰς τοῦ ἀνδρὸς ζημίας.
Τίτλος ε΄. περὶ δωρεῶν ἁπλῶν, καὶ τῶν αἰτιῶν, ἐξ ὧν αἱ δωρεαὶ ἀνατρέπονται.
Τίτλος ς΄. ἔχων κεφάλαια περὶ τῶν κεκωλυμένων διατίθεσθαι προσώπων, καὶ περὶ διαθηκῶν ἐγγράφων καὶ ἀγράφων,

---

[8] Paris. 1720 addit: ἐκλογαί. [9] Cf. Ἀνέκδοτα mea p. XXI sq. [10] Paris. 1720 et Pal. 371: τῆς τῶν πανσόφων ἡμῶν βασιλέων. [11] Haec verba: ἔχων κεφάλαια, quibus haec et sequentium titulorum rubricae incipiunt, in aliis Codicibus omitti videntur.

καὶ περὶ ἀχαριστίας, καὶ περὶ διαθηκῶν ἐπισκόπων καὶ ἀπελευθέρων, καὶ ἀνατροπῆς διαθήκης.

Τίτλος ζ'. ἔχων κεφάλαια περὶ στρατιωτικῶν ἰδιοκτήτων πραγμάτων, καὶ κληρικῶν, καὶ χαρτουλαρίων, εἰς ἃ διατίθενται.

Τίτλος η'. ἔχων κεφάλαια περὶ τῶν ἐξ ἀδιαθέτου κληρονομιῶν, καὶ περὶ τῆς τῶν βαθμῶν συγγενείας, καὶ περὶ κληρονόμων ἀμφιθαλῶν καὶ λεγάτων καὶ φαλκιδίου καὶ ἀποκλήρων.

Τίτλος θ'. ἔχων κεφάλαια περὶ κουρατορίας ὀρφανῶν καὶ ἐπιτρόπων καὶ διατετιμημένης προικός.

Τίτλος ι'. ἔχων κεφάλαια περὶ ἐλευθεριῶν καὶ ἀναδουλώσεως, καὶ περὶ τοῦ ἐλευθεροῦντος ἀλλότριον οἰκέτην.

Τίτλος ια'. ἔχων κεφάλαια περὶ πράσεως καὶ ἀγοράσεως.

Τίτλος ιβ'. ἔχων κεφάλαια περὶ δανείου καὶ ἐνεχύρων καὶ περὶ κοινωνίας.

Τίτλος ιγ'. ἔχων κεφάλαια περὶ πάσης καταθήκης παντοίου εἴδους.

Τίτλος ιδ'. ἔχων κεφάλαια περὶ ἐμφυτεύσεων διηνεκῶν, καὶ περὶ ἐκκλησιαστικῶν ἀκινήτων πραγμάτων, καὶ περὶ ἀγνωμοσύνης, καὶ περὶ ἐρειπίων ἐμφυτευομένων, καὶ περὶ ἀγοραστοῦ καὶ πράτου, καὶ δωρουμένου ἱερατικοῦ πράγματος.

Τίτλος ιε'. ἔχων κεφάλαια περὶ μισθώσεων ἐγγράφων καὶ ἀγράφων.

Τίτλος ις'. ἔχων κεφάλαια περὶ μαρτύρων πιστῶν καὶ ἀπίστων, καὶ περὶ τῶν ἀρνουμένων τὰ ἴδια ἰδιόχειρα.

Τίτλος ιζ'. ἔχων κεφάλαια περὶ διαλύσεως γινομένης[12] καὶ ἀνατρεπομένης.

Τίτλος ιη'. ἔχων κεφάλαια περὶ προσφύγων καὶ ἐπιόρκων καὶ φρατριαστῶν, καὶ περὶ τῶν ἐγχειρούντων ἱερέα καὶ ἐπιβάσεις ποιούντων, καὶ περὶ χρήσεως ἵππων, καὶ περὶ τοῦ ἀποκλείσαντος ἀλλότρια θρέμματα, καὶ περὶ κριῶν καὶ βοῶν καὶ ἵππων καὶ χοίρων ἑαυτοὺς ἀνελόντων, καὶ περὶ ἐγκλημάτων.

Τίτλος ιθ'. ἔχων κεφάλαια περὶ πορνῶν καὶ μοιχῶν καὶ φθορέων καὶ ἀσελγῶν.

Τίτλος κ'. ἔχων κεφάλαια περὶ ἐμπρησμῶν.

Τίτλος κα'. ἔχων κεφάλαια περὶ φονέων καὶ γοήτων.

---

[12] Lege κυρουμένης.

Τίτλος κβ'. ἔχων κεφάλαια περὶ ὑπεξουσιότητος, καὶ χειροτονίας ἐπισκόπων καὶ πρεσβυτέρων, [καὶ περὶ] ψευδομαρτύρων.
Τίτλος κγ'. ἔχων κεφάλαια περὶ μοναστηρίων πιπρασκομένων, καὶ μοναζόντων, καὶ περὶ τῶν κτιζόντων εὐκτήρια.
Τίτλος κδ'. ἔχων κεφάλαια περὶ καινοτομίας, τοίχων καὶ πηγῶν καὶ ὁδῶν καὶ ποταμῶν καὶ ὁροθεσίων καὶ δένδρων.
Τίτλος κε'. ἔχων κεφάλαια περὶ γεωργῶν καὶ περὶ τῶν ἐν ἀλλοτρίῳ ἐδάφει κτιζόντων ἢ σπειρόντων ἢ φυτευόντων.
Τίτλος κς'. ἔχων κεφάλαια περὶ ἀγελαρίων βοῶν, καὶ περὶ χοίρων καὶ προβάτων πραῖδα ποιούντων, καὶ κτηνῶν ἐμπεσόντων εἰς διώρυγμα ἀμπέλων, καὶ περὶ τοῦ διαφθείραντος κύνα ἢ βοῦν ἢ ἄλλο κτῆνος, καὶ περὶ ἀδίκων μέτρων.
Τίτλος κζ'. ἔχων κεφάλαια περὶ ἁρπαγῆς γυναικὸς καὶ δούλων φυγῶν, καὶ [ἁρπαγῆς] πραγμάτων.
Τίτλος κη'. ἔχων κεφάλαια περὶ ἀπροίκων γυναικῶν καὶ λεγαταρίων καὶ παίδων νόθων καὶ γνησίων, καὶ περὶ τοῦ μὴ ἔχειν τοὺς ἐμφανεῖς γυναῖκα ἀπόβλητον.
Τίτλος κθ'. ἔχων κεφάλαια περὶ τῆς τῶν βαθμῶν συγγενείας.
Τίτλος λ'. ἔχων κεφάλαια περὶ δικαιολογίας καὶ ἐνεχύρων καὶ ἀντιφωνήσεων, καὶ περὶ ἁμαρτανόντων καὶ ἀδικούντων, καὶ περὶ ταβουλαρίων καὶ μαρτυρίας ἰουδαίων.
Τίτλος λα'. ἔχων κεφάλαια περὶ γυναικὸς μιγείσης τῷ ἰδίῳ δούλῳ, καὶ περὶ θυγατρὸς ἀσχημόνως ζώσης, καὶ περὶ ἐγκλήματος γυναικός.
Τίτλος λβ'. ἔχων κεφάλαια περὶ ἁπλῆς δωρεᾶς εἰς γυναῖκα, καὶ περὶ ἀχαριστίας, καὶ περὶ αἰχμαλώτων.
Τίτλος λγ'. ἔχων κεφάλαια περὶ διαμερισμοῦ σκύλων καὶ περὶ γαμβρευσαμένων στρατιωτῶν.
Τίτλος λδ'. ἔχων κεφάλαια περὶ στρατιωτικῶν ἐπιτιμίων.
Τίτλος λε'. ἔχων κεφάλαια περὶ φαρμακῶν καὶ γοήτων τοῦ μ' βιβλίου διατάξεων.
Τίτλος λς'. ἔχων κεφάλαια περὶ αἱρετικῶν καὶ μανιχαίων, καὶ τῶν λοιπῶν αἱρέσεων, καὶ τὸ πῶς ὁρκίζεται ἰουδαῖος, καὶ περὶ τοῦ μὴ ἔχειν χριστιανὸν ἀνδράποδον ἰουδαῖος ἢ αἱρετικός [13].
Νόμος ῥοδίωνος περὶ ναυτῶν καὶ μισθῶν ναυκλήρου καὶ

[13] Multa hic index omittit, quae infra enchiridium nostrum praestat.

κυβερνήτου, καὶ περὶ πάσης ὑπουργίας καὶ συστάσεως τῶν ἐν τῷ πλοίῳ.

Ἕτερος νόμος ῥοδίωνος κατ᾽ ἐκλογὴν τοῦ ναυτικοῦ, ἔχων κεφάλαια

περὶ ἀγκύρων κλαπέντων.
περὶ ναυτῶν κλοπὴν ποιησάντων.
περὶ ἐξαρτίων κλαπέντων.
περὶ ναύτου κλοπὴν ποιήσαντος ἐμπόρῳ.
περὶ πλοίου ὑπὸ πειρατῶν σύλα παθόντος.
περὶ ναυτῶν κύλωμα ἐργασαμένων.
περὶ πηρώσεως καὶ κήλης καὶ περὶ φόνου ἐν μάχῃ αὐτῶν.
περὶ ναυκλήρου καὶ ναυτῶν ἀποδρασάντων σὺν τῷ πλοίῳ.
περὶ ναυκλήρου καὶ ἐπιβατῶν καὶ ἀποβολῆς.
περὶ ἐμπόρου πλοῖον ναυλουμένου.
περὶ ἀμελείας ἐμπόρου.
περὶ φορτίων μεγάλων.
περὶ τοῦ ἔχειν τὸ πλοῖον πᾶσαν τὴν ἐπιχειρίαν.
περὶ πάσης καταθήκης καὶ περὶ ἀρνήσεως.
περὶ πλοίου ἀποδράσαντος δι᾽ ἐπιδρομῆς λῃστῶν.
περὶ δούλου ἐαθέντος ἀλλοτρίου.
περὶ χρυσίου καὶ ἀργυρίου ἐπὶ κοινωνίας.
περὶ χρήματα δανεισαμένου καὶ περὶ ἀῤῥαβώνων.
περὶ τοῦ ναυλωσαμένου πλοῖον ἐγγράφως.
περὶ δύο ναυκλήρων κοινωνῶν.
περὶ ναυλωσαμένου ὅλον τὸν γόμον.
περὶ ἡμίναυλα δωσάντων.
περὶ προθεσμίας ἡμερῶν.
περὶ πλοίου κλασματισθέντος.
περὶ πλοίου φθαρέντος κατὰ ἀμέλειαν.
περὶ ἀρνουμένου τὴν κοινωνίαν.
περὶ ἐμποδίας ἐμπόρου ἢ κοινωνοῦ.
περὶ ἐμπόρου μὴ παρασχόντος τὰ φορτία.
περὶ πλοίου ἀρμενίζοντος καὶ εἰς ἕτερον καταδιδόντος [14].
περὶ πλοίου παθόντος, τῶν δὲ τῶν ἐπιβατῶν ἢ ἐμπόρων σωθέντων.
περὶ πλοίου σῖτον φορτωμένου.
περὶ πλοίου ναυαγήσαντος.
περὶ ἀποσώζοντός τι ἐκ ναυαγίου.

---

[14] Paris. 1720: καὶ ἑτέρου καταδόσει.

περὶ τοῦ σώζοντός [15] τι ἐκ τοῦ βυθοῦ.
περὶ καράβου ἀπολλυμένου.
περὶ τοῦ ἀποσώσαντος κάραβον.
περὶ ναύτου ἀποτακτάρι.
περὶ ναύτου παραληφθέντος.
περὶ ναύτου ἑαυτῷ μισθωσαμένου.
περὶ τοῦ ἁρπάζοντός τι ἀπὸ τοῦ ναυκλήρου.
περὶ τοῦ ἁρπάζοντός τι ἐκ ναυαγίου.
Νόμος τῶν ἁγίων ἀποστόλων περὶ χειροτονίας ἐπισκόπων καὶ πρεσβυτέρων καὶ διακόνων.

Ἐκλογαὶ τῶν νόμων ἐν συντόμῳ γενόμεναι παρὰ λέοντος καὶ κωνσταντίνου τῶν σοφῶν βασιλέων ἀπὸ τῶν ἰνστιτούτων, τῶν διγέστων, τοῦ κώδικος, τῶν νεαρῶν τῶν [16] διατάξεων τοῦ μεγάλου ἰουστινιανοῦ, ῥούφου καὶ ποιναλίου καὶ ῥοδίωνος, ἐπιδιορθώσεις εἰς τὸ φιλανθρωπότερον [17].

ΤΙΤΛΟΣ α΄.

Περὶ συστάσεως μνηστείας.

1. Συνίσταται μνηστεία χριστιανῶν ἐπὶ τοῖς ἐν πρώτῃ ἡλικίᾳ ἀπὸ ἑπταετοῦς χρόνου καὶ τῇ ἄνω, ἔκ τε τῆς τῶν μνηστευομένων ἀρεσκείας καὶ τῆς ἐκ γονέων καὶ συγγενῶν αὐτῶν συναινέσεως, ἐὰν οἱ συναλλάσσοντες [νομίμως συναλλάσσωσι καὶ] μὴ ὦσιν ἐκ τῶν κεκωλυμένων, τουτέστι δι' ἀῤῥαβώνων ἤγουν ὑποβόλων ἢ δι' ἐγγράφων. εἰ δὲ δόξει τὸν διδόντα τὸν ἀῤῥαβῶνα διαστρέψαι καὶ μὴ συναλλάξαι, ἀπόλλειν αὐτὸν τὸν ἀῤῥαβῶνα. εἰ δὲ τὸ μέρος τῆς κόρης διαστρέψει, παρεχέτω διπλοῦν τὸν ἀῤῥαβῶνα, τουτέστιν αὐτὸν τὸν ἀῤῥαβῶνα καὶ ἄλλο τοσοῦτον [1].

2. Εἰ δὲ ἐγγράφως στιχήσει τὶς καὶ δόξει διαστρέψαι, κατὰ τὸ ἔγγραφον αὐτοῦ ἀπολογήσεται τῇ κόρῃ. εἰ δὲ τὸ μέρος τῆς κόρης, αἰτίας νόμῳ μὴ γνωριζομένης, δοκιμάσει διαστρέψαι,

---

[15] Paris. 1720: σωθέντος. [16] Paris. 1263: ἀπὸ τῶν. [17] Paris. 1384: ἐπιδιόρθωσις. Paris. 1720: ἐπιδ. τῶν φίλων. Paris. 1263 haec verba: εἰς τὸ φιλ., Vatic. 640 integram inscriptionem omittit.

[1] Ecl. I, 1.

τὸ αὐτὸ μέτρον, ὅπερ ἐκεῖνος ὡμολόγησεν, παρεχέτω τῷ μνηστευσαμένῳ μετὰ καὶ τῆς παρ' αὐτοῦ γινομένης ὁμολογίας καὶ ἀπαλλασσέτω [2].

3. Εἰ δέ τις ἁρμόσηται κόρην καὶ διὰ μῖσος ἢ τρόπον τὸν οἱονδήποτε ὑπερτίθεται ποιῆσαι τὸν γάμον, ἕως δύο ἐτῶν ὑποκεῖσθαι τὴν κόρην ἐκδέχεσθαι αὐτόν· καὶ μετὰ τοῦτο ἵνα διαμαρτύρηται αὐτῷ τὸ μέρος τῆς κόρης τοῦ ποιῆσαι τὸν γάμον· καὶ εἰ μὲν οὐ καταδέξηται, ἐπείτοιγε ἄδειαν ἔχειν τὴν κόρην ζευχθῆναι ᾧτινι βούλεται, ἐγκρατοῦσαν καὶ ἅπερ ἔλαβεν ἐκ τοῦ μνηστευθέντος αὐτῇ [3].

4. Εἰ δὲ ἐγγράφως στιχήσει τὶς κόρην καὶ ἐμπόδιον γίνεται, παραμένειν τὴν κόρην μέχρι μηνῶν τριῶν. εἰ δὲ παρ' ἑτέρου προσώπου δέξηται προῖκα ἡ κόρη πρὸ τῶν τριῶν μηνῶν, τὰ ἥμισυ τῶν συμφωνηθέντων μετὰ τοῦ νέου παρεχέτω τῷ δημοσίῳ. εἰ δὲ τοῦ νέου μὴ θελήσαντος καὶ τὸ χαράκωμα τοῦ στιχήματος διέλθῃ, καὶ λάβῃ ἕτερον ἡ κόρη, οὐκ ἔχει λοιπὸν ἄδειαν ὁ νέος τοῦ ζητεῖν τὴν κόρην. εἰ δὲ ἐγγράφως συνεφώνησαν, μενέτω ἀπαρασάλευτα [4].

5. Ὁ μνηστευσάμενος κόρην ἔφηβον καὶ μὴ συμφωνήσας χρόνον ἐν τῇ μνηστείᾳ, ὀφείλει ταύτην, εἰ μὲν ἐν τῇ αὐτῇ ἐπαρχίᾳ διάγει, εἴσω διετίας γαμεῖν *. εἰ δὲ ὑπέρθηται, δύναται ἡ κόρη ἑτέρῳ συνάπτεσθαι [5].

6. Εἰ δὲ ὀρφανοὶ ἐξ ἐπιβουλῆς τινος ἐποίησαν μνηστείαν, καὶ ὕστερον μετενόησαν, ἕως πέντε καὶ δεκαετοῦς χρόνου ἄδειαν ἔχειν ἀναλῦσαι τὸ συνάλλαγμα ἀζημίως, ὡς ἀφρόνων αὐτῶν [ὄντων] καὶ μὴ γινωσκόντων τὰ συμφέροντα αὐτοῖς. εἰ δὲ εἰς ἡλικίαν ἔλθωσιν, ὡς φρόνησιν ἔχοντες, εἴ τι ποιήσουσιν, οὐκ ἔχουσιν ἄδειαν τοῦ διαστρέψαι [6].

7. Μνηστεύεταί τις καὶ παρὼν δι' ἑαυτοῦ καὶ διὰ μέσου καὶ δι' ἐπιστολῆς [7].

8. Ἐὰν πατὴρ ὑπὲρ τῆς ἰδίας θυγατρὸς ἀῤῥαβῶνα δεξάμενος τελευτήσῃ μηδέπω γενομένων τῶν γάμων, οὐ δύναται ὁ ἐπίτροπος διαλῦσαι τὴν μνηστείαν [8].

9. Περὶ ἑτεροδόξων. — Οἱ ἑτερόδοξοι ἐν ἀγνοίᾳ [εἰ] ποιούμενοι πρὸς ἑαυτοὺς μνηστείας δώσουσιν ἀῤῥαβῶνας, δύνανται ἀναλαβεῖν εἴτι δεδώκασι λύοντες τὴν μνηστείαν. εἰ δὲ

---

[2] Ecl. I, 2. [3] Ecl. I, 3. [4] Fontem hujus loci non invenio, eumque omittit Paris. 1263. * Quae hic exciderunt, recentior manus in Paris. 1720 ad marginem supplevit. [5] Proch. I, 9. [6] Ecl. I, 4. [7] Proch. I, 11. [8] Proch. II, 2.

ᾔδεισαν τῶν ἀλλοτρίων τὴν πίστιν καὶ ἔδωκαν ἀῤῥαβῶνας γάμου, τότε ὁ ἀνὴρ ζημιοῦται ἃ ἔδωκεν, ἡ δὲ γυνὴ δίδωσιν ἐν διπλῷ ὃ ἐδέξατο [9].

10. Ὁ τὸ γινόμενον δοκῶν νοεῖν μνηστεύεται, τουτέστιν ὁ μὴ ὢν ἥττων τῶν ἑπτὰ ἐτῶν· εἰ μέντοιγε τῆς μνηστείας γεγενημένης ἔσωθεν τοῦ τρὶς καὶ δεκάτου χρόνου τολμήσειέν τινες τοῖς μνηστευομένος ἢ τὴν λεγομένην εὐλόγησιν ἢ τὸ στεφάνωμα περιθεῖναι, ὡς τῶν θείων νόμων παραβαθέντων αὐτίκα τὴν μὲν προελθοῦσαν μνηστείαν ἅμα τῆς δοκούσης συναφείας διαλύεσθαι, καὶ τὰ παρ' ἑκατέρου μέρους ἐν τῇ μνηστείᾳ συμβληθέντα προστιμήματα τοῦ τολμήματος ζημίαν ὑπέχοντας τῷ δημοσίῳ μέρει κομίζεσθαι· μηδὲ τοῦ τολμῶντος ἱερέως ἐπὶ τῇ τοιαύτῃ παρεῖναι πράξει ἀνευθύνου καθεστηκότος, ἀλλὰ τῇ αὐστηρίᾳ τῶν ἱερῶν ὑποκειμένου κανόνων [10].

11. *Περὶ αὐτεξουσίων.* — Οἱ αὐτεξούσιοι ἄνδρες τε καὶ γυναῖκες τελείαν ἄγοντες τὴν ἡλικίαν καὶ χωρὶς τῆς τῶν γονέων συναινέσεως νομίμῳ συνάπτονται γάμῳ [11].

12. Ὁ αὐτεξούσιος τελείαν ἄγων τὴν ἡλικίαν καὶ χωρὶς της τοῦ πατρὸς συναινέσεως γαμεῖ [12].

13. Ὡσαύτως καὶ ἡ κόρη ἀκωλύτως τοῦτο ποιεῖ [13].

14. Υἱὸς ὑπεξούσιος ἀσώτως πολιτευσάμενος, μὴ παραιτείσθω γάμον [14].

15. Ἡ δὲ συγγνώμη τῆς ἡλικίας τῶν αὐτεξουσίων ἐστὶν τοῖς μὲν ἀνδρᾶσιν ἀπο κ̄ χρόνου ἕως κε̄, ταῖς δὲ θηλείαις ἀπὸ ιη̄ χρόνου ἕως κ̄ καὶ ε̄ [15].

16. *Περὶ μνηστῆρος μονάζοντος.* — Ἐὰν μνηστὴρ ἢ μνηστὴ μετὰ τὸ λαβεῖν ἀῤῥαβῶνας τὸν μονήρη βίον ἀγαπήσῃ, ἀποδίδονται οἱ ἀῤῥαβῶνες ἁπλοί [16].

17. Ὅσα * ὁ ἀνὴρ δωρεῖται τοῖς γονεῦσιν τῆς μνηστῆς ἐπὶ τὸ γίνεσθαι τοὺς γάμους, ταῦτα τῶν γάμων μὴ γινομένων ἀναδίδονται αὐτῷ [17].

18. Ἡ δὲ γενομένη παρὰ τοῦ πενθεροῦ ἢ τῆς πενθερᾶς πρὸς τὴν νύμφην ἢ εἰς τὸν γαμβρὸν δωρεὰ, οὐδὲ ἀπὸ θείας ἀντιγραφῆς ἀναιρεῖται [18].

---

[9] Proch. II, 3. [10] Proch. I, 8. Epan. XIV, 11. — In margine Codicis Paris. 1720 recentior manus adscripsit locum Prochiri I, 13. [11] Fontem hujus loci frustra quaesivi. [12] Proch. IV, 12. [13] Proch. IV, 15. [14] Proch. IV, 23. [15] Proch. II, 5. [16] Proch. II, 9. * Paris. 1384 inscribit: *περὶ δωρεῶν πενθεροῦ.* [17] Proch. III, 2. [18] Proch. III, 6.

19. *Περὶ αἰχμαλώτων.* — Εἴσω τριετίας τοῦ αἰχμαλώτου μὴ ὑποστρέφοντος, ὁ υἱὸς αὐτοῦ δύναται γαμεῖν [19].

20. Εἰ δὲ πρὸ τριετίας τοῦ αἰχμαλώτου ἢ τοῦ ἀπόντος παῖδες γαμήσωσι, καὶ δῆλόν ἐστι μὴ ἀπαρέσκειν τῷ πατρὶ τὸ πρόσωπον, ἔῤῥωται ὁ γάμος [20].

21. Ὁ ἀδίκως κωλύων γαμεῖν ἢ γαμεῖσθαι τοὺς ἰδίους ὑπεξουσίους, ἢ μὴ διδοὺς προῖκα, ἀναγκάζεται διὰ τοῦ ἄρχοντος ἐκγαμίζειν καὶ προικίζειν [21].

ΤΙΤΛΟΣ β'.

Περὶ γάμων ἐπιτετραμμένων, κεκωλυμένων καὶ δευτερογαμίας.

1. Συνίσταται γάμος χριστιανῶν εἴτε ἐγγράφως εἴτε ἀγράφως μεταξὺ ἀνδρὸς καὶ γυναικὸς, τοῦ εἶναι τὴν ἡλικίαν πρὸς συνάφειαν ἡρμοσμένην, τοῦ μὲν ἀνδρὸς ἀπὸ πεντεκαιδεκαετοῦς χρόνου, [τῆς δὲ γυναικὸς ἀπὸ ιγ' ετοῦς χρόνου,] ἀμφοτέρων θελόντων, μετὰ καὶ τῆς τῶν γονέων συναινέσεως [1].

2. Κεκώλυνται δὲ, ὅσοι ἐκ τοῦ ἁγίου καὶ σωτηριώδους βαπτίσματος ἀλλήλοις προσηνώθησαν, τουτέστιν ἀνάδοχος ἐκ τῆς ἰδίας θυγατρὸς καὶ τῆς ταύτης μητρὸς, καὶ ὅσοι ἐξ ἑνὸς ἀναδόχου διὰ τοῦ ἁγίου βαπτίσματος ἀνεγεννήθησαν ἀδελφοὶ πνευματικοί· καὶ ὅσοι ἐξ αἵματος συγγενείας ἀλλήλοις γνωρίζονται, τουτέστιν γονεῖς πρὸς τέκνα, ἀδελφοὶ πρὸς ἀδελφοὺς καὶ τὰ τούτων τέκνα, οἱ λεγόμενοι ἐξάδελφοι, καὶ οἱ ἐξ αὐτῶν τικτόμενοι παῖδες καὶ μόνον· καὶ ὅσοι ἐξ ἐπιγαμίας γνωριζόμενοι συγγενεῖς, πατρῷος πρὸς προγονὴν, πενθερὸς πρὸς νύμφην, προγονὸς πρὸς μητρυιὰν, ἀδελφὸς πρὸς νύμφην ἤγουν γυναῖκα ἀδελφοῦ· ὁμοίως καὶ πατὴρ καὶ υἱὸς πρὸς μητέρα καὶ θυγατέρα, δύο ἀδελφοὶ εἰς δύο ἀδελφάς. ἐπὶ τούτοις πᾶσι τοῖς προσώποις μηδὲ μνηστεία γνωριζέσθω [2].

3. Ὁ τὴν ἰδίαν συγγάλακτον ἢ ἀναθρεπτὴν ἐλευθερώσας, οὐ δύναται ταύτην ἀγαγέσθαι πρὸς γάμον [3].

4. Ὁ μέντοιγε ἀπὸ τοῦ ἁγίου βαπτίσματός τινα δεξάμενος οὐ δύναται αὐτὴν ὕστερον ἀγαγέσθαι πρὸς γάμον, ὡς δῆθεν θυγατέρα αὐτοῦ γενομένην, οὔτε τὴν μητέρα αὐτῆς ἢ θυγατέρα. ἀλλ' οὐδὲ υἱὸς αὐτοῦ δύναται ταύτην λαβεῖν· ἐπεὶ οὐδὲν ἄλλο οὕτω δύναται εἰσαγαγεῖν πατρικὴν διάθεσιν καὶ δικαίαν γάμου

---

[19] Proch. IV, 8. [20] Proch. IV, 9. [21] Proch. IV, 10.

[1] Ecl. II, 1. [2] Ecl. II, 2. [3] Epanag. XVII, 30. Epit. XXIII, 33.

κώλυσιν ὡς ὁ τοιοῦτος δεσμὸς, δι' οὗ θεοῦ μεσάζοντος αἱ ψυχαὶ αὐτῶν συνάπτονται [4].

5. Ὁ φυσικὸς γὰρ πατὴρ οὐ λαμβάνει τὴν πορνογενῆ αὐτοῦ θυγατέρα. τὸ γὰρ φύσει δίκαιον καὶ τὸ εὐπρεπὲς ἐν τοῖς γάμοις σκοπεῖται. ταῦτα καὶ περὶ δουλικῆς ἀγχιστείας [5].

6. Οὐ μόνον ἡ τοῦ πατρός μου, ἀλλὰ καὶ τοῦ πάππου μου γαμετὴ μητρυιὰ λέγεται, καὶ κωλύομαι λαβεῖν αὐτάς. κἂν πολλὰς ἔσχεν ὁ πατήρ μου, οὐδεμίαν αὐτῶν λαμβάνω [6].

7. Ἐν τοῖς γάμοις οὐ μόνον τὸ ἐπιτετραμμένον, ἀλλὰ καὶ τὸ εὐπρεπὲς ζητοῦμεν [7].

8. Τὴν ἐκ πορνείας ἀδελφὴν οὐδεὶς λαμβάνει [8].

9. Οὔτε ὁ θετὸς υἱὸς τὴν τοῦ θετοῦ πατρὸς μητέρα, ἢ τὴν ἀδελφὴν αὐτῆς, ἢ τὴν ἀπὸ υἱοῦ ἐγγόνην [9].

10. Περὶ ἁρπαγῆς. — Ὁ παρθένον ἢ χήραν ἁρπάσας οὐ δύναται αὐτὴν γαμεῖν, οὐδὲ συναινοῦντος τοῦ ταύτης πατρὸς καὶ συγχωροῦντος τὸ ἔγκλημα [10].

11. Ἔγγραφος γάμος συνίσταται δι' ἐγγράφου προικῴου συμβολαίου ὑπὸ τριῶν ἀξιοπίστων μαρτύρων κατὰ τὰ παρ' ἡμῶν ἀρτίως νομοθετούμενα, ὥστε ἐν αὐτῷ ὁμολογεῖν τὸν ἄνδρα τήν τε ἐντελῆ τῆς προικὸς τοῦ χρέους οἰκείωσιν, καὶ ἀδιάπτωτον καὶ ἀμείωτον αὐτῆς παραφυλακὴν καὶ συντήρησιν, μετὰ καὶ τῆς ὡς εἰκὸς παρ' αὐτοῦ ἐν ἐπαυξήσει ἀποχαρισθείσης αὐτῇ ποσότητος· ἐγγραφομένου ἐν τῷ παρ' αὐτοῦ ἐκτιθεμένῳ συμβολαίῳ κάσου ἐξ ἀπαιδίας μέρος τέταρτον· τριῶν δηλονότι συμβολαίων μεταξὺ αὐτῶν προερχομένων, δύο μὲν ἀντισυγγραφῶν τῆς προικὸς ἰσοδυνάμων, τοῦ δὲ ἑτέρου παρὰ τοῦ ἀνδρὸς πρὸς τὴν γυναῖκα ἐκτιθεμένου. καὶ μὴ ἐπερωτᾶσθαι ἢ καταγράφεσθαι παρὰ τοῦ ἀνδρὸς ἰσόμετρον τῆς εἰσαγομένης αὐτῷ προικὸς προγαμιαίαν δωρεάν [11].

12. Εἰ δεήσει τὴν γυναῖκα παίδων ἄνευ πρὸ τοῦ ἀνδρὸς τελευτῆσαι, τετάρτην μοῖραν καὶ μόνον ἐκ πάσης ὡς εἴρηται τῆς ὁμολογηθείσης παρ' αὐτοῦ προικὸς [εἰς ἴδιον κέρδος ἐγκρατεῖν αὐτὸν, καὶ τὸ ὑπόλοιπον ἡμισυτέταρτον μέρος τῆς τοιαύτης προικὸς] ἢ εἰς τοὺς ἐκ τελευταίας αὐτῆς βουλήσεως [κληρονόμους ἀποκαθίστασθαι ἢ εἰς τοὺς ἐξ ἀδιαθέτου καλουμένους αὐτῆς κληρονόμους] ἀποδίδοσθαι. εἰ δὲ ὁ ἀνὴρ πρὸ τῆς οἰκείας γυναικὸς παίδων ἐκτὸς ἀποβιώσει, ὁμοῦ τῇ ἐντελεῖ

---

[4] Proch. VII, 28. [5] Proch. eod. 11. [6] Proch. eod. 12. [7] Proch. eod. 16. [8] Proch. eod. 17. [9] Proch. eod. 19. [10] Proch. eod. 27. [11] Ecl. II, 3.

ἀποκαταστάσει τῆς ὁμολογηθείσης αὐτῇ προικὸς καὶ τέταρτον μέρος πρὸς τὸ μέτρον τῆς τοιαύτης προικὸς ἐκ τῶν ἐγκαταλειφθέντων τοῦ ἀνδρὸς αὐτῆς παντοίων πραγμάτων ἐπ' ὀνόματι κάσου εἰς κέρδος οἰκεῖον λαμβάνειν αὐτὴν, καὶ τὴν περισσευομένην ἅπασαν ἀνδρῴαν ὕπαρξιν ἢ εἰς τοὺς ἐκ τελευταίας αὐτοῦ βουλήσεως ἢ εἰς τοὺς ἐξ ἀδιαθέτου κληρονόμους περιέρχεσθαι [12].

13. Εἰ δὲ παίδων ὑπόντων ὁ ἀνὴρ πρὸ τῆς οἰκείας γαμετῆς τελευτήσει, τὴν γυναῖκα ἤγουν τὴν μητέρα τῶν τέκνων ἐγκάτοχον εἶναι τῆς προικὸς αὐτῆς καὶ ἁπάσης ἀνδρῴας ὑπάρξεως, καὶ αὐτὴν πᾶσαν τὴν τοῦ οἴκου φροντίδα τε καὶ διοίκησιν ποιεῖσθαι, προδήλως δημοσίαν γραφὴν ποιουμένης αὐτῆς πάσης τῆς καταλιμπανομένης τοῦ αὐτῆς ἀνδρὸς ὑπάρξεώς τε καὶ περιουσίας· συγκειμένων ἐν τῇ τοιαύτῃ γραφῇ καὶ τῶν προικιμαίων αὐτῆς γραμμάτων, εἰ καὶ ὕπεισιν αὐτῇ· καὶ ἐν ἐξωπροίκοις ὀφείλει καὶ αὐτὰ δεῖξαι δι' ἐνεργῶν συστάσεων, ὡς αὐτὰ ἤγαγεν ἐν τῷ οἴκῳ τοῦ ἀνδρὸς αὐτῆς· μὴ δυναμένων τῶν ταύτης τέκνων ἀντικαθίστασθαι αὐτῇ ἢ ἐπιζητεῖν παρ' αὐτῆς πατρῴαν ὑπόστασιν, τοὐναντίον μὲν οὖν καὶ πᾶσαν τιμὴν καὶ ὑπακοὴν κατὰ τὴν τοῦ θεοῦ ἐντολὴν ὡς μητρὶ προσαγαγόντων αὐτῇ· προδήλως ὀφειλούσης αὐτῆς καθὼς πρέπει γονεῦσι τὰ τέκνα ἐκπαιδεύειν καὶ γαμοστολεῖν, καὶ προῖκας ἐπιδιδόναι καθὼς ἂν βουληθείη. εἰ δὲ συμβῇ αὐτὴν εἰς ἕτερον συνελθεῖν συνοικέσιον, ἄδειαν ἔχειν τὰ τέκνα αὐτῆς παρεᾶν αὐτὴν καὶ πάντα τὰ πατρῷα αὐτῶν πράγματα ἀνελλιπῶς κομίζεσθαι, τὴν εἰσενεχθεῖσαν παρ' αὐτῆς τῷ πατρὶ αὐτῶν προῖκα καὶ μόνον σὺν τῇ ἀποχαρισθείσῃ παρ' αὐτοῦ ἐν ἐπαυξήσει τῆς προικὸς αὐτῆς δωρεᾷ παρέχοντες αὐτῇ [13].

14. Εἰ δὲ τέκνων ὑπόντων ἡ γυνὴ πρὸ τοῦ ἀνδρὸς τελευτήσει, ἐγκάτοχον εἶναι τῆς προικὸς αὐτῆς καὶ τῆς ἐν ἐξωπροίκοις πάσης αὐτῆς ὑπάρξεως καὶ τῶν τέκνων ὡς ὑπεξουσίων αὐτῶν τυγχανόντων, καὶ αὐτὸν τὴν πᾶσαν τοῦ οἴκου ποιεῖσθαι φροντίδα τε καὶ διοίκησιν, μὴ δυναμένων τῶν τέκνων αὐτοῦ ἀντικαθίστασθαι αὐτῷ ἢ ἐπιζητεῖν παρ' αὐτοῦ μητρῴαν ὑπόστασιν, τοὐναντίον μὲν οὖν καὶ πᾶσαν τιμὴν καὶ ὑπακοὴν καθὼς ἁρμόζει γονεῦσι προσαγαγόντων αὐτῷ κατὰ τὸ γεγραμμένον· ἔργῳ καὶ λόγῳ τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα ἐπέλθῃ σοι εὐχὴ παρ' αὐτῶν· εὐχὴ γὰρ πατρὸς στηρίζει οἴκους

---

[12] Ecl. II, 4. [13] Ecl. II, 5.

τέκνων, κατάρα δὲ μητρὸς ἐκριζοῖ θεμέλια· δι᾽ αὐτῶν γὰρ ἐγεννήθησαν καὶ τί ἀνταποδώσωσιν αὐτοῖς, καθὼς αὐτοὶ ἐκείνοις; ταῦτα γὰρ βεβαιῶν καὶ παῦλος ὁ ἀπόστολος ἔφη· τὰ τέκνα ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν ἐν κυρίῳ, καὶ οἱ γονεῖς μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ἀλλ᾽ ἐκτρέφετε ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου. εἰ δὲ συμβῇ καὶ αὐτὸν εἰς ἕτερον περιελθεῖν συνοικέσιον τῶν τέκνων αὐτοῦ ἀνηλίκων τυγχανόντων, ἀμείωτα παρ᾽ αὐτοῦ τὰ μητρῷα αὐτῶν φυλάττεσθαι πράγματα· εἰ δὲ εἰσὶν νόμου ἡλικίας, εἰ θέλουσι, ἀδιασκέπτως τὰ τοιαῦτα αὐτῶν πράγματα παρεχέσθω αὐτοῖς[14].

15. *Εἰ δὲ θελήσει ἐκ τοῦ ἀνδρογύνου εἴτε ὁ ἀνὴρ εἴτε ἡ γυνὴ χωρὶς δευτερογαμίας ἐκ τῶν ἰδίων τέκνων ἀναχωρῆσαι, ἀνηλίκων τυγχανόντων, μὴ ἔχειν αὐτοὺς ἄδειαν τοῦτο πρᾶξαι, ἀλλὰ τὴν τούτων ποιεῖσθαι φροντίδα τε καὶ διοίκησιν, καθὼς εἶπεν ὁ ἀπόστολος, ὅτι χήρα ἔχουσα τέκνα ἢ ἔγγονα μανθανέτω πρῶτον τὸν ἴδιον οἶκον εὐσεβεῖν· τοῦτο γάρ ἐστιν ἀπόδεκτον ἐνώπιον τοῦ θεοῦ. εἰ δὲ τῶν ἐντελῶν εἰσὶν τὰ τέκνα καὶ εἰς βίον παρῆλθον καὶ δύνανται τὴν ἰδίαν ποιεῖσθαι φροντίδα τε καὶ διοίκησιν, καὶ θελήσει τὶς ἐκ τῶν γονέων ἀναχωρῆσαι ἐξ αὐτῶν, ἐπ᾽ ἀδείας ἔχειν. τὸν τοιοῦτον μετὰ τὴν τῶν ἰδίων πραγμάτων ἐγκράτησιν καὶ ἑνὸς παιδὸς μοῖραν λαμβάνειν πρὸς τὸν ἀριθμὸν τῶν τέκνων καὶ ἀναχωρεῖν*[15].

16. *Εἰ δέ τις κατὰ στένωσιν ἢ διὰ ταπείνωσιν μὴ δυνηθῇ εἰπρολήπτως καὶ ἐγγράφως ποιῆσαι γάμους, καὶ ἀγράφως συνίσταται γάμος ἀδόλως συναινέσει τῶν συναλλασσόντων προσώπων καὶ τῶν τούτων γονέων, εἴτε ἐν ἐκκλησίᾳ δι᾽ εὐλογίας ἢ καὶ ἐπὶ φίλων τοῦτο γνωσθῇ. ἀλλὰ καὶ οἱοσδήποτε εἰσοικιζόμενος γυναικὶ ἐλευθέρᾳ καὶ καταπιστεύων αὐτῇ τὴν τοῦ ἰδίου οἴκου διοίκησιν καὶ ταύτῃ σαρκικῶς συμπλεκόμενος, ἄγραφον συναλλάσσει πρὸς αὐτὴν γάμον. ἐὰν δὲ ἐξ αὐτῆς μὴ παιδοποιήσας πειραθῇ ἐκδιῶξαι αὐτὴν αἰτίας νόμῳ ἐγνωσμένης ἐκτός, διδόναι αὐτῇ πρὸς τῇ ἀποκαταστάσει τῶν εἰκὸς εἰσενεχθέντων παρ᾽ αὐτῆς πραγμάτων καὶ τέταρτον μέρος τῆς αὐτοῦ περιουσίας*[16].

17. *Εἰ δέ τις γυναικὶ ἀπόρῳ πρὸς γάμον νόμιμον συναφθῇ, καὶ τελευτήσει παίδων καὶ διαθηκῶν χωρίς, κομίζεσθαι αὐτὴν ἐκ τῆς ἀνδρῴας ὑποστάσεως ἐξ ἀπαιδίας κάσον τέταρτον μέρος κατὰ τὴν εὐπορίαν τοῦ ἀνδρὸς ἕως τῶν δέκα λιτρῶν.*

---

[14] Ecl. II, 6. [15] Ecl. II, 7. [16] Ecl. II, 8.

[εἰ δὲ καὶ ἐπάνω τῶν δέκα λιτρῶν] εὐπορεῖ ὁ ἀνὴρ, μὴ ἔχειν αὐτὴν ἄδειαν ἕτερόν τι κομίζεσθαι πλὴν ἀπὸ τῶν δέκα λιτρῶν ὡς προειρήκαμεν, καὶ τὰ ὑπόλοιπα περιερχέσθωσαν εἰς τοὺς ἐξ ἀδιαθέτου αὐτοῦ κληρονόμους, εἰ δὲ μὴ ὑπόντων κληρονόμων, εἰς τὸ μέρος τοῦ δημοσίου [17].

18. Ὁ ἐν τάξει γαμετῆς ἀγόμενος γυναῖκα μετὰ ὅρκου, προικὸς μὴ παρακολουθησάσης, ἐὰν ἀλόγως αὐτὴν ἐξωθήσῃ, διδότω αὐτῇ τὸ τέταρτον τῆς περιουσίας αὐτοῦ [18].

19. Δευτερογαμία συνίσταται ἐπὶ τοῖς μὴ κεκωλυμένοις προσώποις εἴτε ἐγγράφως εἴτε ἀγράφως οὕτως· εἰ μὲν παίδων χωρὶς, ἀπεριέργως συναλλάσσειν κατὰ τοὺς ἀνωτέρω δηλουμένους τρόπους. εἰ δὲ παῖδες ὑπῶσι τῷ δευτερογαμοῦντι προσώπῳ, μὴ ἔχειν αὐτὸν ἄδειαν χαρίσασθαι τῇ δευτέρᾳ γυναικὶ πλείω ἑνὸς παιδὸς μοῖραν τοῦ ἐκ προτέρου αὐτοῦ γάμου ἐκ τῆς ἰδίας αὐτοῦ περιουσίας. ὁμοίως τὸ αὐτὸ παραφυλαττέσθω καὶ ἐπὶ δευτερογαμούσης γυναικὸς, προδήλως τῆς δευτερογαμούσης γυναικὸς τὸν ἀπὸ τοῦ καιροῦ τῆς τελευτῆς τοῦ πρώτου ἀνδρὸς παραφυλαττούσης δωδεκαμηνιαῖον χρόνον. εἰ δὲ πρὸ τοῦ δωδεκαμηνιαίου χρόνου δευτερογαμήσει, ἄτιμος ἔσται, μηδὲν ἐκ τοῦ πρώτου ἀνδρὸς κερδανοῦσα καθ' οἱονδήποτε τρόπον. παραφυλαττούσης δὲ, κομίζεσθαι αὐτὴν παίδων ὑπόντων τὸ ἥμισυ τῆς προγαμιαίας δωρεᾶς, μὴ ὄντων δὲ τὸ πᾶν [19].

20. Ἡ [μὴ] δευτερογαμοῦσα γυνὴ, εἴτε παίδων ὑπόντων εἴτε μὴ, τῆς προγάμου δωρεᾶς κατά τε χρῆσιν καὶ δεσποτείαν κυρία καθίσταται· οὐ μόνον δὲ, ἀλλὰ καὶ παίδων μὴ ὑπόντων τὸν ἐξ ἀπαιδίας κάσον ἤτοι τὸ τέταρτον τοῦ προικοϋποβόλου εἰς κέρδος αὐτῆς ἀναδέχεται· τοῦτο δὲ δῆλον λήψεται οὐκ ἐξ αὐτοῦ τοῦ προικοϋποβόλου, ἀλλ' ἐκ τῆς ὑπολοίπου πάσης ἀνδρῴας ὑποστάσεως. ὑπόντων μέντοι παίδων, μετὰ τὸν τελευταῖον παῖδα εἰς τὸν κ̄ καταντήσαντα χρόνον τῶν δύο τὸ ἕτερον αἱρεῖσθαι, εἴτε τὴν χρῆσιν πᾶσαν ἔχειν τῆς ἀνδρῴας ὑποστάσεως καὶ μόνον, εἴτε παιδὸς ἑνὸς μοῖραν κατὰ τελείαν δεσποτείαν εἰς οἰκεῖον ἀφαιρεῖσθαι κέρδος. δῆλον δὲ ὡς καί τινος τῶν παίδων ἢ ἁπάντων ἀτέκνων ἢ ἀδιαθέτων τελευτώντων, ὁ τούτων κλῆρος εἰς αὐτὴν ἀναδραμεῖται [20].

21. Ἡ δὲ μετὰ τὸν πένθιμον χρόνον ἤγουν μετὰ τοὺς δώδεκα μῆνας δευτερογαμοῦσα τῆς προγάμου δωρεᾶς κατὰ τὸ

---

[17] Ecl. II, 9. [18] Theod. Nov. 74 §. 8. [19] Ecl. II, 10 pr.
[20] Epanag. XIX, 5.

ἥμισυ μέρος κυρία καθίσταται, τὸ δὲ ἕτερον ἥμισυ μέρος τοῖς ἐκ τοῦ προτέρου ἀνδρὸς αὐτῆς παισὶ φυλάττεται. εἰ δὲ παῖδες μὴ ὕπεισιν, αὐτὴ τῆς ὅλης προγαμιαίας [δωρεᾶς] κυρία καθίσταται. ἐκ μέντοι τῆς ἄλλης ἀνδρῴας ὑποστάσεως ὄντων παίδων καὶ μὴ ὄντων οὐδὲν ἕτερον αὐτὴ παρακερδαίνει. τινὸς μέντοι τῶν παίδων τῶν ἐκ τοῦ προτέρου γάμου ἀτέκνου ἢ ἀδιαθέτου τελευτῶντος, τὴν τούτου ὑπόστασιν μετὰ τῶν λοιπῶν παίδων ἐξ ἴσου μερισθήσεται. εἰ δὲ μὴ εἴη τὶς ὁ ταύτην συμμεριζόμενος, ὁλοκλήρου τῆς ὑποστάσεως αὐτὴ κυρία λογισθήσεται [21].

22. Εἰ δὲ πρὸ τοῦ πενθίμου χρόνου εἰς δεύτερον συνοικέσιον αὑτὴν ἐπιῤῥίψει, ὡς εἰς τὰς γονὰς καὶ ἀνδρῴαν κοίτην ἐνυβρίσασα, τῆς προγάμου δωρεᾶς τῆς τε δεσποτείας καὶ χρήσεως καὶ ἁπάσης ἀνδρῴας ὑποστάσεως ἀπελαθήσεται· οὐ μόνον δὲ ἀλλὰ καὶ παίδων αὐτῇ προσόντων, ἀτέκνων τούτων καὶ ἀδιαθέτων τελευτώντων, οὐ καθ' ὅλον τὸν κλῆρον οὔτε κατὰ μέρος τινὰ τούτων κληρονομήσει. εἰ μέντοιγέ τινες τῶν παίδων φιλανθρωπότερον περὶ τὴν ἐξυβρίσασαν μητέρα διατεθῆναι βουληθῶσιν καὶ καταλιπεῖν τι θελήσωσιν αὐτῇ ἐκ τῆς ἰδίας ὑποστάσεως αὐτῶν, [κρεῖσσον μᾶλλον παραμυθεῖσθαι ἢ τοσαύτην εἰσάγειν ὠμότητα, ὥστε μηδὲ βουλομένων τῶν παίδων πρὸς ἔλεον τῆς μητρὸς ἀφορᾶν ταύτην τινὸς τυγχάνειν παραμυθίας.] ἃ δὲ ἐπὶ τῆς πρὸ πενθίμου δευτερογαμούσης νενομοθέτηται, καὶ ἐπὶ τῆς ἐν τῷ ἐνδεκάτῳ μηνὶ τεκούσης δῆλον λογισθήσεται [22].

23. Ὁ μὴ δευτερογαμῶν ἀνὴρ μὴ προσόντων μὲν παίδων τὸν ἐξ ἀπαιδίας κάσον ἤτοι τὸ τέταρτον τοῦ προικοϋποβόλου λαμβάνει· παίδων δὲ προσόντων, ἐκτρέφειν καὶ παιδαγωγεῖν ἀναγκάζεται· μετὰ δὲ τὸ φθάσαι τὸν τελευταῖον παῖδα εἰς τὸν κ̄ χρόνον, ἄδειαν ἐχέτω ἢ τὴν χρῆσιν κατέχειν ἕως τέλους, ἢ ἀδελφικὴν μοῖραν εἰς οἰκεῖον παρακατέχειν κέρδος. κληρονομεῖ δὲ καὶ οὗτος ὁλοκλήρους τοὺς παῖδας ἀτέκνους καὶ ἀδιαθέτους. ὁ μέντοι δευτερογαμῶν, ἐὰν ὑπάρχωσιν αὐτῷ ἀνήλικοι παῖδες, τὰ τούτων πράγματα παραφυλάττειν αὐτὸν, μέχρις ἂν τῶν ἐντελῶν γίνονται χρόνων· εἰ δὲ καὶ τῶν ἐντελῶν εἰσὶν, παρέχεσθαι αὐτοῖς ἀπεντεῦθεν ἤδη τὰ μητρῷα αὐτῶν ἐντελῶς πράγματα *. ἐκτρέφειν καὶ αὐτὸς καὶ παιδαγωγεῖν φυσικῷ

---

21 Epanag. XIX, 7. 22 Epanag. XIX, 6. * Haec intrusa sunt ex Ecl. II, 10 med.

καὶ γραπτῷ νόμῳ τὰ τέκνα καταναγκάζεται, καὶ ἐν ᾧ καιρῷ ταῦτα παιδαγωγεῖ καὶ ἐκτρέφει, μετέχει κἀκεῖνος χρήσεως, καὶ παρὰ τοῦτο πλέον οὐδέν· ἀναγραφῆς δῆλον ἀκριβοῦς γεγενημένης τῆς τῶν παίδων ἐξ ἀρχῆς ὑποστάσεως, ἧς ἐκεῖνος ὀφείλει τὸν λόγον ὑπέχειν· μετὰ δὲ τὸ φθάσαι τὸν ἔσχατον παῖδα εἰς τὸν κ̄ χρόνον, τότε καὶ αὐτῆς παντελῶς ἐξίσταται τῆς χρήσεως, μηδὲν ἄλλο παρακερδαίνων ἐκ τῆς αὐτῶν ἀπὸ μητρὸς καὶ ἀλλαχόθεν περιελθούσης ὑποστάσεως. τινὸς δὲ τῶν παίδων ἀτέκνου καὶ ἀδιαθέτου τελευτῶντος, τὴν ἐκείνου ὑπόστασιν τοῖς λοιποῖς παισὶ συμμερίζεσθαι· μηδενὸς δὲ τοῦ συμμεριζομένου [καταλειπομένου], ὁλοκλήρως τὸ πᾶν ἀναδέξεται. καὶ ταῦτα μὲν παίδων προσόντων· παίδων δὲ μὴ προσόντων, οὐδὲν ὅλως ἐκ τῆς ὑποστάσεως τῆς προτέρας γυναικὸς εἰς οἰκεῖον κέρδος λήψεται[23].

24. Πένθιμος δὲ χρόνος τοῖς νόμοις ἐπὶ ἀνδρὸς οὐδαμῶς ὥρισται.

25. Εἰ δὲ καὶ τέκνα ποιήσει ἐκ τῆς δευτέρας γυναικὸς καὶ τελευτήσει, ἄδειαν ἔχειν καὶ τὰ πρῶτα καὶ τὰ δεύτερα τέκνα τὸν ἴδιον κληρονομεῖν πατέρα· ὁμοίως καὶ τὴν μητέρα[24].

26. Ἡ δευτερογαμοῦσα γυνὴ ἔχουσα παῖδας αἰτείτω πρὸ τοῦ συναλλάγματος τοῦ δευτέρου γάμου ἐπίτροπον τοῖς παισὶν αὐτῆς καὶ οὕτως συναλλασσέτω· εἰ μὴ γὰρ τοῦτο γίνεται, ὑπεύθυνα τὰ αὐτῆς καὶ τοῦ δευτέρου αὐτῆς ἀνδρὸς πράγματα γενήσονται ἐπὶ τῇ ἀποκαταστάσει τῶν ἀνηκόντων τοῖς νέοις πατρικῶν πραγμάτων[25].

27. Ἔστω νῦν πᾶσι κατάδηλον, ὥστε οὖν τὰ αὐτὰ δίκαια προβαίνειν καὶ ἐπὶ τοῦ τρίτου συνοικεσίου, ὁπόσα καὶ [ἐπὶ] τοῦ δευτέρου. εἰ δέ τις ὁρμήσει πρὸς τέταρτον γάμον, τὸν οὐ γάμον νομιζόμενον, οὔτε οἱ ἐξ αὐτοῦ τεχθέντες παῖδες γνήσιοι γνωρισθήσονται, ἀλλὰ καὶ ταῖς ποιναῖς τῶν μεμολυσμένων τοῖς τῆς πορνείας ῥυπάσμασιν καθυποβληθήσονται, δηλονότι ἀπ' ἀλλήλων διϊστάμενοι[26].

28. Ἐὰν τὰ τέκνα τοῦ πρώτου γάμου ὑπὸ γραφῆς ἔχωσι τὰ μητρῷα αὐτῶν πράγματα, οὐ δύνανται οἱ τικτόμενοι παῖδες ἀντικαθίστασθαι αὐτοῖς· οὔτε τὰ τέκνα τοῦ ξένου προσώπου, ἤγουν τὰ [μὴ] ἐλθόντα [ἀπὸ] τῆς μητρὸς αὐτῶν. ἀλλὰ ἀνελλιπῶς ἔχειν αὐτοὺς τὴν καταγραφὴν τῆς μητρὸς αὐτῶν[27].

---

[23] Epanag. XIX, 8. [24] Ecl. II, 10 fin. [25] Ecl. II, 11. [26] Proch. IV, 25 fin. [27] Eorum, quae §. 28—33 leguntur, fontem invenire non potui.

29. *Εἰ δὲ καὶ εὑρεθῶσι πράγματα τοῖς νέοις τοῦ πρώτου γάμου, καὶ εἰσέλθωσι μετὰ τοῦ ἰδίου πατρὸς εἰς τὸ δεύτερον συνοικέσιον, καὶ ποιήσῃ τέκνα μετὰ τῆς δευτέρας γυναικὸς, εἴτε ποιήσωσιν οἱ πρωτοήλικοι παῖδες· καὶ συμβῇ τοὺς γονεῖς αὐτῶν τελευτῆσαι, ὡς ὁμοδουλεύσαντες καὶ φροντίδα ποιήσαντες, λαμβάνειν μοίρας ἀπὸ τοῦ οἴκου τοῦ πατρὸς αὐτῶν, ὡς καὶ οἱ ἔσχατοι παῖδες.*

30. *Εἰ δὲ καὶ μὴ ποιήσῃ τέκνα μετὰ τῆς δευτέρας γυναικὸς, καὶ εὑρεθῶσιν αὐτῇ παῖδες μὴ φέροντες τὸ οἱονοῦν, ὡς καὶ οἱ ἀνώτεροι παῖδες· τὰ εὑρεθέντα αὐτοῖς τοῖς ἀμφοτέροις μεριζέσθωσαν. εἰ δὲ καὶ οἱ πρῶτοι παῖδες καὶ οἱ δεύτεροι προῖκα ἔχωσιν, τελευτησάντων τῶν γονέων αὐτῶν τὰ ἐγκαταλειφθέντα πράγματα πάντες οἱ λοιποὶ μεριζέσθωσαν.*

31. *Εἰ δὲ ὁ ἀνὴρ πρὸ τῆς δευτέρας γυναικὸς ἄτεκνος τελευτήσει ἐκ τῆς προτέρας γυναικὸς πράγματα ἔχων, ἀνεξαιρέτως λαμβάνει ἡ δευτέρα γυνὴ τῆς προικὸς αὐτῆς τὴν ποσότητα μετὰ καὶ τῶν ὡς εἰκὸς ἀποχαρισθέντων αὐτῇ πραγμάτων καὶ ἀποδημεῖται· τὰ δὲ λοιπὰ πράγματα οἱ τῆς γενεᾶς αὐτοῦ συγγενεῖς κληρονομείτωσαν· εἰ δὲ οὐκ ἐστίν τις ἐκ τῆς γενεᾶς αὐτοῦ, καὶ εὑρεθῇ ἓν τέκνον τῆς δευτέρας αὐτοῦ γυναικὸς, αὐτὸς τὰ αὐτοῦ κληρονομείτω.*

32. *Τὸ αὐτὸ οὖν παραφυλαττέσθω καὶ ὑπὸ τοῦ ἀνδρὸς πρὸς τὴν γυναῖκα· ἐὰν δὲ μετὰ τὸ λαβεῖν ὁ ἀνὴρ τὴν δευτέραν γυναῖκα καίτοιγε χρεώστης ἦν τῆς προτέρας γυναικὸς, πρῶτον πληρώσει τὴν δύναμιν τῆς προικὸς αὐτῆς, καὶ οὕτως λάβῃ ἑτέραν. εἰ δὲ καὶ πληρώσει αὐτὴν καὶ εἰς ἕτερον γάμον ἐλθὼν τελευτήσει, πρῶτον ὁ πατὴρ ἢ ὁ ἀδελφὸς τῆς νεάνιδος πλήρωσιν λάβῃ τῆς καταβολῆς τῆς προικὸς, καὶ οὕτως ἐπ' ἐσχάτων τὸ ἐπείσακτον μέρος.*

33. *Εἰ δὲ καὶ πράγματα εἰσήγαγεν ἐν τῷ οἴκῳ τοῦ ἀνδρὸς αὐτῆς, οὐ δύνανται φιλονεικεῖν αὐτὴν, οὔτε οἱ ἐκ τῆς προτέρας γυναικὸς ἀδελφοί, οὔτε οἱ τοῦ ἀνδρὸς συγγενεῖς.*

34. *Τῆς δευτερογαμούσης γυναικὸς τὴν δωρεὰν ἤτοι τὰ γαμικὰ κέρδη οἱ παῖδες λαμβάνουσιν κατὰ δεσποτείαν, μὴ δυναμένης αὐτῆς τινὰ ἀπὸ τῶν παίδων προτιμᾶν· εἰς δὲ τὰ γαμικὰ κέρδη τουτέστιν εἰς τὰ ἐξ ἀπαιδίας, ὡς θέλει διανέμει τοῖς παισί* [28].

35. *Οἱ γονεῖς ἐπὶ παισὶ δευτερογαμοῦντες χρῆσιν μόνον*

---

[28] Theod. Nov. 2 §. 1.

ἔχουσι ὧν κερδαίνουσιν ἀπὸ τοῦ πρώτου γάμου, μήποτε καὶ βεβαίως ἐκποιοῦντες αὐτά. εἰ γὰρ ἐκποιήσονταί τι ἐξ αὐτῶν, ἐκδικεῖται, εἰ μὴ ἄρα τριακονταετία παρῆλθεν, ἀφ' οὗ γεγόνασιν αὐτεξούσιοι οἱ ὀφείλοντες ἐκδικεῖν αὐτὰ παῖδες[29].

36. Δευτερογαμῶν ὁ πατὴρ ἀπαιτεῖται ὑπὸ τοῦ ἰδίου παιδός[30].

37. Ὅτι κἂν δευτέρῳ γάμῳ προσομιλήσῃ ὁ πατὴρ ἢ μήτηρ, κληρονομοῦσιν τῶν υἱῶν αὐτῶν, δηλονότι [εἰς τὴν] ἰδικὴν αὐτῶν περιουσίαν χωρὶς ἕδνων καὶ τῆς προικός. ἐκ τούτων γὰρ μόνον τὸ ἐξ ἀπαιδίας λαμβάνουσιν[31].

38. Ἑνὸς μὲν τῶν παίδων τελευτῶντος ἄπαιδος, ὁ μὲν περιὼν γονεὺς, δευτερογαμήσας δηλονότι, μόνον τὸ ἐξ ἀπαιδίας λαμβάνει· τὸ δὲ λοιπὸν εἰς τοὺς διαδόχους τῶν ἀδελφῶν αὐτοῦ ἐλεύσεται[32].

39. Ὁ δευτερογαμήσας τὰ ἐκ τοῦ πρώτου γάμου κέρδη τῶν αὐτοῦ παίδων προτελευτησάντων ἐχέτω καὶ ἐκδικείτω παρὰ τῶν ἐχόντων[33].

40. Οὐκ ἐξουσιάζει ὁ ἀνὴρ τῶν ἐξωπροίκων τῆς ἰδίας γαμετῆς. ὅθεν εἰ καὶ κατὰ γνώμην αὐτῆς δαπανήσει αὐτὰ, [καταδικάζεται εἰς ὅσον εὐπορεῖ. εἰ δὲ χωρὶς αὐτῆς ἀναλώσει αὐτὰ,] τὸ πᾶν ἀπαιτεῖται[34].

ΤΙΤΛΟΣ γ'.

Περὶ αἰτίας* τῆς λύσεως τοῦ γάμου.

1. Τῆς ἀδιαλύτου τῶν γαμικῶς ἐν κυρίῳ συμβιούντων ἑνώσεως, ἡ τοῦ κτίστου καὶ δημιουργοῦ τῶν ἁπάντων θεοῦ σοφία ὑπάρχει διδάσκαλος· αὐτὸς γὰρ εἰς τὸ εἶναι παραγαγὼν ἐξ οὐκ ὄντων** τὸν ἄνθρωπον, οὐ τὸν αὐτὸν τρόπον καὶ τὴν γυναῖκα πλάσαι ἐκέλευσε, καίπερ δυνάμενος· ἀλλ' ἐκ τοῦ ἀνδρὸς αὐτῆς ταύτην ἐδημιούργησεν, ἵνα τῆς ἡνωμένης σαφῶς μιᾶς ἐν

---

[29] Theod. Nov. 22 §. 27. [30] Theod. Nov. 22 §. 43. [31] Theod. Nov. 2 §. 5. [32] Theod. Nov. 22 §. 30. [33] Cod. V, 9, 11. [34] Theod. Cod. V, 14, 8. (Basil. ed. Heimb. III p. 483.)

* Paris. 1384: *αἰτιῶν*. ** Hic lacuna est folii unius in Paris. 1720, quam suppleo ex Paris 1263. et Vatic. 640.

δυάδι προσώπων σαρκὸς τὸ ἀχώριστον καὶ τῆς συζυγίας νομοθετήσῃ τὸ ἀδιάζευκτον. ὅθεν οὔτε τὴν γυναῖκα τῇ ὑποβολῇ καὶ ὑποθέσει τοῦ ὄφεως τῆς πικρᾶς τῷ ἀνδρὶ κατάρξασαν γεύσεως ἀπὸ τούτου ἐχώρισεν, οὔτε τὸν ἄνδρα τὴν τῆς δεσποτικῆς ἐντολῆς παράβασιν τῇ ὁμοζύγῳ συνεργασάμενον ταύτης διέζευξεν, ἀλλὰ τὴν μὲν ἁμαρτίαν ἐκώλυσε, τὴν δὲ συζυγίαν οὐκ ἔλυσε. ταύτῃ τοίνυν τῇ ἐνεργεῖ νομοθεσίᾳ αὖθις καὶ λόγῳ κυρωθείσῃ παρὰ τοῦ κτίσαντος κατὰ τὸν καιρὸν τῆς τῶν φαρισαίων πρὸς αὐτὸν ἐρωτήσεως, εἰ ἔξεστι τῷ ἀνδρὶ ἐρωτησάντων κατὰ πᾶσαν αἰτίαν ἀπολύειν τὴν γυναῖκα αὐτοῦ, καὶ ἀποκριθέντος τοὺς ὑπὸ θεοῦ συζευχθέντας μηδαμῶς παρὰ ἀνθρώπου χωρίζεσθαι παρεκτὸς λόγου πορνείας, ἐξακολουθοῦντες καὶ πειθόμενοι, οὐδὲ ἡμεῖς ἕτερόν τι νομοθετεῖν περὶ τούτου βουλόμεθα [1].

2. Διαλύεται γάμος κατὰ πρόφασιν ἀναγκαίαν καὶ οὐκ ἄλογον, ὅταν τὶς οὐχ οἷός τε ᾖ συνεῖναι τῇ γυναικὶ καὶ τὰ παρὰ τῆς φύσεως δεδομένα πράττειν, ἀλλὰ τριετία ἐκ τοῦ τῶν γάμων παραδράμῃ καιροῦ. ἔξεστι γὰρ τότε τῇ γυναικὶ ἢ τοῖς αὐτῆς πατρᾶσι διαζευγνύναι τὸ συνοικέσιον καὶ τελείαν διάλυσιν κἀνταῦθα ποιεῖν· καὶ ἡ μὲν προῖξ ὅλη ἐπιδιδομένη ἀκολουθήσει τῇ γυναικὶ καὶ ἀποδώσει ταύτην ὁ ἀνήρ, ἡ δοθεῖσα δὲ αὐτῇ διὰ τοῦ γάμου ἢ πρὸ τῶν γάμων δωρεὰ μένει παρὰ τῷ ἀνδρὶ μηδὲν οἴκοθεν ζημιουμένῳ [2].

3. Λύεται ἀπὸ γυναικὸς ὁ ἀνὴρ διὰ τοιαύτας αἰτίας· ἐὰν ἡ γυνὴ αὐτοῦ πορνεύσῃ, ἐὰν ἐπιβουλεύσηται τῷ οἱῳδήποτε τρόπῳ τῇ ζωῇ αὐτοῦ ἢ ἐπισταμένη ἐπιβουλεύοντας ἑτέρους μὴ καταμηνύσῃ αὐτῷ, καὶ ἐὰν παραγνώμην τοῦ ἀνδρὸς αὐτῆς ἀνδρᾶσιν ἐξωτικοῖς συμποσιάσῃ ἢ συλλούσηται, ἢ μὴ βουλομένου τοῦ ἀνδρὸς ἐξώκοιτος γένηται, χωρὶς τῶν ἑαυτῆς γονέων· καὶ εἰ λωβή ἐστιν. ὁμοίως δὲ καὶ ἡ γυνὴ λύεται ἀπὸ τοῦ ἀνδρὸς διὰ τοιαύτας αἰτίας· ἐὰν καὶ ὁ ἀνὴρ ἐπὶ τριετίαν ἀπὸ τοῦ καιροῦ τοῦ γαμικοῦ συναλλάγματος τῇ ἰδίᾳ μὴ συγγένηται γυναικὶ, [ἐὰν ἐπιβουλεύσῃ οἱῳδήτινι τρόπῳ τῇ ζωῇ αὐτῆς] ἢ ἐπιστάμενος ἑτέρους ἐπιβουλεύοντας μὴ καταμηνύσῃ αὐτῇ, καὶ ἐὰν λωβός ἐστιν. ἄνευ δὲ τῶν αἰτιῶν τούτων οὐ δύναται ἀνδρόγυνον διαλύεσθαι κατὰ τὸ γεγραμμένον· ὅτι οὓς ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω. εἰ δὲ συμβῇ ἐξ αὐτῶν ἕνα

---

[1] Ecl. II, 12. [2] Proch. XI, 2.

μετὰ τὸν γάμον ὑπὸ δαίμονος κυριευθῆναι, τούτους ἐκ τῆς τοιαύτης αἰτίας ἀπ' ἀλλήλων μὴ χωρίζεσθαι [3].

ΤΙΤΛΟΣ δʹ.

Περὶ * καταγραφείσης προικὸς καὶ μὴ ἐπιδοθείσης· καὶ περὶ δωρεῶν μεταξὺ ἀνδρῶν καὶ γυναικῶν.

1. Ὁ ὁμολογῶν ἐγγράφως ἢ ἀγράφως ὑποδέξασθαι προῖκα καὶ μὴ πληρουμένης αὐτῆς, μείζων τῶν κε ἐτῶν τυγχάνων, ἄδειαν ἔχει μετὰ τὸν γάμον μέχρι πενταετοῦς χρόνου καὶ μόνου ταύτην ἐπιζητεῖν καὶ ἐντελῶς κομίζεσθαι, εὐπορούντων [τῶν] γονέων τῆς κόρης τὰ ὑποσχεθέντα αὐτῷ ἀποπληρῶσαι· εἰ δὲ τοῦτο μὴ ποιήσει καὶ ἀμελήσει ταῦτα ἀποπληρωθῆναι, ὑπόκειται αὐτὸς τῷ μέρει τῆς γυναικὸς κατὰ τὴν δύναμιν τῶν προσομολογηθέντων παρ' αὐτοῦ [1].

2. Εἰ γυνὴ εἰσαγάγῃ προῖκα τῷ ἀνδρὶ αὐτῆς, εἶτα συμβῇ ἀπὸ συμφορᾶς τινος εἰς ζημίαν πεσεῖν ἢ εἰς χρέος τὸν ἄνδρα εἴτε τῷ δημοσίῳ εἴτε ἑτέρῳ προσώπῳ οἱῳδήποτε καὶ τελευτῆσαι, οὐκ ἔχει ἄδειαν οὔτε ὁ δημόσιος οὔτε ἕτερός τις ἐπιβῆναι τὸν οἶκον αὐτοῦ καὶ ἐπάραι τὶ, μέχρις ὅτου ἡ γυνὴ τὴν ἰδίαν λάβῃ προῖκα· μετὰ δὲ τὴν ταύτης πλήρωσιν τὰ περισσευόμενα κατὰ ἀνάμοιραν οἱ χρεωφειλέται μεριζέσθωσαν [2].

3. Ἡ διατετιμημένη προῖξ τῷ ἀνδρὶ κινδυνεύεται. κἂν ἀποθάνῃ τὰ ζῶα, κἂν ἡ γυνὴ τὴν ἐσθῆτα κατατρίψῃ, αὐτὸς τὴν ἀποτίμησιν δίδωσιν. τῆς δὲ ἀδιατιμήτου ἡ αὔξησις καὶ ἡ μείωσις τὴν γυναῖκα ὁρᾷ. καὶ ἀντιλαμβάνει τὸν τοκετὸν τῶν δούλων· τοὺς γὰρ καρποὺς καὶ τὴν γονὴν τῶν θρεμμάτων ὁ ἀνὴρ λαμβάνει, πρότερον μέντοι πληρῶν τὰ πρωτότυπα καὶ ὑποβάλλων ἀντὶ τῶν τελευτώντων ἐκ τῶν ἐπιγινομένων. ἐὰν δὲ πρὸ τοῦ γάμου τελευτήσῃ τινὰ τῶν διατετιμημένων, ἡ γυνὴ ζημιοῦται [3].

4. Εἰ καὶ μὴ τῷ γαμβρῷ ἀλλὰ τῇ ἰδίᾳ θυγατρὶ παραδῷ ὁ πατὴρ πράγματα λόγῳ προικὸς αὐτῆς, καὶ εὑρεθῇ ἐν νομῇ

---

[3] Ecl. II, 13.

* Paris. 1384 addit τῆς. [1] Ecl. III, 1. (mutil.) [2] Ecl. III, 2.

[3] Proch. VIII, 1. 2.

αὐτῶν μετὰ θάνατον τοῦ πατρὸς, ἡ θυγάτηρ ἐννόμως κρατεῖ αὐτὰ ὡς προικιμαῖα [4].

5. Καὶ ὁ πατὴρ τοῦ ἀνδρὸς μέχρις εὐπορίας τῇ νύμφῃ καταδικάζεται. τάξιν γὰρ πατρὸς ὁ πενθερὸς ἔχει [5].

6. Ἐκεῖνος λαμβάνει τὴν προῖκα ὁ μέλλων ἔχειν τοὺς παῖδας ὑπεξουσίους, κἄντε πατὴρ κἄντε πάππος [6].

7. Ἐὰν ἡ γυνὴ παρὰ πολεμίοις ἐστὶν, οὐ δύναται ὁ ἀδελφὸς αὐτῆς ἀπαιτεῖν τὴν προῖκα· ἐὰν δὲ ἐτελεύτησεν, ὁ ἀδελφὸς αὐτῆς ἢ ἄλλος κληρονόμος δύναται ἀπαιτεῖν αὐτήν [7].

8. Ὁ ἀνὴρ τοὺς καρποὺς τῆς προικὸς λαμβάνει διὰ τὰ βάρη τοῦ γάμου. οἱ μέντοι πρὸ τοῦ γάμου καρποὶ τῆς προικὸς γίνονται, εἰ μὴ τοὐναντίον συνεφωνήθη [8].

9. Ἐὰν αὐτὸ τοῦτο τὸ πρᾶγμα τῆς προικὸς δοῦναι γράψῃ ὁ ἀνὴρ, ἡ γυνὴ ἀναλαμβάνει τὸ πρᾶγμα· εἰ δ' οὖν τὴν διατίμησιν, [ἐπιλογὴν ἔχει ὁ ἀνὴρ ἢ τὸ πρᾶγμα ἀποδοῦναι ἢ τὴν διατίμησιν] [9].

10. Μηδεὶς μυστικῶς στεφανούσθω, ἀλλὰ παρόντων πλειόνων. ὁ γὰρ τοῦτο κατατολμήσας ἐργάσασθαι σωφρονίζεται τιμωρούμενος [10].

11. Περὶ δωρεῶν μεταξὺ ἀνδρὸς καὶ γυναικός. — Μεταξὺ ἀνδρὸς καὶ γυναικὸς οὐκ ἔῤῥωται δωρεὰ διὰ τὸν ἔρωτα καὶ τὸ μὴ ἔχειν αὐτοὺς διαζυγίου πρόφασιν ἐκ τοῦ μὴ δωρεῖσθαι καὶ διὰ τὸ μὴ γίνεσθαι τὴν εὔπορον ἄπορον ἢ τὴν ἄπορον εὔπορον [11].

12. Ἐὰν ὁ ἀνὴρ δωρησάμενος τελευτήσῃ, ἐφ' οἷς ἡσύχασε, βεβαιοῦται τῇ * τελευτῇ αὐτοῦ ἡ δωρεά. ὡσαύτως καὶ ἐπὶ γυναικός [12].

13. Ὁ πενθερὸς τῷ γαμβρῷ καὶ τῇ νύμφῃ δωρεῖται· ὡσαύτως καὶ ἡ πενθερὰ ἑκατέρῳ προσώπῳ· ἀλλὰ καὶ ἡ νύμφη καὶ ὁ γαμβρὸς τῷ πενθερῷ καὶ τῇ πενθερᾷ, καὶ ἔῤῥωνται αἱ μεταξὺ αὐτῶν δωρεαί [13].

14. Εἰ μὲν μὴ ἔχων πρόθεσιν ὁ ἀνὴρ πωλῆσαι, πέπρακεν τῇ γυναικὶ διὰ τὸ δωρεῖσθαι αὐτῇ, ἄκυρος ἡ πρᾶσις· εἰ δὲ πωλῆσαι βουλόμενος ὀλίγου πέπρακεν, εἰς ὃ γέγονεν ἡ γυνὴ πλουσιωτέρα, ἀκυροῦται. τυχὸν γὰρ δοῦλον δεκαπέντε νομι-

[4] Dig. X, 2, 35. — Hactenus Paris. 1263. [5] Dig. XXIV, 3, 15 §. 2 sq. [6] Non invenio. [7] Cod. V, 18, 5. [8] Epan. XVIII, 3. [9] Epan. XVIII, 6. [10] Proch. IV, 27. [11] Proch. X, 1. * Hic rursus incipit Paris. 1720. [12] Epan. XX, 3. [13] Epan. XX, 6.

σμάτων ἄξιον ἐπώλησεν εἰς πέντε νομίσματα· τὰ πέντε δίδωσιν εἰς ὃ νῦν ἐστὶν εὐπορωτέρα [14].

ΤΙΤΛΟΣ ε'.

Περὶ δωρεῶν ἁπλῶν, καὶ ἀνατροπῆς αὐτῶν.

1. *Ἀγράφως ἁπλὴ δωρεὰ συνίσταται, ὅτε τὶς τῶν ἐντελῶν ὑπάρχων χρόνων ἐπὶ πέντε ἢ καὶ τριῶν μαρτύρων δωρήσηταί τινα τῶν ἰδίων πραγμάτων αὐτοῦ· πέντε μὲν καὶ ἑπτὰ μαρτύρων εἰς τόπους συνισταμένους καὶ εὑρισκομένων ἀνθρώπων, τριῶν δὲ εἰς τόπους ἐρήμους καὶ μὴ εὑρισκομένου τοῦ ἀριθμοῦ τῶν πέντε* [1].

2. *Ἐγγράφως ἁπλὴ δωρεὰ συνίσταται, ὅτε ὑπὸ τελείαν ἄγοντος ἡλικίαν συνταγῇ ἢ ὑπογραφῇ καὶ κατὰ τὸν προειρημένον τρόπον ἐπὶ πέντε καὶ τριῶν μαρτύρων ἐπὶ τοῦτο προσκληθέντων ἐγγράφως [μαρτυρηθῇ] καὶ ἀπολυθῇ* [2].

3. *Εἰ δέ τις ποιήσει δωρεὰν εἴς τινα πρὸς τὸ μετὰ τὴν τελευτὴν αὐτοῦ [τὰ] δωρηθέντα λαβεῖν πράγματα, καὶ ἀπεντεῦθεν ἤδη τὴν δεσποτείαν καὶ μόνον δωρήσηται αὐτῷ, καὶ τὴν τοιαύτην δωρεὰν ἐγγράφως γενέσθαι ἐπὶ πέντε καὶ τριῶν μαρτύρων* [3].

4. *Ἡ διὰ προσδοκίαν θανάτου δωρεὰ, ἤτοι μετὰ ἀποβίωσιν τοῦ δωρουμένου τὴν σύστασιν ἔχουσα, γίνεται καὶ αὐτὴ, ὡς ἀνωτέρω δεδήλωται, διά τε τοῦ δωρουμένου καὶ ε' ἢ γ' μαρτύρων ὑπογραφῆς συμπληρουμένη* [4].

5. *Εἰ δὲ καὶ αὐτὸς ὁ δωρούμενος διατάξηται ἐγγράφως ἐν τῇ αὐτῇ δωρεᾷ αὐτοῦ [μὴ] μεταμεληθῆναι ἢ διαστρέψαι τὴν τοιαύτην δωρεὰν, ταύτην εἶναι κεκυρωμένην, μόνον ἵνα δηλωθῇ ἡ διάταξις αὐτοῦ καὶ ἐν τῷ ὕφει καὶ ἐν τῇ ὑπογραφῇ αὐτοῦ* [5].

6. *Ἐμποδίζεται* [6] *ἡ δωρεὰ, ὅτε ὁ λαμβάνων κερδαίνει, καὶ ὁ δωρούμενος οἴκοθεν ζημιοῦται.*

7. *Ἐὰν δωρούμενος ἀποστείλω σοι καὶ πρινὴ δοθῆναί σοι ἀποθάνω, οὐ γίνεται σὸν, ἀλλὰ ἀνατρέπεται* [7].

---

[14] Proch. X, 5.

[1] Ecl. IV, 1. [2] Ecl. IV, 2. [3] Ecl. IV, 3. [4] Ecl. IV, 4. [5] Ecl. IV, 5. [6] Fontem non invenio. — Caeterum Paris. 1384 hanc §. rectius titulo praecedenti in fine inserit. [7] Proch. XII, 5.

8. Οὔτε ἄνηβος, οὔτε ἄνους δύναται δωρεῖσθαι· ἐν οὐδενὶ γὰρ ἐστὶν τούτων ἡ βούλησις [8].

9. Πᾶσα δωρεὰ ἀνατρέπεται διὰ τοιαύτας αἰτίας· ἐὰν ὁ τὴν δωρεὰν λαβὼν ἀχάριστος περὶ τὸν δωρησάμενον εὑρεθῇ, ἐὰν τραχείας ὕβρεις ἐπαγάγῃ αὐτῷ ἢ τύψῃ αὐτὸν, ἢ μεγίστην ζημίαν ἐπενέγκῃ αὐτῷ, ἢ ἐπιβουλεύσηται τῇ ζωῇ αὐτοῦ, ἢ τὰ συμφωνηθέντα ἐφ᾽ οἷς ἡ δωρεὰ ἐγγράφως ἐγένετο μὴ πληρώσῃ· μιᾶς γὰρ ἐκ τούτων τῶν αἰτιῶν ἐν δικαστηρίῳ ἀποδεικνυμένης, ὡς εἴρηται, ἀνατρέπεται [9].

ΤΙΤΛΟΣ ς΄.

Περὶ τῶν κεκωλυμένων διατίθεσθαι προσώπων· καὶ περὶ διαθηκῶν ἐγγράφων καὶ ἀγράφων.

1. Κεκώλυνται διατίθεσθαι οἱ ἐκ νοσήματός τινος ἐν παραφορᾷ ὄντες· καὶ οἱ ἀνήλικοι, οἱ μὲν ἄῤῥενες ἥττονες τῶν δεκαπέντε ἐτῶν, αἱ δὲ θήλειαι ἥττονες τῶν δεκατριῶν ἐτῶν· οἱ διὰ παντὸς μαινόμενοι. καὶ ὑπεξούσιοι, ἄνευ τῶν ἰδίων πραγμάτων, οὐ διατίθενται [1].

2. Τὸ πεκούλιον ἐν τοῖς ὑπεξουσίοις ὁρᾶται· ὅθεν τῶν πεκουλίων τὰ μὲν εἰσὶν ἰδιόκτητα, τὰ δὲ παγανικά. ἰδιόκτητα μὲν εἰσὶν, ὅσα ἰδικῶς τις ἐξ ἰδίου ἐπιτηδεύματος, ἢ στρατείας, ἢ ταξειδίων, ἢ βαθμοῦ τοῦ οἱουδήποτε ἢ κλήρου κέκτηται. παγανικὰ δὲ, ἅπερ παρὰ τῶν γονέων αὐτοῖς ὑπηρεσίας λόγῳ καὶ χρείας ἐδόθησαν, ἢ καὶ ἐκ τῶν δοθέντων ἐκτήθησαν [2].

3. Καὶ εἰς μὲν τὸ ἰδιόκτητον πεκούλιον ὁ ὑπεξούσιος διατίθεται, [εἰς δὲ τὸ παγανικὸν οὐ δύναται] [3].

4. Ἀγανακτήσας δὲ ὁ πατὴρ κατὰ τοῦ ὑπεξουσίου τὸ μὲν παγανικὸν πεκούλιον ἀφαιρεῖσθαι δύναται, τὸ δὲ ἰδιόκτητον οὐκέτι [4].

5. Οἱ δὲ ἐν αἰχμαλωσίᾳ ὄντες καὶ ὁ ἐκ γεννητῆς τυφλὸς καὶ ὁ ἄλαλος οὐ διατίθεται. οἱ δὲ ἔκ τινος ἀσθενείας τοιούτοις νοσήμασι περιπίπτοντες, γράμματα γινώσκοντες καὶ ὑπογράφοντες ἰδιοχείρως διατιθέσθωσαν [5].

---

[8] Proch. XIII, 2. [9] Ecl. IV, 6.

[1] Ecl. V, 1. [2] Proch. XXII, 1. [3] Proch. XXII, 2. [4] Proch. XXII, 3. — Cod. Paris. 1720 in margine adscriptum habet locum Ecl. XVI, 5. [5] Ecl. V, 1 rel.

6. Ἐγγράφως γίνεται διαθήκη, ἐν ἑνὶ καὶ τῷ αὐτῷ καιρῷ ὑπὸ ἑπτὰ ἀξιοπίστων μαρτύρων ἐν αὐτῇ ὑπογραφόντων καὶ σφραγιζόντων, τοῦ διατιθεμένου ὀφείλοντος διὰ τῆς ἰδίας ὑπογραφῆς ἢ διὰ χειροχρήστου τὸ ὄνομα τοῦ κληρονόμου ἐν αὐτῇ ὑποσημειώσασθαι, μὴ ἐμφαίνοντος τοῖς μάρτυσι, εἴ γε βούλεται, τὰ τῆς διατυπώσεως αὐτοῦ [6].

7. Ἀγράφως συνίσταται διαθήκη, ὅτε ἐπὶ ἑπτὰ μαρτύρων ὁ διατιθέμενος πεποίηται τὴν αὐτοῦ βούλησιν [7].

8. Εἰ δέ τις διατίθεται ἐν τόπῳ, ἐν ᾧ ἑπτὰ μάρτυρες μὴ εὑρίσκονται, ἐπὶ πέντε καὶ τριῶν διατιθέσθω καθ᾿ ἑαυτὸν καὶ ἐγγράφως καὶ ἀγράφως. εἰ δὲ καὶ παρὰ τῶν τριῶν εὑρεθῶσιν, ἄκυρον τοῦ διατιθεμένου ὑπάρχειν τὴν βούλησιν [8].

9. Εἰ δέ τις ἐν πολέμῳ πληγεὶς ἢ ἐν ὁδῷ περιπατῶν πρὸς τὸ θανεῖν ἐγγίσῃ καὶ βουληθῇ διατάξασθαι, καὶ μὴ εὑρεθῇ ἐπ᾿ αὐτοῖς νομικὸς ἢ ἕτερός τις ἐπιστάμενος γράμματα, διὰ ἑπτὰ μαρτύρων ἢ καὶ πέντε καὶ τριῶν τὴν οἰκείαν ποιείτω βούλησιν· ἐπεὶ καὶ δύο εὑρεθῶσιν, τῆς τούτων δηλονότι ὑπὸ ἀκροατῶν δοκιμαζομένης προλήψεως [9].

10. Τῆς δὲ διαθήκης καθὰ εἴρηται ἐντελῶς γινομένης, ἐὰν οἱ γονεῖς τὰ ἑαυτῶν τέκνα ἢ ἓν ἐξ αὐτῶν ἀμνημόνευτον ἐάσωσι, τηρείτωσαν οἱ ἀκροαταὶ, καὶ εἰ πολλάκις εὑρεθῶσιν ἐνυβρίσαντα τοὺς γονεῖς ἢ ἑτέραν πρόσπληξιν αὐτῶν ἐνεδείξαντο, μενέτω ἀπαρασάλευτος ἡ τῶν γονέων διατύπωσις· εἰ δὲ μετὰ τὴν τῆς διαθήκης ποίησιν ἐπιγεννηθῇ αὐτοῖς βρέφος ἢ βρέφη ἐγκυμονούμενα, αἱ μὲν ἐλευθερίαι καὶ τὰ λεγάτα κατὰ τὴν τῆς διαθήκης κρατείτωσαν δύναμιν, τὸ δὲ γεννώμενον εἰσερχέσθω τοῖς λοιποῖς ἀδελφοῖς, καὶ ἴσα κληρονομείτωσαν [10].

11. Ἐάν τις ἔχων γνήσιον τέκνον, καὶ πρόσπληξίν τινα αὐτοῖς ἐργάσηται καὶ ἐν τῷ γήρει ἀπρονοήτως ἐῶν αὐτοὺς, προσδραμὼν ἐξυπηρετήσει αὐτοῖς, ὡς ὑπ᾿ αὐτοῦ εὐεργετηθέντες κληρονόμον ἐγκαταλείπωσιν αὐτὸν τῆς οἰκείας ὑποστάσεως, [ἐῤῥωμένην αὐτῶν ὑπάρχειν τὴν βούλησιν] [11].

12. Πᾶς κληρονόμος, εἴτε ἐξ ἀγράφου ἢ ἐγγράφου διατυπώσεως, παρασυρμὸν ἢ καὶ ὑπέρθεσιν μέχρι ἐνιαυτοῦ ποιῶν καὶ τὰ τῆς βουλήσεως μὴ πληρῶν, εἰ μὲν τέκνον ἢ ἔγγονον τοῦ τελευτήσαντος ὑπάρχει, τὴν ἐποφειλομένην αὐτῷ νόμιμον μοῖραν κομιζέσθω καὶ μόνον. ἡ δὲ νόμιμος μοῖρα ἐστὶν ἕως τεσ-

---

[6] Ecl. V, 2. [7] Ecl. V, 3. [8] Ecl. V, 4. [9] Ecl. V, 8. [10] Ecl. V, 5.
[11] Ecl. V, 6.

σάρων παίδων τὸ τρίτον μέρος τῆς ὑποστάσεως, ἀπὸ δὲ πέντε καὶ τῶν ἄνω τὸ ἥμισυ. εἰ δὲ καὶ ἕτερος συγγενής ἐστιν, τῆς τοῦ διατιθεμένου παντελῶς ἐκπιπτέτω περιουσίας, καὶ εἰς τοὺς ἐαθέντας αὐτῷ συγκληρονόμους καὶ λεγαταρίους ταῦτα περιερχέσθωσαν [12].

13. Τὰ ἐξαδιαθέτως παραλειφθέντα παρὰ τῶν γονέων ἐξίσης μερίζονται. εἰ δὲ διαθήκη γέγονεν, λαμβάνει εἷς ἕκαστος, ἃ διετάξατο ὁ πατήρ [13].

14. Τὰ δωρηθέντα τοῖς ὑπεξουσίοις παισὶ ζῶντος τοῦ πατρὸς συνεισφέρονται ἐν τῇ κληρονομίᾳ τελευτῶντος αὐτοῦ, εἰ μὴ ἄρα ἐγγράφως ἢ ῥητῶς ἐκέλευσεν αὐτὰ μὴ συνεισφέρεσθαι τοῖς λοιποῖς [14].

15. Ἃ δὲ ἔχουσιν ἐν προικίοις ἢ ἐν προτιμαῖς ἢ ἐν δωρεαῖς συνεισφέρουσιν, ἐὰν οἱ λοιποὶ ἀδελφοὶ αὐτῶν οὐκ ἔχουσιν ὁπωσδήποτε τὸ νόμιμον μέρος παρὰ τοῦ κοινοῦ αὐτῶν γονέως· οἱ ἔχοντες ἀναπληροῦσιν τοὺς μὴ ἔχοντας τὸ ἴσον μέρος ἐξ ὧν ἔχουσιν ἔξωθεν [15].

16. Ἐὰν δὲ ὁ πατὴρ κατὰ φιλοτιμίαν ἐπιδῷ ἑνὶ τῶν παίδων εἰς χρῆσιν ἢ εἰς προῖκα πράγματα τῆς γυναικὸς αὐτοῦ, ἐκδικοῦσιν αὐτὰ ἐξίσης οἱ ἕτεροι.

17. Ὅσα κτᾶται ὁ υἱὸς μετὰ θάνατον τοῦ πατρὸς αὐτοῦ, ταῦτα ἴδια αὐτοῦ εἰσὶν ὡς ἐξ ἰδίων καμάτων αὐτοῦ λογιζόμενα, καὶ μοῖραν πρὸς αὐτὰ οἱ ἄλλοι ἀδελφοὶ οὐκ ἔχουσιν, οὐδὲ πρὸς τὸ οἱονδήποτε, ἀλλὰ μόνος αὐτὰ δικαίως κατέχει. ὡσαύτως καὶ ὅταν ὁ πατὴρ ἀφανὴς γένηται καὶ μηκέτι πρὸς τὰ τέκνα ἐπανακάμψῃ, αὐτεξούσιοι οἱ παῖδές εἰσιν, καὶ ὅσα ἕκαστος κτᾶται, ἑαυτῷ κτᾶται καὶ οὐχ ἑτέρῳ. τὰ δὲ ζῶντος τοῦ πατρὸς κτώμενα, καμνόντων καὶ μὴ καμνόντων κοινὸς ὁ βίος.

18. *Περὶ διαθήκης ἐπισκόπων καὶ μοναχῶν ἐγγράφως καὶ ἀγράφως.* — Ὅσα ἔσχεν ὁ ἐπίσκοπος πρὸ τῆς ἐπισκοπῆς δωρεῖται καὶ ἐκποιεῖ ὡς θέλει καὶ διατίθεται· ὅσα δὲ ἐκτήσατο μετὰ τὴν ἐπισκοπήν, τῇ ἐκκλησίᾳ αὐτοῦ διαφέρει καὶ οὐ διατίθεται εἰς αὐτά, εἰ μὴ ἄρα ἀπὸ γονέων ἢ ἀδελφῶν ἢ θείων αὐτοῦ εἰς αὐτὸν περιῆλθον [16].

19. Ὁ μέλλων εἰσιέναι ἐν μοναστηρίῳ διατίθεται τὰ καθ' ἑαυτὸν πρὸ τῆς εἰσόδου αὐτοῦ, ἐπεὶ προσκυροῦται τῷ μονα-

---

[12] Ecl. V, 7. [13] Haec sunt ex ἐρωταποκρίσει Theodori ad Cod. VI, 20, 2. Cf. Basil. ed. Heimb. IV p. 175. [14] Theod. Cod. VI, 20, 13. Cf. Basil. l. l. p. 177. [15] Haec sunt ex ἐρωταποκρίσει Theodori not. 13 laud. [16] Proch. XXIV, 1.

στηρίῳ πάντα τὰ αὐτοῦ, κἂν μὴ ῥητῶς φήσειεν εἰσάγειν αὐτά, καὶ οὐκέτι ἔσται κατ' οὐδένα τρόπον κύριος αὐτῶν [17].

20. Ὁ ἐπὶ παισὶ μονάσας δύναται καὶ μετὰ τὸ μονάσαι διελεῖν τὴν οὐσίαν αὐτοῦ τοῖς ἰδίοις παισὶ φυλάττων ἑαυτῷ ἓν μέρος, ὃ καὶ τῷ μοναστηρίῳ ἁρμόζει· ἐὰν δὲ ἀδιάθετος τελευτήσῃ, τότε οἱ παῖδες αὐτοῦ λήψονται τὸ ἐξ ἀδιαθέτου, τουτέστι τὸν φαλκίδιον, καὶ τὸ λοιπὸν δίδοται τῷ μοναστηρίῳ [18].

21. Ὁ ἀπὸ μοναστηρίου μετιὼν εἰς ἄλλο μοναστήριον ἐκπίπτει τῶν ἰδίων πραγμάτων μὴ προσδεχθείς [19].

22. Ἐὰν * ἀπελεύθερος ἀδιάθετος τελευτήσῃ, εἰ μὲν ὕπεστιν αὐτῷ παῖς συλληφθεὶς μετὰ τὴν ἐλευθερίαν, ἢ πρὸ τῆς ἐλευθερίας καὶ συνελευθερωθεὶς αὐτῷ, ἢ προελευθερωθείς, οὗτος κληθήσεται εἰς τὸν κλῆρον. τοῦ δὲ μὴ ὑπόντος, τὸν πάτρωνα κληρονομεῖν. εἰ δὲ διαθέμενος ἄπαις ὢν ἢ ἔχων παῖδας, καὶ μηδὲν καταλιπὼν τῷ πάτρωνι, τότε ὁ πάτρων τὸ τρίτον μέρος λήψεται [20].

23. Οὐ μόνον δὲ ὁ πάτρων καὶ ἡ πατρώνισσα καὶ οἱ τούτων κατιόντες κατὰ νόμον καλοῦνται ἐπὶ τοῦ ἀπελευθέρου κατὰ τὰ εἰρημένα, ἀλλὰ καὶ οἱ ἐκ πλαγίου αὐτῶν μέχρι πέμπτου βαθμοῦ [21].

24. Εἰ δὲ τοῦ αὐτοῦ πάτρωνος ἢ τῆς πατρωνίσσης ἢ δύο πατρώνων ἢ πατρωνισσῶν ἢ πλειόνων ὕπεισιν παῖδες, ὁ ἐγγύτερος τῷ βαθμῷ εἰς τὰ τοῦ ἀπελευθέρου κληθήσεται πράγματα. εἰ δὲ ἑνὸς πάτρωνος εἰσὶ δύο παῖδες, ἄλλου δὲ τρεῖς, εἰς πέντε μερισθήσεται ἡ κληρονομία. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἐκ πλαγίου [22].

25. Περὶ ἀνατροπῆς διαθήκης [23]. — Ἐὰν μετὰ τὴν ποίησιν τῆς διαθήκης ἢ τὸν θάνατον τοῦ διατιθεμένου υἱὸς τεχθῇ, ἢ υἱὸς θετὸς ἢ υἱὸς στρατιώτης οὐκ ἐμνημονεύθη ἐν τῇ διαθήκῃ· εἰ δευτέρα διαθήκη κατὰ νόμους γινομένη κληρονόμον ἕτερον εἰς ὡρισμένα πράγματα καταστήσει, μὴ βεβαιοῦσα τὰ τῆς πρώτης διαθήκης· εἰ θυγατέρα ἔχει ὑπεξουσίαν ἢ ἐκγόνους, καὶ οὐκ ἔγραψεν αὐτοὺς κληρονόμους· τότε ἡ μὲν διαθήκη ῥήγνυται τέλεον, αὐτοὶ δὲ τῇ κληρονομίᾳ ὑπεισέρχονται ἐκτὸς τῶν λεγάτων. καὶ εἰ μὲν εἰς ἐξωτικοὺς ἡ κληρονομία ἐγράφη τοὺς μὴ ὄντας συγγενεῖς, τότε τὸ ἥμισυ οἱ οἰκεῖοι

[17] Proch. eod. 2. [18] Proch. eod. 3. [19] Proch. eod. 4. * Paris. 1384 praemittit rubricam: *περὶ διαθήκης ἀπελευθέρων*. [20] Proch. XXIII, 2. [21] Proch. eod. 3. [22] Proch. eod. 4. [23] Sic Paris. 1384. Contra Paris. 1720: *περὶ διαθήκης ἀπελευθέρων*, quae rubrica §o 22 praeponenda erat.

λαμβάνουσιν· εἰ δὲ εἰς οἰκείους, ἐπίσης πάντες. τὰ γὰρ μὴ κατὰ νόμους γινόμενα ἐννόμως ἀνατρέπεσθαι δεῖ [24].

26. *Πᾶσα γὰρ διαθήκη νόμῳ μαχομένη ἀνατρέπεται* [25].

27. *Τῆς διατυπώσεως δύναμις μέχρι τοῦ ἐνιαυτοῦ ἐχέτω τὴν δύναμιν· εἰ δὲ συμβῇ αὐτὸν εἰς ἕτερον τόπον ἐλθεῖν καὶ τελευτῆσαι ἀδιάθετον, εἰ καὶ πλειστάκις χρόνοι εἰσὶν, ὡς μὴ δυνάμενος λαλῆσαι μήτε διαθήκην ποιῆσαι, μενέτω ἀπαρασάλευτος ἡ διαθήκη* [26].

28. *Ὁ ἄσωτος υἱὸς οὐ δύναται διατίθεσθαι οἵας ἡλικίας ἐστίν· οὗ γὰρ τῶν οἰκείων πραγμάτων ἡ διοίκησις ἀπαγορεύεται, οὐδαμῶς ὁ νόμος συγχωρεῖ διατίθεσθαι, πλὴν εἰ μήπω ἐπιστάντος αὐτῷ τοῦ θανάτου ὑπὲρ ψυχικῆς αὐτοῦ σωτηρίας τινὰ γενέσθαι διωρίσατο· ἐπ' ἐκείνῳ γὰρ καὶ μόνῳ τὴν βούλησιν αὐτοῦ ἰσχὺν ἔχειν θεσπίζομεν. ἡ δὲ πρὸ τῆς ἀσωτείας γενομένη διαθήκη, τουτέστιν πρὶν ἡ διοίκησις αὐτῷ τῶν πραγμάτων ἀπαγορευθῇ, βεβαία μένει. ἐπεὶ μέντοιγε ἐπὶ μετάνοιαν ἔλθῃ ὡς καταγνοὺς τοῦ προτέρου βίου, καὶ οὕτως διατίθεται* [27].

ΤΙΤΛΟΣ ζ'.

Περὶ στρατιωτικῶν ἰδιοκτήτων πραγμάτων.

1. *Στρατιωτικὰ πεκούλια εἰσὶν ἰδιόκτητα πράγματα, ἅπερ οἱ στρατιῶται ὑπεξούσιοι ὄντες πατρὶ καὶ πάππῳ ἐκ τοῦ στρατιωτικοῦ τάγματος ἐπικτήσονται· εἰς ἃ διατίθεσθαι δύνανται καὶ ἐν σεδέτοις διάγοντες, δηλονότι μετὰ τῆς προαναφερομένης περὶ τῶν ἐντελῶν διαθηκῶν παρατηρήσεως. δαπανωμένου διὰ τῆς βουλήσεως αὐτῶν τοῦ τοιούτου πεκουλίου ἰδιοκτήτου πράγματος μὴ δύνασθαι τοὺς κληρονόμους αὐτῶν ἐξ αὐτοῦ τὴν νόμιμον μοῖραν ἀπαιτεῖν, ἀλλ' ἐν ἐξουσίᾳ αὐτοῦ εἶναι, τὸ τοιοῦτον δωρεῖσθαι καὶ καταλιμπάνειν ὡς ἰδιόκτητον πρᾶγμα* [1].

2. *Εἰ δὲ καὶ καταλειφθῶσιν ἀδελφοὶ μετὰ τελευτὴν τῶν γονέων αὐτῶν, καί τις ἐξ αὐτῶν στρατευθῇ καὶ οἱ ἕτεροι*

---

[24] Proch. XXV, 2. 3. [25] Cf. Novell. Impp. post Justinian. a me editas p. 226. [26] Cf. Dig. XXIX, 1, 38 §. 1. [27] Epan. XXX, 5.

[1] Ecl. XVI, 1.

μείνωσιν ἐν τῷ οἴκῳ, εἰ μὲν σύμφωνα ποιήσωσιν μετ' ἀλλήλων, κρατείτωσαν τὰ σύμφωνα. εἰ δὲ ἀστοιχήτως τοῦτο ποίησωσι, καὶ μέχρι δεκαετίας τοῦ στρατευθῆναι ἕνα ἐξ αὐτῶν συζήσωσι, πάντα τὰ ἐπικτηθέντα αὐτοῖς, εἴτε ἀπὸ ῥόγας εἴτε ἀπὸ καμάτου τοῦ κοινοῦ αὐτῶν οἴκου καὶ σπουδῆς τῶν ἐν τῷ οἴκῳ μεινάντων ἀδελφῶν, πάντες ἐξ ἴσης κομιζέσθωσαν. μετὰ δὲ τὴν δεκαετίαν ἕως ἑτέρων τριῶν χρόνων συζώντων αὐτῶν μετ' ἀλλήλων, καὶ συμβῇ αὐτοὺς ἀπ' ἀλλήλων διαιρεθῆναι, ἐπαίρειν τὸν στρατιώτην ἐξαιρέτως τὸν ἵππον αὐτοῦ σὺν τοῦ σελλοχαλίνου καὶ τοῦ ἅρματος, καὶ ἐὰν ὡς εἰκὸς ἐπεκτήσατο λωρίκιον καὶ μόνον· τὰ δὲ λοιπὰ πάντα μεριζέσθωσαν ἀδελφικῶς [2].

3. Κληρικοὶ δὲ καὶ χαρτουλάριοι ἐκ γονικῆς ὑποστάσεως στρατευόμενοι, εἰ μὲν τελευτῶντες οἱ γονεῖς αὐτῶν δι' ἀγάπην καὶ εὐχαριστίας τὸ δοθὲν ὑπὲρ τῆς τούτων στρατείας θελήσωσι τῷ στρατευθέντι ἀποχαρίσασθαι, κυρούσθω τούτων ἡ βούλησις. εἰ δὲ μηδὲν περὶ τούτου εἰπόντες τελευτήσωσι καὶ τὴν περὶ τῆς τοιαύτης ποσότητος ποιήσουσι κίνησιν τῷ στρατευθέντι οἱ συγκληρονόμοι, καὶ τὸ περιττεῦον ἐκ τῆς δοθείσης ποσότητος εἰς τὸ τοιοῦτον στράτευμα συνεισφέρεται τῇ λοιπῇ ὑποστάσει καὶ συνδιαιρεῖται. εἰ δὲ ὡς εἰκὸς ἐπληρώθη διὰ τοῦ τοιούτου στρατεύματος ἡ δοθεῖσα ποσότης, μὴ ἔχειν ἄδειαν τοὺς κληρονόμους ἐπιζητεῖν ἕνεκεν τῆς γενομένης ἐξόδου ὑπὲρ αὐτοῦ τὸ εἰτιοῦν διὰ τὸ [ὡς εἴρηται ἀντεισαγωγὴν ἐκ τοῦ τοιούτου στρατεύματος γενέσθαι] [3].

4. Ἐπὶ δὲ τῶν λοιπῶν στρατευομένων ὅσα ἐκ βασιλικῆς ῥόγας ἀννόνων τε καὶ σολεμνίων τούτοις προσενομίσθησαν, τουτέστιν ἀξιωματικοῖς καὶ λοιποῖς ἅπασι κομιζομένοις [ἀπὸ βασιλικῆς χειρὸς ῥόγας] ἢ καὶ ἀπὸ δημοσίου ἀννόνας καὶ συνηθείας, οὗτοι πάντες ἐπὶ τοῖς τοιούτοις πεκουλίοις διατιθέμενοι, παῖδας μὲν ἔχοντες μέχρι τεσσάρων τὸν ἀριθμὸν, τὴν νόμιμον ἤγουν τρίτην μοῖραν τοῦ αὐτοῦ πεκουλίου καταλιμπανέτωσαν· εἰ δὲ καὶ πέντε καὶ ἐπέκεινα, τὸ ἥμισυ μέρος [4].

---

[2] Ecl. XVI, 2. [3] Ecl. XVI, 3. [4] Ecl. XVI, 4. — Cf. tit. VI not. 4.

ΤΙΤΛΟΣ η'.

Περὶ τῶν ἐξ ἀδιαθέτου κληρονομιῶν, καὶ περὶ λεγάτων, καὶ περὶ κληρονόμων ἀμφιθαλῶν [καὶ περὶ] τοῦ ια μηνός.

1. Ἐάν τις ἀδιάθετος τελευτήσει, καὶ ὕπεισιν αὐτῷ τέκνα ἢ ἔγγονα, ταῦτα κληρονομείτωσαν. εἰ δὲ ὑπάρχει τῷ τελευτήσαντι πατὴρ καὶ μήτηρ, πάππος καὶ μάμμη, ἢ καὶ ἐπέκεινα, οὗτοι κληρονομεῖν τέκνων καὶ ἐγγόνων ὑπόντων οὐ δύνανται [1].

2. Εἰ δὲ καὶ τέκνα οὐκ εἰσὶ οὔτε ἔγγονα, εἰσὶ δὲ πατὴρ καὶ μήτηρ, πάππος καὶ μάμμη, οἱ ἐγγύτεροι κληρονομείτωσαν [2].

3. Ἐὰν υἱὸς ἢ θυγάτηρ τῶν γονέων ζώντων τελευτήσωσιν ἄτεκνοι καὶ ἀδιάθετοι, ἀδελφοὺς καὶ ἀδελφὰς ὁμοπατρίους καὶ ὁμομητρίους ἔχοντες, τὴν τούτων κληρονομίαν εἰς τοὺς γονεῖς ἐπανάγεσθαι καὶ μὴ ἔχειν τὰ ἀδέλφια περὶ τούτου τὶ λέγειν. εἰ δὲ γονεῖς οὐχ ὕπεισιν, ἔστιν δὲ πάππος καὶ μάμμη, ἅμα τοῖς ὁμοπατρίοις [καὶ ὁμομητρίοις] ἀδελφοῖς κληρονομείτωσαν [3].

4. Εἰ δὲ οὔτε πάππος οὔτε μάμμη οὔτε [ὁμοπάτριοι καὶ ὁμομήτριοι] ἀδελφοὶ ὕπεισι τῷ τελευτήσαντι, τότε οἱ ἐξ ἑνὸς γονέως ἀδελφοὶ τῇ κληρονομίᾳ εἰσερχέσθωσαν [4].

5. Εἰ δὲ καθὰ εἴρηται οὐκ εἰσὶν ἀδελφοὶ, εἰσὶ δὲ συγγενεῖς, οἱ ἐγγύτεροι κληρονομείτωσαν [5].

6. Εἰ δὲ οὔτε συγγενεῖς εἰσὶν, ἔστιν δὲ γυνὴ τοῦ τελευτήσαντος, τὸ μὲν ἥμισυ μέρος ἁπάσης αὐτοῦ τῆς περιουσίας ἐκείνη κληρονομείτω, τὸ δὲ ἕτερον ἥμισυ μέρος τῷ δημοσίῳ κομιζέσθω. ὁμοίως καὶ ὁ ἀνὴρ ἀπὸ τῆς περιουσίας τῆς γυναικὸς κατὰ τὸ ἥμισυ κληρονομείτω. εἰ δὲ οὔτε γυνὴ οὔτε ἀνὴρ τῷ τελευτήσαντι προσώπῳ ὕπεστιν, τότε τὴν ἅπασαν περιουσίαν ὡς ἀκληρονόμητον τὸ δημόσιον εἰσκομίζεται [6].

7. Διατιθεμένων γὰρ τῶν τοιούτων προσώπων τῶν μὴ ὑπόντων τινὰ πρὸς διαδοχὴν, τὸ μὲν ἥμισυ μέρος τῆς αὐτῶν περιουσίας διατίθενται ὅπου δ' ἂν βούλονται, τὸ δὲ ἕτερον ἥμισυ μέρος τῷ εὐσεβεῖ βασιλικῷ σακελλίῳ καταλιμπάνεται [7].

8. Περὶ κληρονόμων ἀμφιθαλῶν. — Οἱ κατιόντες, κἂν ἄῤῥενες κἂν θήλειαι ὦσιν, προτιμῶνται τῶν ἀνιόντων καὶ τῶν ἐκ πλαγίου [8].

---

[1] Ecl. VI, 1. [2] Ecl. VI, 2. [3] Ecl. VI, 3. [4] Ecl. VI, 4. [5] Ecl. VI, 5. [6] Ecl. VI, 6. [7] Cf. Ecl. priv. aucta VII, 2. [8] Proch. XXX, 2.

9. Ἐὰν πάππος τελευτήσῃ ἐπὶ υἱῷ καὶ ἐγγόνοις ἀπὸ ἄλλου παιδὸς, οἱ ἔγγονοι ἅμα τῷ υἱῷ τουτέστιν τῷ ἰδίῳ θείῳ κληρονομοῦσιν αὐτὸν, λαμβάνοντες εἴ τι ἤμελλε λαμβάνειν ὁ πατὴρ αὐτῶν [9].

10. Κατιόντων δὲ μὴ ὑπόντων, προσκαλοῦνται οἱ ἀνιόντες τῶν ἐκ πλαγίου πάντων [10].

11. Οἱ ἀμφιθαλεῖς ἀδελφοὶ καὶ ἀδελφαὶ καὶ ἀνιόντες ὁμοῦ καλοῦνται ἐξίσης, καὶ οὐδὲ προσπορίζουσι τοῖς γονεῦσιν αὐτῶν οἱ ἀδελφοὶ τὴν χρῆσιν τοῦ ἁρμόσαντος αὐτοῖς μέρους ἐκ κληρονομίας τοῦ ἰδίου ἀδελφοῦ, κἂν αὐτεξούσιος κἂν ὑπεξούσιος ἦν [11].

12. Ἀνιόντων ὑπόντων τοῦ τελευτήσαντος καὶ ἀδελφῶν γνησίων καὶ παίδων ἀδελφοῦ ἀμφιθαλοῦς προτελευτήσαντος, πάντες καλοῦνται εἰς τὴν αὐτοῦ διαδοχήν. οἱ γὰρ ἀδελφόπαιδες ὑπεισέρχονται εἰς τὸ πρόσωπον τοῦ ἰδίου πατρὸς καὶ λαμβάνουσιν εἴ τι ἤμελλεν λαμβάνειν ὁ πατὴρ αὐτῶν [12].

13. Οἱ ἐκ τῶν αὐτῶν γονέων φύντες ἀδελφοὶ πρώτην ἔχουσι τάξιν εἰς τὸ κληρονομῆσαι τὸν ἴδιον ἀδελφὸν, ἄλλων ἀδελφῶν προκειμένων μὴ ὄντων ἀμφιθαλῶν. πλὴν εἰ ὕπεισι παῖδες ἑτέρου ἀδελφοῦ αὐτῶν ὁμοπατρίου καὶ ὁμομητρίου, κακεῖνοι ὁμοῦ καλοῦνται, τουτέστιν οἱ ἀδελφοὶ καὶ οἱ παῖδες τοῦ ἀμφιθαλοῦς ἀδελφοῦ [εἰς τὰ τοῦ τελευτῶντος] αὐτῶν μὲν ἀδελφοῦ, ἐκείνων δὲ θείου. εἰ δὲ μὴ ὕπεισιν ἀδελφοὶ ἢ παῖδες ἀδελφῶν τοιούτων, τότε οἱ ἐκ διαφόρων γονέων φύντες ἀδελφοὶ κληρονομοῦσι τὸν ἀποθανόντα ἑτεροθαλῆ ἀδελφόν [13].

14. Γενικῶς οὖν χρὴ εἰδέναι, ὅτι γονέων καὶ [ἀδελφῶν καὶ] ἀδελφοπαίδων ὑπόντων τῷ τελευτήσαντι, ἀποκλείονται οἱ ἀδελφόπαιδες· μὴ ὄντων δὲ γονέων, μετὰ τῶν θείων κληρονομοῦσι προτιμώμενοι καὶ αὐτῶν τῶν θείων, εἰ ἐκεῖνοι μὲν ἐξ ἑνὸς πλεύρου συνάπτονται τῷ τελευτήσαντι, οὗτοι δὲ ἑκάτερα πρὸς αὐτὸν προΐσχονται δίκαια· καὶ ὅτε θεῖος ἢ θεία ὕπεστιν τῷ τελευτήσαντι, καὶ τούτων προτιμᾶται ὁ τούτων τεκνάδελφος . . . οἱ προσεχέστεροι καλείσθωσαν συγγενεῖς· ἵν κάπιτα διαιρούμενοι τὴν κληρονομίαν [14].

15. Ἐάν τις τελευτῶν ὁρίσῃ λεγάτα, μετὰ τὴν πρόσφορον προδήλως ἔξοδον, ταῦτα διδόσθωσαν, καὶ μὴ ἔχειν ἄδειαν τὸν

---

[9] Proch. eod. 4. [10] Proch. eod. 5. [11] Proch. eod. 6. [12] Proch. eod. 7. [13] Proch. eod. 8. [14] Athanas. IX, 10. Verba τὴν κληρ. Paris. 1720 non habet.

κληρονόμον, εἰς ἑτέραν πρόφασιν τὸ ἐαθὲν λεγάτον ἐξοδιάζειν, ἀλλὰ τοῦτο ἀποκαθιστᾶν τῷ λεγατευθέντι [15].

16. Ἐὰν ὁ κληρονόμος εἴδησιν τῆς ἐγκαταλιμπανομένης αὐτῷ ὑποστάσεως ἔχει, καὶ οἶδεν χρέη προηγεῖσθαι, ἐπὶ ἀξιοπίστων μαρτύρων τὴν τοιαύτην ἀναγραφέσθω ὑπόστασιν, καὶ φανερούσθω ταύτης ἡ δύναμις· καὶ πρῶτον μὲν πληρούσθωσαν οἱ χρεωφειλέται, καὶ εἶθ' οὕτως τὸ περιττεῦον ἐχέτω ὁ κληρονόμος [16].

17. Εἰ δὲ αὐθαδῶς καὶ ὡς ἔτυχεν ὑπεισερχόμενος τῆς αὐτῆς ἐφάψηται ὑποστάσεως, καὶ φανῇ μερικῶς τινα τῶν χρεῶν ἀποδιδοὺς, ὑποκείσθω πληροῦν καὶ τοὺς λοιποὺς, ὡς διὰ προσφόρου ἀναγραφῆς τῆς τοιαύτης ὑποστάσεως μὴ γνωρίσας κατάληψιν [17].

18. Εἰ δὲ ἐσχάτως ἀναφυῶσι τὰ χρέη, τοῦ κληρονόμου τὴν περὶ τούτων ἄγνοιαν κεκτημένου, διὰ μαρτύρων ἢ διὰ ὅρκου τὸ εὑρεθὲν τῇ ὑποστάσει καὶ περιελθὸν εἰς αὐτὸν παριστᾶν αὐτὸν, καὶ πρὸς αὐτὸ ἀποκοπτέτω μετὰ τῶν χρεωφειλετῶν αὐτοῦ [18].

19. Ἐὰν κληρονόμος ἢ λεγατάριος οἱοσδήποτε φανῇ ἀποκρύψας τὴν καταλειφθεῖσαν αὐτῷ διαθήκην, καὶ ἐν ὑστέροις αὕτη παρ' αὐτῷ εὑρεθῇ, ἐκπιπτέτω ὁ μὲν κληρονόμος τῆς κληρονομίας, ὁ δὲ λεγατάριος τοῦ λεγάτου [19].

20. Εἰ δέ τις τελευτῶν τῷ οἰκείῳ κληρονόμῳ ἀγράφως καὶ χωρὶς μαρτύρων τὴν ἰδίαν καταλείψει ὑπόστασιν, καὶ τὴν ταύτης ἐκείνῳ ἐντελεῖται διοίκησιν, καὶ ἀναφυῇ τις ἐγκαλῶν λεγάτον ἑαυτῷ ἐαθῆναι παρὰ τοῦ τελευτήσαντος, παραστῆσαι δὲ διὰ μαρτύρων ἢ καὶ ἑτέρως πως μετὰ ἀληθείας [οὐ δύναται], διδόσθω τῷ λόγῳ τοῦ κληρονόμου [20].

21. Περὶ τοῦ ια μηνός. — Ἐὰν μετὰ τὴν τελευτὴν τοῦ ἀνδρὸς περὶ τὸν ια μῆνα ἡ γυνὴ τέκῃ, ἐκ πορνείας ἐστὶ τὸ γεννώμενον· ἐκπιπτέτω τῆς προικὸς καὶ ἁπάσης τῆς ἀνδρῴας ὑποστάσεως [21].

22. Μέχρι τῶν ἐννάτων τοῦ τελευτήσαντος, ἐν οἷς δεῖ πενθεῖν, τὸ ἀνενόχλητον ἔχουσι οἱ τοῦ τελευτῶντος κληρονόμοι καὶ οἱ παῖδες καὶ οἱ συγγενεῖς καὶ ἡ γαμετὴ, καὶ μηδεὶς καθ' οἱονδήποτε τρόπον παρενοχλήσει περὶ ἐγγυῶν ἢ χρεῶν εἴτε ἄλλης οἱασοῦν αἰτίας· εἰ δὲ καὶ τολμήσει τὶς κρατῆσαι ἢ

---

[15] Ecl. VI, 7. [16] Ecl. VI, 8. [17] Ecl. VI, 9. [18] Ecl. VI, 10. [19] Ecl. VI, 11. [20] Ecl. VI, 12. [21] Nov. 39 c. 2.

ἐγγύην [κομίσασθαι παρὰ] τῶν εἰρημένων προσώπων, ταῦτα πάντα ἀνίσχυρα θεσπίζομεν [22].

23. Μετὰ δὲ τὴν τῶν ἐννάτων παραδρομὴν εἴ τις κατὰ τῶν τοιούτων προσώπων ἔχει τὶ, γυμνάζεται [23].

24. Φαλκίδιός * ἐστι μέχρι μὲν τεσσάρων παίδων τὸ τρίτον μέρος τῆς καθαρᾶς ὑποστάσεως, πλειόνων δὲ ὄντων τῶν παίδων τὸ ἥμισυ· ἐν τούτῳ οὖν τῷ εἰρημένῳ τρίτῳ ἢ τῷ ἡμίσει μέρει ὑπεισέρχονται ὅσοι ἂν ὁρισθῶσιν πρὸς φαλκίδιον, μετὰ τῶν τὴν λοιπὴν ὑπόστασιν μετὰ τελευταίαν διάταξιν κληρονομούντων [24].

25. Ἔξεστιν λεγατεύειν μέχρι τοῦ ὀκταουγγίου· τὸ γὰρ τετραούγγιον, τουτέστιν τὸ τρίτον μέρος τῆς οὐσίας, τῷ κληρονόμῳ φυλάττεται [25].

26. Ἐπὶ τοῦ φαλκιδίου δεῖ ἐξαιρεθῆναι τὰ ἐποφληθέντα ὑπὸ τοῦ τελευτήσαντος, καὶ τὴν περὶ τὴν κηδείαν δαπάνην καὶ τὰ τιμήματα τῶν ἐλευθερωθέντων οἰκετῶν· καὶ τὸ ὑπόλοιπον σκοπεῖν δεῖ πόσον ἐστίν. τοῦτο γὰρ νομίζεται εἶναι καθαρὰ οὐσία καὶ ταύτης τὸ τρίτον παρακατέχεται [26].

27. Περὶ ἀποκλήρων. — Ἐκπίπτουσι τῆς νόμου κληρονομίας δι' ἀχαριστίας οἱ παῖδες, ἐὰν τοὺς ἰδίους τύψωσι γονεῖς, ἐὰν βαρέως αὐτοὺς ὑβρίσωσι, ἢ εἰς ἔγκλημα κατηγορήσωσι αὐτοὺς, ἢ καὶ συκοφαντήσωσι, ἐὰν φαρμάκοις ὡς φάρμακοι συναναστρέφονται, ἐὰν ἐπιβουλεύσωσιν οἱῳδήποτε τρόπῳ τῇ ζωῇ αὐτῶν, ἐὰν τῇ μητρυιᾷ ἢ τῇ παλλακῇ τοῦ πατρὸς αὐτῶν σωματικῶς τις ἐξ αὐτῶν ἐπιμιγῇ, ἐὰν τοὺς γονεῖς φυλακιζομένους οἱ ἄῤῥενες παῖδες προτραπέντες μὴ ἀντιφωνήσωσιν, ἐὰν ἡ θυγάτηρ μὴ ἕληται νομίμως ζευχθῆναι ἀνδρὶ βουλομένων τῶν γονέων ἀλλ' αἰσχρῶς διάγειν, ἐὰν μαινομένων τῶν γονέων, ἢ ἐν ἀσθενείᾳ χρονίᾳ κατακειμένων αὐτῶν, ἢ ἐν γήρει καὶ ἀδυναμίᾳ καταντησάντων μὴ ἐλεῶνται οἱ παῖδες ἀντιλαμβάνεσθαι αὐτῶν [27].

28. Ἢ καὶ κωλύσουσιν τοὺς γονεῖς διατίθεσθαι [28].

29. Ἐὰν τῇ ἰδίᾳ μητρυιᾷ, ἢ τῇ τοῦ πατρὸς παλλακῇ ὁ υἱὸς αὐτὸν μίξῃ [29].

30. Θεσπίζομεν τοίνυν μὴ ἐξεῖναι τοῖς παισὶ τοὺς ἰδίους γονεῖς ἀποκλήρους καταλιμπάνειν, ἢ καθ' οἱονδήποτε τρόπον τῶν ἰδίων πραγμάτων, ἐν οἷς διατίθεσθαι ἐξουσίαν ἔχουσιν,

---

[22] Proch. XXXVII, 1. 2. [23] Proch. ib. 3. * Paris. 1384 inscribit: περὶ φαλκιδίου. [24] Proch. XXXII, 1. [25] Proch. eod. 2. [26] Proch. eod. 3. [27] Ecl. VI, 13. [28] Proch. XXXIII, 6 pr. [29] Proch. eod. 2.

τούτους παντελῶς ἀλλοτρίους ποιεῖσθαι, εἰ μὴ τὰς αἰτίας, ἃς ἀριθμοῦμεν, ἐν ταῖς ἰδίαις ἰδικῶς ἐγγράψοιεν διαθήκαις [30].

ΤΙΤΛΟΣ θ'.

Περὶ κουρατόρων καὶ ἐπιτρόπων ὀρφανικῶν *.

1. *Ἐὰν ὀρφανοὶ καταλειφθῶσιν καὶ νήπιοι, καὶ ὕπεστιν τούτοις ὑπόστασις, εἰ μὲν οἱ γονεῖς αὐτῶν τελευτῶντες ἐγγράφως διώρισαν, φυλαττέσθω τούτων ἡ βούλησις. εἰ δὲ καὶ μή, οἱ εὐαγεῖς οἶκοι τῆς τούτων κουρατωρείας ἐχέτωσαν, ἐν μὲν τῇ θεοφυλάκτῳ πόλει τὸ ὀρφανοτροφεῖον καὶ οἱ λοιποὶ εὐαγεῖς οἶκοι, ἐν δὲ ταῖς ἐπαρχίαις τὰ ἐπισκοπεῖα καὶ τὰ μοναστήρια, μέχρις ὅτου πρὸς γάμου κῆραν καταντῶντες οἱ κληρονόμοι ζευχθήσονται. εἰ δὲ πρὸς γάμον οἱ τοιοῦτοι ἐλθεῖν οὐ βούλονται, μέχρι εἰκοσαετοῦς χρόνου τοὺς αὐτοὺς εὐαγεῖς οἴκους καὶ τὰ μοναστήρια καὶ τὰ ἐπισκοπεῖα τὰς τοιαύτας ὑποστάσεις παραφυλάττειν, καὶ εἶθ' οὕτως ἀνελλιπῶς τοῖς εἰρημένοις κληρονόμοις ταῦτα ἀποδιδόναι. οὐ γάρ ἐστιν ἀρεστὸν τῷ θεῷ τοῦ καθάπερ μέχρι τοῦ νῦν κουράτορας ἑτέρους προβλήσκεσθαι καὶ τὰ τῶν ὀρφανῶν κατεσθίειν, κἀκεῖνα προσαιτεῖν. οἱ γὰρ αὐτοὶ εὐαγεῖς οἶκοι καὶ ἐκκλησίαι τοῦ θεοῦ, οἱ καὶ τῶν ἀλλοτρίων προϊστάμενοι καὶ τοὺς ξένους ὡς ἰδίους κατὰ τὴν ἐντολὴν τοῦ θεοῦ ξενοδοχοῦντες καὶ ὑποδεχόμενοι, πολλῷ πλέον τὰ τῶν ὀρφανῶν φυλάξουσι καὶ τούτων τὴν ἀποκατάστασιν καιρῷ ἰδίῳ ποιήσουσιν* [1].

2. *Περὶ ὀρφανῶν πραγμάτων.* — *Τὰ ὀρφανικὰ πράγματα οὐ πωλοῦνται οὔτε ἀντικαταλλάσσονται οὔτε δωροῦνται οὔτε εἰς διάλυσιν δίδονται, δηλονότι χωρὶς δεκρέτου* [2].

3. *Ἄκων οὐ κουρατωρεύει* [3].

4. *Περὶ ἐπιτρόπων.* — *Ὁ ἐπίτροπος καὶ μὴ θέλων ἐπιτροπεύει* [4].

---

[30] Proch. XXXIII, 18.

* Paris. 1384: *περὶ κουρατόρων ὀρφανῶν.* [1] Ecl. VII, 1. [2] Theod. Cod. V, 71, 4. Vide Bas. ed. Heimb. III p. 765. Epit. XVI, 76. [3] Legerim: *οὐδεὶς κουρατορεύεται.* Theoph. Inst. I, 23, 2. Sed vide notam seq. [4] Forte §. 3 et 4 jungendae: *ἄκων οὐ κουρ. ὁ ἐπίτρ., κἂν μὴ θέλων ἐπιτρ.* Cf. Cod. V, 62, 20.

5. Ὁ μὴ αἰτῶν ἐπίτροπον τοῖς παισὶν αὐτοῦ, ἀνάξιός ἐστιν τῆς ἐκείνων διαδοχῆς [5].

6. Ὁ γενόμενος ἐπίτροπος οὐ δύναται γαμεῖν τὴν ὀρφανὴν ἢ ἀνήλικον, οὔτε παῖδας αὐτοῦ ζευγνύναι [6].

7. Οὔτε ὁ πατὴρ τοῦ ἐπιτρόπου οὔτε ὁ ἀδελφὸς αὐτοῦ δύναται γαμεῖν τὴν ὀρφανήν [7]·

8. Οὔτε ὁ θετὸς υἱὸς τὴν τοῦ πατρὸς μητέρα ἢ τὴν ἀδελφὴν αὐτῆς ἢ τὴν ἐγγόνην [8].

9. Οὔτε πάλιν ἡ γυνὴ γαμεῖται ὑπὸ τοῦ ἰδίου πάτρωνος, κἂν ἀποδῷ τοὺς λόγους [9].

10. Εἰ δὲ πληρώσει ἡ ὀρφανὴ τοὺς εἰκοσιπέντε ἐνιαυτοὺς καὶ δώσει τοὺς λόγους ο ἐπίτροπος, οὕτως δύναται αὐτὴν γαμεῖν [10].

ΤΙΤΛΟΣ ι'.

Περὶ ἐλευθεριῶν [1].

1. Ἐπιτίθεται οἰκέτῃ ἐλευθερία, ὁπόταν παρὰ τοῦ ἰδίου κυρίου δημοσιευθῇ ἐν ἐκκλησίᾳ εἴτε ἐπὶ ἑπτὰ ἢ πέντε ἢ καὶ τριῶν φίλων ἐπὶ τοῦτο προσκληθέντων καὶ ἀπογραφομένων ἐπὶ πράξεως ὑπομνημάτων τὴν οἰκείαν εἴδησιν, εἴτε δι' ἐπιστολῆς τοῦ κυρίου αὐτοῦ πέντε μαρτύρων ἢ καὶ τριῶν ὡς εἴρηται ὑπογραφὰς ἐπὶ τοῦτο ἐχούσης· ἢ ἐν διαθήκῃ ἐγγραφομένη οἰκέτῃ δίδοται [2].

2. Ἀλλὰ καὶ ὅταν βουλήσει τοῦ τελευτήσαντος ἢ καὶ παραχωρήσει τοῦ κληρονόμου ὁ οἰκέτης ἐν τῇ κεφαλῇ πάννην φορέσας τῇ τοῦ τελευτήσαντος κηδείᾳ ἐπακολουθήσῃ [3].

3. Ἐὰν ὁ κύριος τὸν ὑποκείμενον αὐτοῦ δοῦλον ἐλευθέρῳ ζεύξῃ προσώπῳ [4].

4. Ἢ πάλιν ἐὰν ὁ κύριος αὐτοῦ ἢ ἡ τούτου κυρία ἢ τὰ αὐτῶν τέκνα, εἰδήσει καὶ ἐπιτροπῇ τῶν γονέων, ἐκ τοῦ ἁγίου καὶ σωτηριώδους βαπτίσματος ἀναδέξωνται [5].

---

[5] Dig. XXVI, 6, 2 §. 1. Cod. VI, 58, 10. [6] Dig. XXIII, 1, 15. Epit. XX, 12. [7] Proch. VII, 21. [8] Proch. VII, 19. [9] Proch. VII, 20. [10] Proch. ibid. (edit. not. 21.) — Paris. 1384 hoc loco intrudit, quae supra habes tit. IV §. 3.

[1] Hic titulus in Leunclavii JGR. integer editus est tamquam tit. XX. [2] Ecl. VIII, 1. [3] Ecl. VIII, 2. [4] Ecl. VIII, 3. [5] Ecl. VIII, 4.

5. Ἐὰν εἰδήσει καὶ βουλῇ τῶν κυρίων αὐτῶν κληρικοὶ ἢ μοναχοὶ γένωνται. αἱ δὲ εἰρημέναι ἐλευθερίαι ἀπεντεῦθεν ἤδη καὶ ὑπὸ ὅρον [παρὰ] τῶν κυρίων αὐτῶν δίδονται [6].

6. Εἰ δέ τις ἐκ τούτων τῶν τρόπων ἐλευθερίᾳ τιμηθεὶς ἐν δουλείᾳ κατέχεται, προσερχέσθω τῇ ἁγίᾳ τοῦ θεοῦ ἐκκλησίᾳ καὶ τοῖς προσφόροις ἄρχουσι, καὶ παρ' αὐτοῖς τὰ τῆς ἐπιτεθείσης αὐτῷ ἐλευθερίας ἀποδεικνύτω καὶ ταύτης ἀπολαβέτω [7].

7. Ὁ ὑπὸ τῶν πολεμίων αἰχμαλωτιζόμενος οἰκέτης, καὶ κλάσμα τὶ ὑπὲρ τῆς πολιτείας εἰς αὐτοὺς ἐνδεικνύμενος, καὶ οὕτως ἀνθυποστρέφων, παραχρῆμα ἐλευθεροῦται· ὁ δὲ αἰχμαλωτισθεὶς καὶ πάλιν ἀποφυγὼν, κλάσμα εἰς αὐτοὺς ὑπὲρ τῆς πολιτείας μὴ ποιησάμενος, ἀλλ' οὕτως ἀνθυποστρέφων, πενταετίαν τῇ ἰδίᾳ δεσποτείᾳ δουλευσάτω καὶ εἶθ' οὕτως ἐλευθερούσθω [8].

8. Ὁ αὐτοπροαιρέτως ἐχθροῖς προστρέχων, κἂν πάλιν μεταμεληθεὶς φυγὼν ὑποστρέψῃ, δι' ὧν ὅλως αὐτομολήσας τούτοις προσέδραμεν, ἕως τῆς ζωῆς αὐτοῦ ἔστω δοῦλος [9].

9. Δοῦλος ὁ μηνύων τὸν φόνον τοῦ ἰδίου κυρίου τὴν ἐλευθερίαν ἐχέτω ἔπαθλον [10].

10. Δοῦλος ὁ στρατευόμενος εἰδήσει τοῦ οἰκείου δεσπότου ἐλευθεροῦται [11].

11. Δεσπότης τὸν ἴδιον δοῦλον ἢ τὴν θεραπαίνην ὡς ἐλευθέραν συνάπτων πρὸς γάμον ἐλευθέρῳ προσώπῳ, ἢ συναινῶν τοῖς γάμοις ἢ ἐπίτηδες σιωπῶν, οὐδὲ λύει τὸν γάμον, ἀλλὰ καὶ τῆς δεσποτείας ἐκπίπτει [12].

12. Ὁ ἐκ τῶν ἐχθρῶν ἐλεύθερον ἀγοράζων αἰχμάλωτον καὶ ἐν τῷ ἰδίῳ οἴκῳ ἀποκαθιστῶν, εἰ μὲν εὐπορεῖ τὰς στιχηθείσας μεταξὺ αὐτῶν πληρῶσαι τιμὰς, ἀπολυέσθω ἐλεύθερος· εἰ δὲ ἀπορεῖ, ἐχέτω αὐτὸν ὁ ἀγοράσας μίσθιον μέχρις ἂν πληρωθῇ, ἅπερ ἐστίχησεν, ὁριζομένου δῆλον τοῦ ὀφείλοντος ἑκάστου ἔτους ὑπὲρ μισθῶν τῷ ἀγορασθέντι [λογίζεσθαι] [13].

13. Ὁ εἰς προῖκα γραφόμενος οἰκέτης [14], οὐκ ἔχουσιν ἄδειαν τὰ τέκνα οὔτε ὁ ἀνὴρ ἐλευθεροῦν αὐτόν [15].

14. Εἰ δὲ καὶ πληρώσει ὁ ἀνὴρ τὴν προῖκα τῆς ἰδίας γαμετῆς, εἴτι δ' ἂν προσφέρει πράγματα ἢ [παῖδας, τὴν] [16]

---

[6] Ecl. VIII, 4. [7] Ecl. VIII, 5. [8] Ecl. VIII, 8. [9] Ecl. VIII, 9. [10] Proch. XXXIV, 16. [11] Proch. eod. 15. [12] Athan. X, 2. Epit. XXIV (edit. p. 269). [13] Ecl. XIII, 6. [14] Leuncl.: Τὸν ... γραφόμενον οἰκέτην. [15] Imo cf. Cod. VII, 8, 1. [16] Suppleo ex Leuncl. Quid? si legamus: πληρωθῇ ... παῖδες.

πᾶσαν δεσποτείαν ὡς κεφαλὴ κατὰ τὴν τοῦ Θεοῦ ἐντολὴν αὐτὸς ἐχέτω. εἰ δὲ μὴ ἔχοντες πράγματα πρὸ τοῦ συναλλάγματος, καὶ μετὰ τὸ συναφθῆναι τὰ ἐκ Θεοῦ προνοίας ἐπικτηθέντα ἀμφότεροι ἐχέτωσαν [17].

15. Ἐὰν δύο ἐναπόγραφοι διαφόρου δεσποτείας συνέλθωσι πρὸς γάμον, εἰ μὲν δύο παῖδας ποιήσωσι, πρὸς λαχμὸν μερίζονται· εἰ δὲ τρεῖς, τὰ δύο τῆς μητρὸς ἔστωσαν καὶ τὸ ἓν τῇ τοῦ πατρὸς ἐπακολουθήσει δεσποτείᾳ· εἰ δὲ εἷς τεχθῇ, τῇ μητρὶ ἔσται [18].

16. Τὰ ἐξ ἐλευθέρας γαστρὸς τικτόμενα ἐλεύθερά εἰσιν, εἰ καὶ δοῦλός ἐστιν ὁ πατὴρ αὐτῶν [19].

17. Ὁ ἐκ δούλης τεχθεὶς δοῦλός ἐστιν, εἰ καὶ ὁ ἴδιος δεσπότης ἐρασθῇ τῆς οἰκείας θεραπαίνης [20].

18. Ἐὰν κοινὸς δοῦλός ἐστιν καὶ βούλεταί τις ἐλευθερῶσαι αὐτὸν, τὸ ἀζήμιον ποιείτω τοῖς ἄλλοις, καὶ μὴ θελόντων αὐτῶν ἐλευθερούτω αὐτόν [21].

19. Οἱ ἀπελεύθεροι, κἂν στρατευόμενοι ὦσιν, ἐξ ἀχαριστιῶν τοιούτων καταδουλοῦνται· ἐὰν τοὺς κυρίους τοὺς ἐλευθερωτὰς αὐτῶν ἢ τοὺς παῖδας τύψωσι ἢ ὑβρίσωσιν, ἢ ἔκ τινος ὑπερηφανείας κατ᾽ αὐτῶν τραχηλιάσωσι, ἢ μετὰ τὸ ταφῆναι τὸν ἑαυτοῦ κύριον ἐρχόμενος μὴ πεσὼν προσκυνήσῃ τὸν τάφον, ἢ ὅλως μικράν τινα πρόσκρουσιν αὐτοῖς παράσχῃ, ἢ ζημιώσῃ, ἢ ἐπιβουλεύσηται αὐτοῖς, καὶ ἓν ἐξ αὐτῶν παρὰ τῷ ἄρχοντι ἀποδειχθῇ, ἀναδουλοῦνται [22].

20. Ἀλλὰ καὶ πενόμενον τὸν πάτρωνα ἀναγκάζεται τρέφειν ὁ ἀπελεύθερος [23].

21. Ἐκ τῶν νεαρῶν διατάξεων περὶ τοῦ ἐλευθεροῦντος ἀλλότριον οἰκέτην. — Καθὼς ὑπεσχόμεθα καιρός ἐστι διαλαβεῖν περὶ τοῦ πενταπλασιαζομένου θέματος. ἔστιν δὲ τοιοῦτον. ὁ μὴ ὢν δεσπότης καὶ τὸν ἀλλότριον δοῦλον ὡς ἴδιον ἐλευθερώσας, ἐπὶ τοῦ βασιλέως τῆς ἐλευθερίας ἀνατρεπομένης [24], διαναγκάζεται ὁ ἐλευθερώσας παρέχειν ε΄ οἰκέτας ἀντὶ τοῦ ἐλευθερωθέντος, δῆθεν καθ᾽ ἡλικίαν καὶ κατὰ φύσιν καὶ κατὰ τρόπον καὶ κατὰ τέχνην ὁμοίους, δύο μὲν τῷ δεσπότῃ τοῦ ἐλευθερωθέντος, τρεῖς δὲ τῷ δημοσίῳ.

---

[17] Fontem non invenio. [18] Athan. XVIII, 5. [19] Athan. X, 2. [20] Dig. I, 5, 5 §. 1. [21] Cod. VII, 7, 1. * Paris. 1384 praemittit rubricam περὶ ἀναδουλώσεως. [22] Ecl. VIII, 7. [23] Cod. VI, 1, 3. [24] Legendum παρεχομένης, licet Codices adversentur.

τότε δὲ τιμωρεῖται ὁ ἐλευθερώσας τῇ προειρημένῃ ποινῇ, ὅτε ἐλευθερώσῃ τὸν ἀλλότριον δοῦλον ἀγνοοῦντος τοῦ δεσπότου αὐτοῦ [25].

ΤΙΤΛΟΣ ια΄.

Περὶ πράσεως καὶ ἀγορασίας [1].

1. Ἐγγράφως καὶ ἀγράφως πρᾶσις καὶ ἀγορασία ἐπὶ οἱῳδήποτε εἴδει καὶ πράγματι τῆς τιμῆς στιχουμένης συνίσταται. ἡνίκα ἡ τιμὴ τοῦ πράγματος [τῷ] πράτῃ, [τὸ δὲ εἶδος] τῷ ἠγορακότι δοθῇ, τὴν τοιαύτην πρᾶσιν ἐκ μεταμελουμένων αὐτῶν μὴ ἀνατρέπεσθαι. δεῖ γὰρ τὸν ἀγοραστὴν πρὸ τοῦ συναλλάγματος δι' ἐρευνῆς γίνεσθαι καὶ ἀκριβοῦν, καὶ οὕτως συναλλάσσειν. εἰ δὲ ὡς εἰκὸς μετὰ τοῦτο εὑρεθῇ τὸ πραθὲν σῶμα ἐλεύθερον ἢ καὶ δαιμονιῶν, τοῦτο ἀναδίδοσθαι [2].

2. Ἐὰν ἀῤῥαβὼν δοθῇ ἐν οἱῳδήποτε συναλλάγματι, ὡς ἀτελοῦς ὄντος τοῦ συναλλάγματος, ἐξ ἀγνωμοσύνης μὲν τοῦ δεδωκότος ἐν κέρδει γενέσθω ὁ ἀῤῥαβὼν τοῦ λαβόντος. εἰ δὲ ἐξ ἀμελείας τοῦ λαβόντος οὐ πραχθῇ τὸ ἔργον εἰς τέλος, ἀναδιδόσθω μετὰ καὶ ἄλλου τοσούτου τῷ δεδωκότι αὐτόν [3].

3. Ὁ πεπραμένος οἰκέτης καὶ τελευτήσει ἢ μέρος τὶ βλαβῇ τοῦ σώματος, ποῦς ἢ χεὶρ ἢ ὀφθαλμὸς, ἢ οἰκία ἐστὶν ἡ πεπραμένη, καὶ μέρος ἢ πᾶσα πυρὶ δαπανηθῇ, ἢ ἀγρὸς βίᾳ ποταμοῦ ὅλος ἢ μέρος ἀπόληται, ἢ δένδρων ἐξ ἀνέμου καταπεσόντων, ἐπὶ τούτων πάντων ἡ ζημία τὸν ἀγοραστὴν ὁρᾷ [4].

4. Ἐὰν κελευσθεὶς ὁ δοῦλός μου τοὺς ὅρους ὑποδεῖξαι τοῦ πραθέντος ἀγροῦ πλέον ὑποδείξῃ κατὰ δόλον ἢ ἄγνοιαν, οὐ καταδικάζει με. τὸ αὐτὸ καὶ ἐπὶ παραδόσεως νομῆς ἀργούσης [5].

5. Εἰ πρὸ παραδόσεως φύγῃ ὁ πραθεὶς δοῦλος ἢ καὶ κλαπῇ ὑπό τινος, ὡς μὴ δόλον ἢ ῥᾳθυμίαν ἐλέγχεσθαι περὶ ταῦτα τοῦ πράτου, [σκοπήσωμεν εἰ ὁ πράτης ἐκ τούτων ὀφείλει] ζημιοῦσθαι. καὶ δεῖ οὕτως διαστίξαι· εἰ μὲν εἰς ἑαυτὸν ὁ πράτης ἀνεδέξατο τὴν τοῦ πεπραμένου οἰκέτου φυλακὴν, καὶ αὐτὸς ἐπιγνώσεται τὴν ἐντεῦθεν ζημίαν. εἰ δὲ μὴ

---

[25] Cod. VII, 10, 7.

[1] Hic titulus integer editus est in Leuncl. JGR. tamquam tit. XXI. [2] Ecl. IX, 1. [3] Ecl. IX, 2. [4] Proch. XIV, 3. Epitomatoris manus hic valde conspicua est. [5] Proch. eod. 6.

ἀνεδέξατο εἰς αὑτὸν, ἕξει τὸ ἀμέριμνον. τὸ αὐτὸ καὶ ἐπὶ τῶν λοιπῶν ζώων, οἷον ἵππου ἢ καμήλου καὶ ὅσα τοιαῦτα ἐστίν. πάντως δὲ χρεωστεῖ ὁ πράτης τῷ ἀγοραστῇ τὴν διανθέντησιν καὶ ἐκδίκησιν [6].

6. Ἐάν τινες ἐπίκοινον πρᾶγμα ἔχοντες συμφωνήσωσι μηδετέρῳ αὐτῶν ἐξεῖναι ἑτέρῳ πωλεῖν τὸ πρᾶγμα, ἐὰν ὁ εἷς θελήσας [πωλεῖν] τὸ μέρος αὐτοῦ διαμαρτύρηται τὸν ἕτερον περὶ τούτου ἢ πωλῆσαι ἢ ἀγοράσαι, ἀκωλύτως πωλεῖ τῷ τυχόντι [7].

7. Καθόλου γὰρ ἴσθι, ὅτι δίχα δόλου ἢ ῥᾳθυμίας τοῦ πράτου εἰ συμβῇ τῷ πράγματι τοιοῦτον, ἕξει τὸ ἀμέριμνον ὁ πράτης [8].

8. Ὥσπερ γὰρ ἡ ἐκ τύχης ἐλάττωσις ἤτοι ἡ ἀπώλεια τοῦ πεπραμένου πράγματος εἰς τὸν ἀγοραστὴν ἀνατρέχει, οὕτως καὶ εἴ τι γέγονε κέρδος, τὸν ἀγοραστὴν ὠφελήσει. ὅθεν εἰ καὶ διὰ προσκλύσεως ἢ προσχώσεως ποταμοῦ μείζων γέγονεν ὁ ἀγρὸς μετὰ τὴν πρᾶσιν, τὸ κέρδος ὁ ἀγοραστὴς ἀπολαύσει [9].

9. Ἐὰν ἐν τῷ πραθέντι οἴκῳ τὸ ἀποτιθέμενον ὑπό τινος χρυσίον καταμεῖναν ἐν αὐτῷ εὑρεθῇ, μένει τοῦ πάλαι δεσπόζοντος [10].

10. Ὁ βλέπων πιπρασκόμενον ὑπὸ ἑτέρου ἴδιον αὐτοῦ πρᾶγμα καὶ μὴ ἀντιλέγων, αὐτὸς δοκεῖ πιπράσκειν αὐτό [11].

11. Ὁ πιπράσκων δοῦλον καὶ γινώσκων αὐτὸν κλέπτην ἢ μαινόμενον, προσφωνείτω περὶ τούτου τὸν ἀγοραστήν· εἰ γὰρ τοῦτο μὴ ποιήσει, αὐτὸς μὲν λήψεται τὸν δοῦλον, τὸ δὲ τίμημα διπλοῦν ἀποστρέψει τῷ ἠγορακότι, ἀπαιτούμενος καὶ εἴ τινα ζημίαν εἰργάσατο ἐν τῷ οἴκῳ τοῦ ἠγορακότος [12].

12. Ὁ ἐξ οὗ ἐγχειρίζεταί τις ὀφφικίου δημοσίου ἀγοράσας τὶ πρᾶγμα ἢ δι᾿ ἑαυτοῦ ἢ διὰ παρενθέτου προσώπου, οὐ μόνον τὸ τίμημα ἀπόλλει, ἀλλὰ καὶ τετραπλοῦν τῷ δημοσίῳ δίδωσιν [13].

13. Ὁ ἀγοράζων ῥητοὺς κεράμους οἴνου ἐπὶ μέτρῳ δήλῳ, εἰ μὴ ποιήσει ὑπέρθεσιν λαβεῖν τὴν μέτρησιν, οὐ ζημιοῦται, κἂν ἀπολεσθῇ ὁ οἶνος. εἰ δὲ ὑφ᾿ ἓν οἶνόν τις ἀγοράσει μὴ συμφωνῶν μετρῆσαι, αὐτὸς κινδυνεύει. ταῦτα δὲ κρατεῖ καὶ ἐπὶ ἐλαίου καὶ σίτου καὶ τῶν τοιούτων. ὅτι τὸ κέρδος τοῦ πραθέντος οἴνου τὸν ἀγοραστὴν ὁρᾷ [14].

14. Ὁ πωλῶν τινί τι ἐν εἰδήσει ἐπίψογον, οὐ μόνον εἰς

---

[6] Epanag. XXIII, 5. [7] Epan. eod. 13. [8] Proch. XIV, 3 fin. [9] Proch. eod. 4. [10] Proch. eod. 9. [11] Proch. eod. 10. [12] Proch. eod. 11. [13] Cf. Proch. eod. 2. [14] Cod. IV, 48, 2. 49, 12. Epit. XVI, 5.

τὸ τίμημα, ἀλλὰ καὶ εἰς πᾶσαν τὴν ἐκ τούτου ζημίαν κατέχεται [15].

15. Τὰ κατὰ ἄγνοιαν πιπρασκόμενα παρὰ τῶν συγκληρονόμων ἀνατρέπονται [16].

16. Ὁ πράτης παραδοὺς τὸ πρᾶγμα, οὐ δύναται τὴν πρᾶσιν ἀνατρέψαι, κἂν μεταμεληθῇ [17].

17. Τὸν πεπραμένον ἀγρὸν παρὰ τοῦ πατρὸς οὐ δύναται ἐκδικεῖν οὔτε υἱὸς οὔτε κληρονόμος [18].

18. Ὁ παραγγελθεὶς παρὰ τοῦ δεσπότου τοῦ πράγματος μὴ ἀγοράσαι αὐτὸ εἰ καὶ ἀγοράσει, ἀναδίδωσιν αὐτὸ μετὰ καὶ τῶν καρπῶν [19].

19. Ὁ πωλῶν τὸν δεσπότην αὐτοῦ κεφαλικῶς τιμωρεῖται [20].

20. Ὁ πωλῶν καὶ χαρίζων τῶν ἰδίων ἀφίσταται [21].

21. Ὁ ἐπίτροπος οὐ δύναται ὀρφανικὸν πρᾶγμα ἀγοράσαι. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ὁμοίων, κουράτωρος καὶ προκουράτωρος [22].

22. Ὁ κατὰ νόμους πεκούλιον ἢ ἰδικὸν κτῆμα ἔχειν παραχωρούμενος ὑπεξούσιος καλῶς ἀγοράζει παρὰ τοῦ ἰδίου πατρός [23].

ΤΙΤΛΟΣ ιβ'.

Περὶ δανείου καὶ ἐνεχείρων καὶ κοινωνίας.

1. Ἐάν τις ἐγγράφως ἢ ἀγράφως λογάρην ἢ ἀργύριον ἢ ἕτερόν τι εἶδος [ἐν γῇ] ἢ ἐν θαλάσσῃ δανείσηται, κατὰ τὸ στίχημα καὶ τὴν μεταξὺ ἀλλήλων προθεσμίαν ἀπολαμβανέτω ὁ δανειστὴς τὰ ἴδια, μὴ ἔχοντος ἄδειαν τοῦ δανεισαμένου ἐχθρικὴν ἐπιδρομὴν, ναυάγιον θαλάσσης ἢ ἑτέραν τινὰ ἀφορμὴν ἢ ἀναγωγὴν προτίθεσθαι τοῦ δανείσαντος. ἐὰν ὁ δανεισάμενος ἐνέχειρα τέθεικεν, καὶ αὐτὸς μετὰ τὴν τοῦ χρέους ἀποπλήρωσιν ἀνελλιπῶς ἀπολαμβανέτω τὰ ἴδια, μη δυναμένου τοῦ ταῦτα κατεσχηκότος λέγειν, ἢ ὅτι ἀπώλεσεν αὐτὰ ἢ ἑτέραν τινὰ προσφέρειν πρόφασιν, εἰ μήπως ἀποδειχθῇ αὐτῷ τοιαύτην ὡς εἰκὸς ἐπελθεῖν συμφορὰν καὶ σὺν τῶν ἰδίων ἀπολεσθῆναι *

---

[15] Epit. XVI. Cf. edit. p. 384 not. [16] Epit. l. l. p. 385 not. [17] Non invenio. [18] Epit. XVI, 66. (Cod. VIII, 44, 14.) [19] Epit. XVI, 73. (Cod. III, 32, 17.) [20] Epit. XVI, 80. (Cod. IV, 55, 4.) [21] Non invenio. [22] Proch. XIV, 8. [23] Epan. XXIII, 12.

* Leunclavio est tit. XXII.

καὶ τὰ ἀλλότρια, καθὼς λοιπὸν περὶ τούτου τηρείτωσαν οἱ ἀκροαταί [1].

2. *Ἐάν τις δανείσῃ τινὶ καὶ κατὰ τὴν οἰκείαν ὁμολόγησιν ὁ χρεώστης μὴ ἐκπληρώσῃ, προτρεπέσθω τοῦτον ἐκ διαβασίμου ὁ χρεωστούμενος, καὶ ἐὰν μετὰ δύο καὶ τρεῖς προτροπὰς καὶ μαρτυρίας μὴ θελήσῃ ὁ χρεωστῶν παρουσιασθῆναι ἢ τὸ ἀπόχρεων ποιῆσαι, αὐθεντίαν ἐχέτω ὁ τὰ ἐνέχειρα κατέχων, ὑπὸ ἀκριβῆ δημοσίαν ἐκτίμησιν ἐγγράφως διὰ ταβουλαρίων ἀποσημειουμένων ταῦτα διαπιπράσκειν, καὶ ἐκ τῶν τιμημάτων τὰ χρεωστούμενα αὐτῷ παρακρατεῖν καὶ τὸ περιττεῦον ἀποκαθιστᾶν τῷ χρεωστοῦντι. εἰ δὲ ἡ τῶν ἐνεχείρων δικαία πρᾶσις οὐ σώζει τὴν ἐντελῆ τοῦ χρέους ἀπόδοσιν, ἀπαιτεῖ τὸν χρεώστην τὸ λειπαζόμενον* [2].

3. *Ὁ δανειστὴς ἐὰν ἐνέχειρα λάβῃ, εἰ καὶ ἐπάρῃ τὰ τέκνα τῶν ἰδίων χρεωστῶν καὶ εἰς δουλικὴν ὑπηρεσίαν ταῦτα μισθώσηται, ἐκπιπτέτω τοῦ χρέους καὶ ἄλλην τοσαύτην ποσότητα τῷ κρατηθέντι ἢ καὶ τοῖς τούτου γονεῦσι καταβαλλέτω* [3].

4. *Τὰ ὑποτεθέντα πράγματα εἰς ἐνέχειρα ζητοῦσι προσωπικῶς οἱ χρεῶσται* [4].

5. *Οἱ καρποὶ τοῦ ἀγροῦ ψηφίζονται εἰς τὸ χρέος, οὐ μόνον οὓς ἔλαβεν ὁ δανειστὴς, ἀλλὰ καὶ οὓς ἠδύνατο λαβεῖν. εἰ δὲ καὶ ἔβλαψε τὸν ἀγρὸν, ἐνάγεται καὶ περὶ τούτου* [5].

6. *Οὐδὲ γὰρ ἔξεστιν τῷ δανειστῇ χωρὶς συμφώνου καὶ ἀρχικῆς κελεύσεως πιπράσκειν τὰ [εἰς αἰτίαν] ἐνεχείρου κατεχόμενα πράγματα* [6].

7. *Οἱ τόκου χάριν λαβόντες ἀγρὸν μέχρι ἑπτὰ χρόνων καρπιζέσθωσαν αὐτόν· ἀπὸ δὲ τῆς ἑπταετίας καὶ τὴν ἄνω, τὴν κατὰ τὴν ἡμίσειαν εἰσφορὰν στιχησάτω εἰς τὸ κεφάλαιον* [7].

8. *Ἐάν τις δανείσηται καὶ μὴ εὐπορῇ τὴν τοῦ χρέους ποιήσασθαι ἀπόδοσιν, ἀνέγκλητος ἔσται ἡ γυνὴ αὐτοῦ τοῦ ταῦτα ἐκ τῆς προικὸς αὐτῆς παρασχεῖν τῷ δανείσαντι, εἰ μήπω εὑρεθῇ ἐν τῷ τοιούτῳ χρέει συνομολογήσασα τῷ ἀνδρὶ αὐτῆς* [8].

9. *Οἱ ἐκ τοῦ ἐνεχείρου ληφθέντες καρποὶ ψηφίζονται εἰς τὸ χρέος, καὶ ἐὰν ἱκανοὶ γένωνται πρὸς τὸ ὅλον χρέος, λύεται ἡ ἀγωγὴ καὶ ἀποδίδοται τὸ ἐνέχειρον· εἰ δὲ πλείονες ὦσιν τοῦ χρέους οἱ καρποὶ, ἀποδίδονται οἱ περιττεύοντες* [9].

---

[1] Ecl. X, 1. [2] Ecl. X, 2. [3] Ecl. X, 3. [4] Proch. XVI, 7. [5] Proch. XVI, 3. [6] Proch. XVI, 7 rel. [7] Leges rust. I, 15. [8] Ecl. X, 4. [9] Proch. XVI, 1.

BAYERISCHE STAATS- BIBLIOTHEK MUENCHEN

10. *Τῆς δούλης οἱ κάματοι καὶ τὰ ἐνοίκια τῶν ὑποτεθέντων οἰκημάτων εἰς τὸ χρέος λογίζονται· καὶ ἐὰν πολύ ἐστι τὸ συναγόμενον, λύεται ἡ ἀγωγή* [10].

11. *Ἐὰν ὁ δανειστὴς μὴ παρ' ἰδίαν αἰτίαν ἀπολέσῃ τὸ ἐνέχειρον, οὐκ ἐγκαλεῖται. χρὴ δὲ αὐτὸν ἀποδεῖξαι, ὅτι ἀπώλεσεν. τὰ γὰρ τυχηρὰ οὐ κινδυνεύεται τῷ δανειστῇ, ἀλλὰ δύναται κατὰ τύχην ἀπολέσας τὸ πρᾶγμα ἀπαιτεῖν καὶ αὐτὸ τὸ κεχρεωστημένον. ἐὰν δὲ μεταξὺ τῶν συναλλασσόντων ἤρεσεν, ἵνα ἡ ἀπώλεια τῶν ἐνεχείρων ἐλευθερώσῃ, τοῦτο ἰσχὺν ἔχει* [11].

12. *Ὁ τὴν ἰδίαν συγγραφὴν ἢ τὴν ἐπ' αὐτῷ γενομένην καταβολὴν ἀρνούμενος, τὸ διπλάσιον μετ' ἐλέγχους καταθήσει· ὁ δὲ παραυτὰ τοῦ ἀρνήσασθαι ἐξ ἐπιφορᾶς ὅρκου τὴν ἀλήθειαν φανερῶν, ἐκφεύξεται τὴν καταδίκην τοῦ διπλασίου· βραδέως [δὲ] ὁμολογῶν, καταθήσει τὰς δαπάνας τῆς δίκης ὅρκῳ τοῦ ἀντιδίκου* [12].

13. *Οὔτε ὁ δανειστὴς, οὔτε ὁ τοῦ δανειστοῦ κληρονόμος τῷ χρεώστῃ μετὰ τὴν τοῦ χρέους καταβολὴν ἕνεκεν τοῦ ἐνεχείρου δύναται χρόνου παραγραφὴν προσενεγκεῖν* [13].

14. *Ὁ χρεώστης ἀρνούμενος τὸ χρέος οὐ δύναται μετὰ ταῦτα ἐπὶ τῇ ἀποκαταβολῇ προσφέρειν ἀποδείξεις* [14].

15. *Ὁ δανειστὴς τὰς οἰκείας ἀρνησάμενος ἀποδείξεις διπλάσιον τὸ περιεχόμενον αὐταῖς ποσὸν μετ' ἐλέγχους καταλογίζεσθαι τῷ χρεώστῃ* [15].

16. *Περὶ κοινωνίας. — Συνίσταται κοινωνία ἐγγράφως καὶ ἀγράφως μεταξὺ δύο ἢ καὶ πλειόνων, ὁπόταν ἕκαστος αὐτῶν ἐξ ἰσότητος καὶ ἔλαττον τὴν οἰκείαν μοῖραν εἰς ἐνθήκην εἰσαγάγῃ· ἤ τινων μὲν ἐνθήκην, ἑτέρων δὲ τοὺς οἰκείους μόχθους καὶ ὀπέρας καταβαλλομένων· τὸ δὲ περιποιούμενον αὐτοῖς κέρδος, μεθ' ὑφαίρεσιν δῆλον τῶν κεφαλαίων, κατὰ τὸ ἐν μέσῳ αὐτῶν στιχηθὲν ἐπιμεριζέσθωσαν. εἰ δὲ συμβῇ ἐπὶ τῇ τοιαύτῃ κοινωνίᾳ προσγίνεσθαι τῇ ἐνθήκῃ ζημίαν, ἕκαστος τῶν κοινωνῶν κατὰ τὴν τοῦ κέρδους μοῖραν καὶ αὐτὴν ἐπιγινώσκει* [16].

17. *Συνίσταται κοινωνία ἢ ἕως οὗ ζῶσιν οἱ κοινωνοῦντες, ἢ πρὸς καιρὸν, ἢ ἀπὸ καιροῦ, ἢ ὑπὸ αἵρεσιν* [17].

18. *Τὰ τυχηρὰ ὁ κοινωνὸς οὐκ ἐπιγινώσκει. ὅθεν τὰ δια-*

---

[10] Proch. XVI, 2. [11] Proch. XVI, 5. [12] Proch. XVI, 12. [13] Epan. XXVIII, 8. Epit. XVII, 58. [14] Athan. IX, 2. Cf. Proch. XVI, 13. [15] Athan. IX, 2. Cf. Epanag. XXVIII, 15. [16] Ecl. X, 5. [17] Proch. XIX, 1.

τετιμημένα θρέμματα, εἰ μὲν ὑπὸ λῃστῶν ἀφαιρεθῶσι, κοινὴ γίνεται ἡ ζημία· εἰ δὲ κλαπῶσι, μόνος ὁ ἐσχηκὼς αὐτὰ ζημιοῦται· χρεωστεῖ γὰρ ἀκριβεστάτην ἀσφάλειαν ὁ δεξάμενος διατετιμημένα. καὶ ἁρμόζει ἐπὶ κοινωνίας ἀγωγὴ, ἐὰν ἐπὶ κοινωνίᾳ ἐδόθησαν βόσκεσθαι, εἰ καὶ τὰ μάλιστα διατετιμημένα [18].

ΤΙΤΛΟΣ ιγ'.

Περὶ παρακαταθήκης *.

1. Ἐάν τις διὰ οἱανδήποτε πρόφασιν ἢ φόβον παραθήκην παρατίθεταί τινι, καὶ συμβῇ τὸν ταύτην παραλαβόντα ἀπαρνήσασθαι, ζητουμένου τοῦ κεφαλαίου καὶ ἀποδεικνυμένου αὐτοῦ ψεύστου, κατὰ δίπλαν ἀποδιδότω αὐτὰ τῷ παραθεμένῳ. εἰ δὲ καὶ [δεήσει] συμφοράν τινα ἀπὸ πυρκαΐας ἢ ἀπὸ κλοπῆς ἐπελθεῖν αὐτῷ, καὶ σὺν τῶν ἰδίων αὐτοῦ ἀπολεσθῆναι κἀκεῖνα, τηρείτωσαν οἱ ἀκροαταὶ, καὶ ἀνέγκλητον τὸν τὴν τοιαύτην παρακαταθήκην ἐσχηκότα φυλαττέσθωσαν ὡς ἀκουσίως αὐτὰ ἀπολέσαντα [1].

2. Τῆς παρακαταθήκης καὶ οἱ καρποὶ καὶ οἱ τοκετοὶ καὶ πᾶν πρᾶγμα ἀπαιτεῖται [2].

3. Δοῦλός σου παρέθετό μοι χρήματα ἐπὶ τὸ δοῦναί σοι ὑπὲρ τοῦ ἐλευθερῶσαι αὐτόν. εἰ μὲν δοὺς ἐποίησά σε τῶν παρακολουθησάντων ἐν εἰδήσει, οὐκ ἐνέχομαι. εἰ δὲ ὡς ἴδια δέδωκα, ὑπόκειμαι διδόναι ὡς παρακαταθήκην [3].

4. Ἡ παρακαταθήκη τῶν διαφερόντων τῷ παρακαταθεμένῳ ἐστίν· ὅθεν καὶ καρποὺς καὶ τοκετοὺς καὶ πᾶσαν αἰτίαν ἀπαιτεῖ [4].

5. Ἐάν τις δεξάμενος παρακαταθήκην ἀρνήσηται αὐτὴν, καὶ μαρτυρηθῇ ἐν αὐτῷ καὶ εὑρεθῇ ἐν καιρῷ ἐν αὐτῷ τῷ ὀμόσαντι ἢ ἐγγράφως ἀποταξαμένῳ, διπλοῦν ταύτην ἀποδώσει, τῆς [δὲ] ἐπιορκίας τὴν τιμωρίαν ὑπομενέτω [5].

6. Πᾶσα παρακαταθήκη ἐξ ἀρνήσεως διπλασιάζεται.

---

[18] Proch. XIX, 14.

* Leunclavio est tit. XXII §. 23. 24 et tit. XXIII.

[1] Ecl. XI, 1.

[2] Proch. XVIII, 4.

[3] Proch. eod. 9.

[4] Dig. XVI, 3, 1 §. 23. 24.

[5] Leges navales. Vide infra tit. XL §. 15.

BAYERISCHE STAATS-BIBLIOTHEK MUENCHEN

ΤΙΤΛΟΣ ιδ'.

Περὶ ἐμφυτεύσεως*.

1. Διηνεκὴς ἐμφύτευσις ἀκινήτων δικαίων γίνεται ἐπὶ ἐνιαυσιαίῳ τελέσματι συμφωνουμένῳ καὶ ἐπιμελείᾳ τε καὶ διορθώσει τῶν ἐκδιδομένων. εἰ δέ τις ἐκ τῶν φροντιστῶν, χαρτουλαρίων καὶ λοιπῶν στρατιωτῶν πρὸς βλάβην ἢ περιγραφὴν τῆς πρωτοτύπου δεσποτείας φανῇ ἀπεργαζόμενος, οὗτος μὲν παρευθὺ ἐκ τοῦ στρατεύματος αὐτοῦ ἐκπιπτέτω, ἀκυρούσθω δὲ καὶ ἡ τοιαύτη ἔκδοσις [1].

2. Τὸν διηνεκῶς ἐμφυτευσάμενον τὸ ἐνιαυσιαῖον ἀδιαστρόφως καταβαλλόμενον τέλεσμα, καὶ εἰς τὴν τοῦ ἀκινήτου δικαίως [ἀγωνιῶντα] σύστασίν τε καὶ ἐπιμέλειαν [μὴ] ἀποκινεῖσθαι ἐκ τῆς τοιαύτης ἐκδικήσεως, ἀλλ' ἐξεῖναι αὐτῷ τὸ δίκαιον τῆς τοιαύτης ἐμφυτεύσεως κληρονόμοις καταλιμπάνειν, δωρεῖσθαι, καὶ ἐν προικὶ ἐπιδιδόναι ἢ καθ' ἕτερον τρόπον μεταχωρεῖν καὶ διαπιπράσκειν· προτίμησιν δηλονότι τῷ πρωτοτύπῳ δεσπότῃ πρὸ διαπράσεως παρέχοντι αὐτὸν τὸ τοιοῦτον ὠνήσασθαι δίκαιον· ἐκείνου δὲ μὴ βουλομένου, ἀπαρεμποδίστως μετὰ δύο μῆνας τῆς τούτου προτροπῆς πιπράσκειν αὐτὸ τοῖς μὴ κεκωλυμένοις προσώποις [2].

3. Τὰ* ἀκίνητα τῶν ἐκκλησιῶν [ἢ] ἑτέρων εὐαγῶν οἴκων ἢ μοναστηρίων ἢ συστημάτων πράγματα, οἷς συναριθμεῖ καὶ τὰ γεωργικὰ ἀνδράποδα καὶ τὰς πολιτικὰς ἐπικτήσεις, κατ' οὐδένα τρόπον ἐκποιεῖσθαι, πλὴν μόνῳ βασιλεῖ δι' ἀναγκαίας χρείας. γενέσθω, φησὶν, ἀκινήτων ἱερατικῶν πραγμάτων πρόσκαιρος ἐμφύτευσις μέχρι τῆς ζωῆς τοῦ ἐμφυτευσαμένου καὶ τῶν παίδων αὐτοῦ καὶ ἐγγόνων, ἀλλὰ μὴν καὶ γαμετῆς καὶ ἀνδρὸς, εἰ ῥητῶς τοῦτο συνεφώνησαν, τῆς ἕκτης μοίρας κομιζομένης τῆς ἀρχαίας προσόδου [3].

4. Τὰ τῶν ἐκκλησιῶν καὶ σεπτῶν οἴκων προάστεια μὴ πρὸς τὴν σωζομένην ἐκδιδόσθωσαν πρόσοδον, ἀλλὰ διὰ τῆς τιμήσεως τούτων γινομένης, ὅσην συνάγειν δύναται πρόσοδον ἡ ἀποτίμησις τοῦ προαστείου εἰς εἰκοστὸν ἔτος διαιρουμένη, τοσαύτην ὁ μέλλων αὐτὸ ἐμφυτεύεσθαι ἐπερωτᾶσθαι πρόσοδον, τουτέστιν τὸ εἰκοστὸν μέρος τῆς γινομένης διατιμήσεως τοῦ προαστείου προσομολογείτω ὁ ἐμφυτευτὴς εἰς ἐτησίαν παρέχειν πρόσοδον [4].

---

* Leunclavio tit. XXIV. [1] Ecl. XII, 1. [2] Ecl. XII, 2. * Paris. 1384 inscribit περὶ ἐκκλησιαστικῶν ἀκινήτων πραγμάτων. [3] Athan. II, 1. [4] Athan. ibid. — Paris. 1384 et alia quaedam hoc loco in-

BAYERISCHE STAATS- BIBLIOTHEK MUENCHEN

5. Ὁ τολμήσας ἀκίνητον ἱερατικὸν πρᾶγμα ἀγοράσαι τῶν τιμημάτων καὶ τοῦ πράγματος ἀποστερεῖται, ἀναδιδοὺς καὶ τοὺς καρποὺς τοῦ μέσου χρόνου, τῶν πεπρακότων οἰκονόμων τε καὶ διοικητῶν ταῖς ποιναῖς ὑποβαλλομένων τῆς διατάξεως λέοντος [5].

6. *Ὁ κατὰ δωρεὰν λαβὼν, πρὸς τὸ μὴ ἀπολαῦσαι τοῦ δωρηθέντος καὶ ἕτερον παραπλήσιον ἀποδώσει [6].

7. Ὁ κατὰ ἐναλλαγὴν κτησάμενος, καὶ ὃ ἔλαβεν ἀποδώσει καὶ τοῦ δοθέντος ἐκπεσεῖται [7].

ΤΙΤΛΟΣ ιε'.

Περὶ μισθώσεων *.

1. Αἱ μισθώσεις ἔγγραφοί τε καὶ ἄγραφοι ἐπὶ ὀνομαστῷ ἐνιαυσιαίῳ συμφωνουμένῳ τελέσματι καὶ αὐταὶ γενέσθωσαν, περαιτέρω τῶν εἰκοσιεννέα [χρόνων] μὴ ἐκτεινόμεναι, εἴτε ἐκληπτορικῶς εἴτε τοῦ μέρους τοῦ δημοσίου ἢ βασιλικοῦ οἴκου ἢ εὐαγοῦς τόπου κτημάτων, χωρίων, ἀγρῶν, ἢ καὶ λοιπῶν αἱ τοιαῦται ἐκδόσεις γένηνται· καὶ πρὶν τὸ συμφωνηθὲν ἐκ τοῦ λαμβανομένου καὶ ὁμολογηθὲν ἐνιαυσιαῖον μισθωτικὸν τέλεσμα παρὰ τοῦ ἐκδεδωκότος [μέρους εἰσπράττεσθαι. μὴ δυναμένων εἴτε τοῦ ἐκδεδωκότος] εἴτε τοῦ ἐκλαμβανομένου μετάμελον μετὰ τὴν μίσθωσιν ἐντὸς ἐνιαυτοῦ προτίθεσθαι, ἐὰν ἐκ συμφώνου περὶ τούτου ὀνομαστὶ ἀπετάξαντο [1].

2. Ἐὰν συμφωνηθῇ τοὺς μισθωσαμένους οἴκους ἀβλαβὲς ἔχειν πῦρ, καὶ τυχηρὰ γένηται καῦσις, οὐκ ἐνέχεται ὁ μισθωσάμενος. εἰ δὲ κατὰ ῥαθυμίαν αὐτοῦ συνέβη, ἐνέχεται [2].

---

tercalat: *Περὶ ἀγνωμοσύνης.* Ἀγνωμοσύνη ἐκ τοῦ ἐμφυτευτικοῦ κανόνος —. *Περὶ ἐρειπίων ἐμφυτευομένων.* Ἐρειπίων ἱερατικοῖς προσηκόντων συστήμασι —. *Περὶ τοῦ μὴ συνάπτεσθαι τὰς ἐμφυτεύσεις τοῖς αὐτοῖς προσώποις.* Τοῖς αὐτοῖς ἐπισυνάπτεσθαι — et Ὁ οὐσούφρουκτον ἱερατικόν —.

[5] Athan. ib. * Paris. 1384 praemittit rubricam: *περὶ ἀγοραστοῦ καὶ πράτου ἱερατικοῦ πράγματος καὶ δωρεᾶς.* [6] Athan. ib. [7] Athan. ib. — Paris. 1384 in fine addit §§ tres, quarum verba initialia haec sunt: Οἱ δὲ προειρημένοι πάντες —. Οὐ κωλύεται εὐαγής —. Ὁ διηνεκῶς ἐμφυτ. — Contra Paris. 1720 a recentiore manu in margine adscriptas habet Ecl. tit. XII §§. 3—5.

* Leunclavio tit. XXV. [1] Ecl. XIII, 1. [2] Proch. XVII, 1.

3. Ὁ μισθωσάμενος ἀγέλην, ἐὰν δειχθῇ ὅτι χωρὶς ἀπάτης αὐτοῦ λῃσταὶ αὐτὴν ἀφείλαντο, οὐκ ἐνέχεται, ἀλλὰ λαμβάνει τοὺς μισθοὺς τοῦ λειπομένου χρόνου [3].

4. Ἐὰν εὑρεθῇ ποιμὴν μισθωτὸς ἀμέλγων τὰ βοσκήματα λάθρα τῶν κυρίων αὐτῶν, τυπτόμενος τὸν μισθὸν αὐτοῦ στερείσθω [4].

5. Ὁ ποιμὴν καὶ ὁ ῥάπτης καὶ ὁ κναφεὺς ἀπὸ ῥαθυμίας ἐνέχεται [5].

6. Ἐὰν μυόβρωτα γίνωνται ἢ κολλήσει ἢ ἕτερον τοῦ ἑτέρου παρασχεθῇ, ὡσαύτως καὶ ὁ κναφεύς [6].

7. Ἐὰν συμφωνηθῇ μὴ ἔχειν πῦρ καὶ σχῇ, ἐνέχεται [7].

8. Ἐάν τις λάβῃ ἐπὶ τὸ ἐγκλεῖσαι ἢ γλύψαι λιθαίαν καὶ κλασθῇ, εἰ μὲν ἐξ ἀπειρίας τοῦ τεχνίτου, ἐνέχεται· εἰ δὲ ἀπὸ αἰτίας τῆς ὕλης, οὐκ ἐνέχεται, εἰ μὴ τὸν κίνδυνον ἀνεδέξατο [8].

9. Ἐάν τις μισθώσηται κίονα ἢ πίθον ἢ ξύλον ἢ ἄλλο πρᾶγμα εἰς τὸ μετακομίσαι, καὶ κλασθῇ ἐν τῷ κουφίζεσθαι ἢ ἐν τῷ ἀποτίθεσθαι, οὐκ ἐνέχεται, εἰ μὴ ἀπὸ ῥαθυμίας οἰκείας ἢ τῶν ὑπουργούντων αὐτῷ [9].

10. Ἐὰν παριόντων στρατιωτῶν παραχωρήσῃ ὁ μισθωσάμενος καὶ οἱ στρατιῶται ἀφέλωνται τὰς μυριάδας ἢ ἕτερόν τι, εἴγε δυνάμενος οὐκ ἀντέστη, ἐνέχεται [10].

11. Ὁ μισθωσάμενος ἄλογον εἰς τὸ βαστάσαι τὶ δῆλον καὶ βαρύτερον ἐπιθεὶς, βλαπτομένου αὐτοῦ ἐνέχεται [11].

12. Ὁμοίως καὶ εἰς ὡρισμένον τόπον καὶ ὑπερβαίνων [12].

13. Ὁ λαβὼν βοῦν πρὸς ἐργασίαν καὶ ἀποθάνῃ ἐν ᾧ ἔργῳ ἐζήτησεν αὐτὸν, ἀζήμιος ἔστω· εἰ δὲ ἐπὶ ἄλλῳ ἔργῳ ἀπέθανεν, δώσει αὐτὸν ὁλοκλήρως [13].

14. Ὁ μισθωσάμενος ἀγρὸν καὶ χωρὶς αἰτίας πρὸ τοῦ συμπληρώματος τοῦ χρόνου καταλείπει, δίδωσιν ὅλον τοῦ χρόνου τὸν μισθόν [14].

15. Ὁ λαβὼν μισθὸν ἐπὶ φυλακῇ παντὸς πράγματος, ἐγκινδυνεύει περὶ τὴν αὐτοῦ φυλακήν [15].

16. Ὁ μετὰ τὴν συμπλήρωσιν μὴ ἀποκαθιστῶν τὸ πρᾶγμα, καὶ τὸ πρᾶγμα ἀποδιδότω καὶ τὴν διατίμησιν αὐτοῦ [16].

---

[3] Proch. XVII, 2. [4] Leges rusticae II, 4. [5] Proch. XVII, 3. [6] Proch. ib. 10. Forte legendum: ἢ πάλλιον ἕτερον ἀνθ' ἑτέρου. Leunclavius: κολύσια (pro quo conjicit σκωλυκόβρωτα) — παρασχισθῇ. [7] Proch. ib. 4. [8] Proch. ib. 9. [9] Proch. ib. 20. [10] Proch. ib. 11. [11] Proch. ib. 21. [12] Ecl. XVII, 7. [13] Leg. rust. I, 18. [14] Proch XVII, 25. [15] Proch. ib. 22. [16] Epit. VII, 14. (Cod. IV, 65, 33.)

17. Πᾶς ἐργολάβος ἢ τεχνίτης ἁψάμενος ἔργου καὶ μὴ πληρῶν αὐτὸ διδότω τὴν σύμπασαν αὐτοῦ ζημίαν· δηλονότι οὐδὲ λαμβάνει τὸν μισθὸν αὐτοῦ. εἰ δὲ πένης ἐστὶν, καὶ μὴ ἀρκοῦντος πρὸς καταβολὴν τῆς ζημίας, τυπτέσθω καὶ ἐξοριζέσθω [17].

18. Ἐὰν δίαιταν εἰς ἐνιαυτὸν μισθωσάμενος ὅλον παράσχω τὸν μισθὸν, ἡ δὲ καὶ πέσῃ καὶ ἀφῇ τῷ ἕκτῳ μηνὶ, ἀναλαμβάνω τὸ λοιπόν [18].

19. Ἐὰν τὸ γινόμενον ἔργον ἀπὸ σεισμοῦ παρασαλευθῇ, τοῦ μισθώσαντός ἐστιν ὁ κίνδυνος [19].

20. Ὁ λαβὼν μισθὸν ἐπὶ φυλακῇ πράγματος ἐκκινδυνεύει περὶ τὴν αὐτοῦ φυλακήν [20].

21. Ὁ κλέπτων τὸν μισθωθέντα αὐτῷ δοῦλον, ἐνέχεται ὡς κλέπτης [21].

22. Ἐὰν πρὸ δοκιμασίας πέσῃ τὸ ἔργον, εἰ μὲν ἀπὸ αἰτίας τοῦ ἐδάφους, ὁ μισθώσας ζημιοῦται· εἰ δὲ ἐξ ἐλαττώματος τοῦ ἔργου, ὁ μισθωσάμενος [22].

23. Ἐὰν αἰτήσῃ τὶς παρὰ τοῦ πλησίον κτῆνος, καὶ συντριβῇ ἢ αἰχμάλωτον γένηται ἢ ἀποθάνῃ, ὁ δὲ κύριος μὴ ᾖ μετ' αὐτοῦ, ἀποτίσει· ἐὰν δὲ ὁ κύριος αὐτοῦ μετ' αὐτοῦ ᾖ, οὐκ ἀποτίσει· ἐὰν δὲ μισθωτὸς ᾖ, ἔστω αὐτῷ ἀντὶ τοῦ μισθοῦ αὐτοῦ [23].

ΤΙΤΛΟΣ ις'.

Περὶ μαρτύρων *.

1. Ἐπὶ τῶν μαρτύρων ζητεῖται ἡ ἀξία καὶ ἡ πίστις καὶ τὰ ἤθη καὶ ἡ στεῤῥότης [1].

2. Ἀξιόπιστοι ἔστωσαν οἱ μάρτυρες, μή τινες ἐπιδίφριοι, μηδὲ χαμερπεῖς, μηδὲ παντοίως ἄσημοι [2].

3. Οἱ μάρτυρες ἢ ἀξίαν ἢ στρατείαν ἢ ἐπιτηδεύματα ἢ ἐμπορίαν ἔχοντες, κατὰ πρόληψιν δεκταιοῖ τυγχάνουσιν. εἰ δέ εἰσιν ἄγνωστοι καὶ ἀμφισβητηταὶ, τὰ τῆς αὐτῶν μαρτυρίας κα-

---

[17] Epit. VII, 31. (Cod. VIII, 10, 12 §. 9.) [18] Proch. XVII, 16. [19] Proch. ib. 27. [20] Proch. ib. 22. Cf. supra §. 15. [21] Proch. ib. 23. [22] Proch. ib. 28. [23] Ecloga legis Mosaicae c. 7 edit. Cotelerii.

* Leunclavio tit. XXVI. [1] Proch. XXVII, 7. [2] Proch. ib. 1.

νονιζέτωσαν οἱ δικασταὶ, καὶ διὰ βασάνων ἐρχέσθωσαν πρὸς αὐτοὺς, ὅπως τὴν τῆς ἀληθείας κατάληψιν εὕρωσιν [3].

4. *Οἱ γονεῖς καὶ τὰ τέκνα κατ' ἀλλήλων λέγοντες μὴ προσδεχέσθωσαν* [4].

5. *Μήτε ὑπὲρ τοῦ δεσπότου μήτε κατὰ δεσπότου δοῦλος ἢ ἀπελεύθερος μαρτυρείτω* [5].

6. *Πατὴρ καὶ υἱὸς ὑπεξούσιος καὶ δύο ἀδελφοὶ ὑπεξούσιοι μαρτυροῦσιν ἐν πράγματι* [6].

7. *Οἱ μάρτυρες ἐπὶ τῶν δικαστῶν εἰς μαρτυρίαν ἀγόμενοι, πρῶτον ἄνευ ὅρκου ἐπὶ δυσὶν ἢ τρισὶν ἀνακρίσεσιν τὰ τῆς εἰδήσεως αὐτῶν λεγέτωσαν, καὶ ἐὰν περὶ τοῦ ζητουμένου εὑρεθῶσιν λέγοντες τίποτε, τότε ὀμνυέτωσαν* [7].

8. *Οἱ μακρὰν διάγοντες μάρτυρες ἐν ταῖς χρηματικαῖς ὑποθέσεσι κατὰ τὸν τόπον μὴ ἀναγκαζέσθωσαν παραγίνεσθαι, ἀλλὰ δι' ἐντολέων πρὸς αὐτοὺς στελλομένων τὰ τῆς εἰδήσεως αὐτῶν μαρτυρείτωσαν* [8].

9. *Ἐν ἐκμαρτυρίῳ μὴ πιστευέσθω ταβουλάριος* [9].

10. *Οἱ μάρτυρες ὁσοιδήποτε ἀριθμῷ ὦσιν, μέχρι τεσσάρων ταξειδίων καὶ μόνον ἀγέσθωσαν, ἑκάστης παραγωγῆς μίαν ἡμέραν [λαμβανούσης]* [10].

11. *Εἷς μάρτυς μαρτυρῶν οὐ πιστεύεται, [ἀλλ'] ἐκβαλλέσθω* [11].

12. *Ἐὰν δὲ τοιοῦτόν ἐστιν τὸ πρᾶγμα, ὥστε δέξασθαι μαρτυροῦντα ἕνα ἢ κυνηγὸν ἢ τοὺς ὁμοίους, χωρὶς βασάνων οὐ πιστεύεται* [12].

13. *Οἱ πένητες οἱ μὴ ἔχοντες πεντήκοντα νομισμάτων περιουσίαν οὐ μαρτυροῦσι* [13].

14. *Ὁ καταδικασθεὶς περὶ μοιχείας οὐ δέχεται εἰς μαρτυ.ίαν* [14].

15. *Ὁ ἧττων τῶν εἴκοσι ἐτῶν οὐ μαρτυρεῖ* [15].

16. *Ὁ δοῦλος καὶ ὁ κωφὸς καὶ ὁ μαινόμενος οὐ μαρτυρεῖ* [16].

17. *Ὁ τὴν οἰκείαν ἰδιόχειρον τοῦ χρέους συγγραφὴν ἀρνούμενος, ἢ τὰ οἰκεῖα γράμματα ἐπιθέμενος, ἀρνεῖται δὲ τὴν καταβολὴν τῆς ποσότητος, μετὰ ἀπόδειξιν τῆς ἀληθείας διπλῇ ποσότητι ὁ ἀρνησάμενος τὸ χρέος καταδικαζέσθω* [17].

---

[3] Ecl. XIV, 1. [4] Ecl. eod. 2. [5] Ecl. eod. 3. [6] Proch. XXVII, 11. [7] Ecl. XIV, 5. [8] Ecl. eod. 6. [9] Athan. V, 5. [10] Ecl. XIV, 11. [11] Epit. XIII, 30. (Cod. IV, 20, 9.) [12] Proch. XXVII, 12. [13] Proch. eod. 13. [14] Proch. eod. 26. [15] Proch. eod. 24. [16] Cf. Proch. eod. 28. 33. [17] Ecl. XIV, 12.

18. *Εἰ δέ τις ἀρνηθῇ τὸ ἀμάρτυρον ἰδιόχειρον, ὅρκος ἐπαγέσθω τῷ λεγομένῳ ταῦτα μὴ χειρογραφῆσαι* [18].

19. *Ὁ θέλων ἐπισχεῖν τοὺς μάρτυρας δαπάνας αὐτοῖς διδότω* [19].

20. *Οὐκ ἀπαιτεῖται ὁ ἐναγόμενος φέρειν καθ' ἑαυτοῦ δικαιώματα πρὸς ἀπόδειξιν· ὁ γὰρ ἐνάγων ὀφείλει δεῖξαι· εἰ καὶ μὴ δείξει, νικᾷ ὁ ἐναγόμενος* [20].

21. *Ὁ ἐπιφέρων τινὶ ὅρκον, πρὸ τοῦ δέξασθαι τὸν ὅρκον δύναται μετατραπῆναι εἰς ἀπόδειξιν· εἰ δὲ καὶ παραλείψας τὸν ὅρκον μὴ ἀποδείξει ὃ διαβεβαιοῦται, οὐ δύναται ἐπὶ τὸν ὅρκον ἐπανελθεῖν* [21].

22. *Ὁ ὀμόσας ἴδιον εἶναι τὸ πρᾶγμα ἀπαιτεῖ καρποὺς καὶ τοκετὸν θρεμμάτων* [22].

23. *Ὁ ὅρκος δύναμιν ἀποφάσεως ἔχει· ὁ γὰρ ἐπιφέρων ὅρκον τῷ ἀντιδίκῳ αὐτοῦ, δοκεῖ δικαστὴν αὐτὸν ποιεῖν* [23].

24. *Οἱ ἄγνωστοι τῶν μαρτύρων καὶ βασανιζέσθωσαν εἰ δεήσοι* [24].

25. *Ἐν ταῖς παραγραφαῖς ὁ ἐναγόμενος βαρεῖται τῇ ἀποδείξει* [25].

26. *Ὅταν οἱ μάρτυρες ἑαυτοῖς ἐναντιοῦνται ἢ ἄλλοι μάρτυρες ἢ πλαστῶς μαρτυροῦσιν, τότε δεχέσθω ὁ δικαστὴς τοὺς ἐξ αὐτῶν ἀξιοπιστοτέρους καὶ κολαζέσθω τοὺς ὑπόπτους, εἴπερ ἐπίτηδες φανεῖεν κακουργοῦντες* [26].

27. *Ὁ συνηγορήσας ἐν ὑποθέσει οὐ μαρτυρεῖ ἐν αὐτῇ* [27].

28. *Κωλύεται μαρτυρεῖν ἄνηβος, οἰκέτης, κωφὸς, ἄλαλος ἢ μαινόμενος ἢ ἄσωτος, υἱὸς ὑπεξούσιος ὅτε ὁ πατὴρ αὐτοῦ παρὰ ἄλλου γραφῇ κληρονόμος* [28].

ΤΙΤΛΟΣ ιζ'.

Περὶ διαλύσεως *.

1. *Ἡ διάλυσις ἐγγράφως δι' ὑπογραφῆς τριῶν μαρτύρων γενέσθω* [1].

---

[18] Athan. XIV, 3. [19] Proch. XXVII, 10. [20] Epit. XII, 12. (Cod. II, 1, 1.) [21] Epit. XII, 41. (Cod. IV, 1, 11.) [22] Epit. XII, 48. (Dig. XII, 2, 11 §. 1.) [23] Epit. XII, 60. (Dig. XLIV, 5, 1 pr.) [24] Proch. XXVII, 2. [25] Dig. XXII, 3, 19 pr [26] Proch. XXVII, 4. [27] Proch. eod. 30. [28] Proch. eod. 33. — Paris. 1720 ad marginem huius tituli Ecl. tit. XIV, 4. 7. 8. 9. 11 adscribit.

* Leunclavio tit. XXVII. [1] Ecl. XV, 1.

2. Ἐάν τις τῶν ἐντελῶν χρόνων μὴ ὢν διάλυσιν ποιήσῃ πρός τινα καὶ διὰ τὴν τῶν χρόνων ἐντέλειαν διαγνῷ τὴν προσγινομένην αὐτῷ βλάβην, ἄδειαν ἐχέτω παρὰ δικασταῖς κινεῖν τὰ τῆς ὑποθέσεως καὶ τῆς ἀληθείας ἀποδεικνυμένης φυλαττέσθω αὐτοῦ τὸ δίκαιον [2].

ΤΙΤΛΟΣ ιη΄.

Περὶ ἐγκλημάτων.

1. Μηδεὶς τὸν ἐν ἐκκλησίᾳ προσφεύγοντα βίᾳ ἀφαιρείσθω, ἀλλὰ τὴν αἰτίαν τοῦ προσφύγου δηλοποιείτω τῷ ἱερεῖ, καὶ παρ' αὐτοῦ μετὰ τῶν ἀσφαλῶν παραλαμβανέτω τὸν προσφυγόντα τοῦ νομίμως ζητηθῆναι καὶ διοικηθῆναι τὸ κατ' αὐτὸν κεφάλαιον. εἰ δέ τις δοκιμάσει χειρὶ ἀπὸ ἐκκλησίας πρόσφυγον ἐπάραι τὸν οἱονδήποτε, ὁ τοιοῦτος δώδεκα ἀλλακτὰ λαμβανέτω, καὶ τότε κατὰ τὸ πρέπον τὸ τοῦ προσφύγου ἐκζητείσθω κεφάλαιον [1].

2. Ὁ ἐκ δικαστικῆς ψήφου ἢ ἐπὶ μαρτυρίαν παραγενόμενος ἢ ἐξ ἐπαγωγῆς ἀντιδίκου ἐφαπτόμενος τῶν ἁγίων εὐαγγελίων καὶ ἐπομνύων, μετὰ δὲ ταῦτα ἐπίορκος ἐπιδεικνύμενος γλωσσοκοπείσθω [2].

3. Ὁ κατὰ βασιλέως φρατριάζων ἢ βουλευόμενος, ἢ συνουσίας κατ' αὐτοῦ ποιῶν, τοῦτον ἥρμοζε κατ' αὐτὴν τὴν ὥραν θανατοῦσθαι, ὡς τὴν τοῦ παντὸς κατάλυσιν μελετήσαντα· ἀλλ' ἵνα μή τινες ἐχθρωδῶς πολλάκις διακείμενοι πρός τινας ἀκρίτως φονεύσωσιν ἀπολογίαν ἐσχάτως ποιήσαντες ὡς κατὰ τῆς βασιλείας λαλήσαντας, δέον τὸν τοιοῦτον κατὰ τὸν τόπον ὑπὸ στερεὰν φυλακὴν γενέσθαι καὶ τὰ περὶ αὐτοῦ τῷ βασιλεῖ αναφέρεσθαι, καὶ καθὼς λοιπὸν αὐτὸς ἀνακρίνει καὶ βουλεύσεται ποιεῖν, ποιείτω [3].

4. Τὰς κατὰ τῶν ἱερέων καὶ κληρικῶν γενομένας ὕβρεις ἐκδικείτω ὁ ἄρχων [4].

5. Ὁ ἱερέα ὑβρίζων ἐξοριζέσθω· εἰ δὲ καὶ τύπτων, χειροκοπείσθω· εἰ δὲ ἐν ἐκκλησίᾳ ἢ ἐν λιτῇ ἐπιχειρῶν, τυπτόμενος ἐξοριζέσθω [5].

---

[2] Ecl. eod. 2. — Paris. 1384 addit, quae Ecloga hoc titulo plura habet. Eadem Paris. 1720 in margine addit.

[1] Ecl. XVII, 1. [2] Ecl. eod. 2. [3] Ecl. eod. 3. [4] Athan. I, 2. [5] Ecl. XVII, 4.

6. Ὁ πρᾶγμα ἔχων μετά τινος καὶ μήτε ἀρχὴν προσφωνῶν, ἀλλὰ αὐτοβούλως κατ' ἐξουσίαν ἢ δυναστείαν χειρὶ ἐπιβαίνων καὶ ἐπαίρων τὸ οἱονοῦν, εἰ μὲν κατὰ ἀλήθειαν ἴδιον ζητῶν τοῦτο πεποίηκεν, ἐκπιπτέτω τοῦ ἰδίου πράγματος καὶ ἀναδιδότω αὐτό· εἰ δὲ καὶ ἀλλότριόν τι ἀπῆρεν, ὑπὸ μὲν τοῦ κατὰ τόπον ἄρχοντος δερέσθω ὡς μὴ ἀρχόμενος καὶ ἑαυτοῦ γενόμενος ἔκδικος, καὶ οὕτως τὴν ἀποκατάστασιν ποιείσθω ὅπερ ἀφείλατο [6].

7. Ἐὰν κριοὶ ἢ βόες ἢ ἵπποι ἢ χοῖροι συνέλθωσι κατ' ἀλλήλων, εἰ μὲν ὁ πρῶτος ἐλθὼν φονευθῇ, οὐκ ἐνέχεται ὁ κύριος τοῦ φονεύσαντος· εἰ δὲ καθ' οὗ ἐπῆλθεν ἀποθάνῃ, ἐνάγεται ὁ κύριος τοῦ φονεύσαντος, καὶ ἀποδίδωσι τὸ ζῶον τὸ φονεῦσαν ἢ τὸ τίμημα τῷ κυρίῳ τοῦ φονευθέντος [7].

8. Ὁ ἀποκλείσας ἀλλότρια θρέμματα καὶ λιμῷ ταῦτα διαφθείρας ἢ ἄλλως πως ἀνελὼν, εἰς τὸ διπλάσιον καταδικάζεται [8].

9. Ὁ κλέπτων ἐν φοσσάτῳ ἤτοι ἐξπεδίτῳ, εἰ μὲν ὅπλα, τυπτέσθω· εἰ δὲ ἄλογον, χειροκοπείσθω [9].

10. Ὁ κλέπτων ἐν ἑτέρῳ τόπῳ τῆς πολιτείας, ἐν πρώτοις μὲν, ἐλεύθερος ὢν διπλῆν τὴν τιμὴν τοῦ κλαπέντος παρεχέτω, εἰ δὲ καὶ ἄπορός ἐστιν, τυπτόμενος ἐξοριζέσθω· δεύτερον χειροκοπείσθω [10].

11. Οἱ ἐν χωρίῳ εὑρισκόμενοι κλέπτοντες σῖτον ἢ οἶνον ἢ ἔλαιον, τυπτέσθωσαν ἐν πρώτοις μάστιγας ἑκατὸν καὶ τὸ ἀζήμιον ποιείτωσαν τῷ κλαπέντι· εἰ δὲ ἐν δευτέροις φανῶσι, τυπτόμενοι ζημιούσθωσαν ἐν διπλῇ ποσότητι· εἰ δὲ καὶ τρίτον, τυφλούσθωσαν [11].

12. Ἀνευθύνως ἕκαστος φονευέτω τὸν νυκτερινὸν κλέπτην, κἂν στρατιώτης ἐστίν [12].

13. Οἱ ἐν καιρῷ τοῦ θέρους εὑρισκόμενοι κλέπτοντες δεμάτια ἢ στάχυας ἢ ὄσπρια, μαστιζόμενοι τῶν χιτώνων στερείσθωσαν [13].

14. Οἱ ἐν ἀμπέλοις ἢ συκοῖς ἀλλοτρίοις εἰσερχόμενοι βρώσεως ἕνεκα, ἀθῷοι ἔστωσαν· εἰ δὲ κλοπῆς, τυπτόμενοι τῶν χιτώνων στερείσθωσαν [14].

15. Ὁ κλέπτων ἄροτρον ἢ ὑνὴν ἢ ζευγητήρια ζημιούσθω καθ' ἑκάστην ἡμέραν, ἀφ' ἧς τὸ κλέμμα ἐποίησεν, φόλλεις δώδεκα [15].

---

[6] Ecl. XVII, 5. [7] Ecl. eod. 9. [8] Ecl. eod. 8. [9] Ecl. eod. 10. [10] Ecl. eod. 11. [11] Leges rust. II, 12. [12] Cf. Proch. XXXIX, 4. [13] Leges rust. II, 8. [14] Leges rust. II, 9. [15] Leges rust. II, 10.

16. Ὁ κλέψας ἅμαξαν εἰς τὸ διπλάσιον καταδικάζεται [16].

17. Ὁ τοῦ κλέπτου δούλου κύριος, εἰ μὲν βούλεται ἔχειν τὸν τοιοῦτον δοῦλον, τὸ ἀζήμιον ποιείτω τῷ κλαπέντι· μὴ βουλόμενος δὲ ἔχειν αὐτὸν, τοῦτον ἀποδιδότω εἰς τελείαν δεσποτείαν τῷ κλαπέντι [17].

18. Ἐὰν δοῦλος θελήσῃ ἐν νυκτὶ κλέψαι καὶ ἀπελάσῃ ἐκ τῆς μάνδρας τὰ θρέμματα καὶ ἀπόλωνται ἢ θηριάλωτα γένωνται, φουλκιζέσθω. εἰ δὲ ἐλεύθερός ἐστιν, τυφλούσθω [18].

19. Ἐάν τις κλέψῃ βοῦν ἢ ὄνον καὶ ἐλεγχθῇ, δώσει αὐτὸν καὶ τὴν ἐργασίαν αὐτοῦ [19].

20. Ἐάν τις σφάξῃ βοῦν καὶ ἄρῃ τὰ κρέα αὐτοῦ, χειροκοπείσθω [20].

21. Ἐάν τις εὑρεθῇ κλέπτων ἀλλοτρίαν καλάμην, ἐν διπλῇ ποσότητι παρεχέτω αὐτήν [21].

22. Ἐὰν εὑρεθῇ ὀπωροφύλαξ κλέπτων ἐν ᾧ φυλάττει τόπῳ, σφοδρῶς τυπτέσθω καὶ στερείσθω τοῦ μισθοῦ αὐτοῦ [22].

23. Οἱ ἀλλοτρίας ἀγέλης ἀπελασίας ποιούμενοι, εἰ μὲν πρῶτον τοῦτο ἐποίησαν, τυπτέσθωσαν· δεύτερον ἐξοριζέσθωσαν· τρίτον χειροκοπείσθωσαν· καὶ τὸ παρ᾽ αὐτῶν ἀπελαυνόμενον τῇ ἰδίᾳ ἀποκαθιστάσθω δεσποτείᾳ [23].

24. Οἱ τοὺς νεκροὺς ἐν τοῖς τάφοις ἐκδύοντες χειροκοπείσθωσαν [24].

25. Οἱ εἰσερχόμενοι ἐν θυσιαστηρίῳ ἐν ἡμέρᾳ ἢ ἐν νυκτὶ καί τι τῶν ἱερῶν ἀφελόμενοι τυφλούσθωσαν· εἰ δὲ ἔξω τοῦ θυσιαστηρίου, δερέσθωσαν ὡς ἀσεβεῖς καὶ κουρευόμενοι ἐξοριζέσθωσαν [25].

26. Ὁ ὑπονοθεύων καὶ κλέπτων καὶ ἀφανῆ ποιῶν ἀλλότριον οἰκέτην, τὸ διπλάσιον δώσει τῷ κυρίῳ αὐτοῦ [26].

27. Ὁ σῶμα ἐλεύθερον κλέπτων καὶ πιπράσκων χειροκοπείσθω [27].

28. Οἱ παραχαράκται καὶ οἱ πλαστὴν μονίταν ποιοῦντες, μετὰ τῶν ὑπουργησάντων αὐτῶν χειροκοπείσθωσαν [28].

29. Ὁ στασιάζων τινὰ τῶν ἐνοσάντων, εἴτε μετὰ τοῦ γόμου αὐτοῦ εἴτε ἐκτὸς τῆς βαστάγας αὐτοῦ, ὅσα ἂν ἐπιβάλλει

---

[16] Leges rust. II, 11. [17] Ecl. XVII, 12. [18] Leges rust. IX, 2. [19] Leges rust. II, 6. [20] Leges rust. VI, 4. [21] Leges rust. II, 5. [22] Leges rust. II, 3. [23] Ecl. XVII, 13. [24] Ecl. eod. 14. [25] Ecl. eod. 15. [26] Ecl. eod. 17. [27] Ecl. eod. 16. [28] Ecl. eod. 18.

ἐπ᾽ αὐτὸν, μεθ᾽ ὅρκου διδότω αὐτό. πᾶς δὲ στασιάζων τῇ ἐσχάτῃ ὑπόκειται τιμωρίᾳ [29].

30. Εἰ προθερίσας ἢ προτρυγήσας εἰσαγάγῃ τὰ ἴδια κτήνη καὶ βλάβην τῷ πλησίον ποιήσῃ, τυπτέσθω μάστιγας τριάκοντα καὶ τὸ ἀζήμιον ποιείτω [30].

31. Ὁ κλάσας κεφαλὴν τοῦ πλησίον αὐτοῦ, δωσάτω σόλδιον ἕν.

32. Ὁ τυφλώσας ὀφθαλμὸν τοῦ πλησίον δώσει αὐτῷ σίκλους τριάκοντα.

33. Ὁ τῆς ῥινὸς τομὴν ποιήσας τὴν ταυτοπάθειαν ὑπομενέτω.

34. Ὁ τοὺς ὀδόντας ἐκριζῶν δώσει νομίσματα ιβ΄.

35. Ὁ βραχίονα κλάσας τὰς ἰατρείας παρεχέτω καὶ δωσάτω νομίσματα τρία.

36. Ὁ τὰ ἄρθρα ἢ τὸ σκέλος παραλύσας ὡς αὐτὸν ἀπολέσας δώσει νομίσματα ιβ΄.

37. Ὁ ψωρὸν ποιήσας δωσάτω νομίσματα ιβ΄. ὡσαύτως καὶ τὰς ἰατρείας καὶ τὰ ἀναλώματα ὅλου τοῦ ἐνιαυτοῦ.

38. Ὁ τὸν πώγωνα διαφθείρας, ὡς αὐτὸν ἀποσφαλτιώσας δωσάτω αὐτῷ νομίσματα γ΄ [31].

39. Ἐν τοῖς κινδύνοις ὀφείλει πᾶς ἄνθρωπος ἑαυτῷ βοηθεῖν καὶ μὴ τὴν τῶν νόμων ἀναμένειν βοήθειαν [32].

ΤΙΤΛΟΣ ιθ΄*.

Περὶ πόρνων καὶ μοιχῶν καὶ φθορέων καὶ ἀσελγῶν.

1. Ὁ γυναῖκα νόμιμον ἔχων καὶ εἰς πορνείαν εὑρισκόμενος, ὡς τὸ ῥῆμα τοῦ κυρίου καταφρονῶν τὸ δίδασκον· μὴ πορνεύσῃς, τυπτέσθω ἀλλακτὰ δώδεκα πρὸς σωφρονισμόν [1].

2. Ὁ μὴ ἔχων γυναῖκα καὶ πορνεύων, δι᾽ ἓξ ἀλλακτῶν σωφρονιζέσθω [2].

3. Ὁ γυναῖκα ἔχων καὶ τῇ ἰδίᾳ συγγινόμενος δούλῃ, διαγινωσκομένου τοῦ πράγματος, ταύτην ὑπὸ τοῦ κατὰ τόπον ἄρ-

---

[29] Fontem huius loci non invenio. [30] Leges rust. V, 1. [31] Cf. Proch. a me editum p. CLII. [32] Theodori Cod. IX, 16, 2. (Basil. ed. Heimb. V p. 768.)

* Paris. 1384 vocat τί. ιή. [1] Ecl. XVII, 19. [2] Ecl. eod. 20.

χοντος ἐπαίρεσθαι καὶ παρ' αὐτοῦ ὑπὲρ ἐπαρχίαν πιπράσκεσθαι, τῶν τιμῶν αὐτῆς εἰσκομιζομένων τῷ δημοσίῳ [3].

4. Ὁ πορνεύων εἰς δούλην ἀλλοτρίαν παρεχέτω τῷ κυρίῳ τῆς δούλης νομίσματα τριάκοντα [4].

5. Ὁ πορνεύων εἰς μονάστριαν ὡς τὴν ἐκκλησίαν τοῦ θεοῦ ἐνυβρίσας ῥινοκοπείσθω [5].

6. Οἱ τῇ ἰδίᾳ συντέκνῳ ὑπάνδρῳ ἢ χήρᾳ σαρκικῶς συμπλεκόμενοι, τυπτόμενοι σφοδρῶς ῥινοκοπείσθωσαν [6].

7. Ὁ εἰς γυναῖκα ὕπανδρον μοιχεύων, ῥινοκοπείσθω καὶ αὐτὸς καὶ ἡ μοιχαλίς, ὡς ἐντεῦθεν χωρισμοῦ γενομένου καὶ ἀπωλείας τέκνων προσερχομένης καὶ τοῦ κυριακοῦ λόγου μὴ φυλαττομένου τοῦ διδάσκοντος ὅτι ὁ θεὸς εἰς σάρκα μίαν ἐποίησεν αὐτούς. μετὰ δὲ τὸ ῥινοκοπηθῆναι τὴν μοιχαλίδα λαμβάνειν αὐτὴν τὰ ἴδια πράγματα, ἅπερ εἰσήγαγεν τῷ ἀνδρὶ αὐτῆς, καὶ μηδὲν ἕτερον· τὸν δὲ μοιχὸν ἐκ τῆς ἰδίας γυναικὸς μὴ χωρίζεσθαι, εἰ καὶ ἐρινοκοπήθη. μετὰ οὖν πολλῆς ἀκριβείας τὸ περὶ μοιχείας ζητείσθω κεφάλαιον, καὶ ἐπιτηρείτωσαν οἱ ἀκροαταὶ τοὺς κατηγόρους τῆς τοιαύτης ὑποθέσεως. καὶ εἰ μέν ἐστιν ὁ ἴδιος ἀνὴρ ἢ ὁ πατὴρ αὐτῆς ἢ ἡ μήτηρ ἢ ἀδελφὸς ἢ θεῖος ὁ κατηγορῶν, εὐπιστοτέρα ἡ πρόθεσις τῆς ζητήσεως αὐτῶν γίνεται· εἰ δὲ ξένοι εἰσὶν οἱ κατηγοροῦντες, δέον κανονίζεσθαι τὰ πρόσωπα, ποίας πολιτείας εἰσὶν, καὶ τούτους κατασφαλίζεσθαι καὶ ἀπαιτεῖν αὐτοὺς τὴν περὶ τούτου ἀπόδειξιν. καὶ εἰ μὲν ἀποδείξωσι τὴν μοιχείαν, ῥινοκοπείσθωσαν ὅ τε μοιχὸς καὶ ἡ μοιχαλίς. εἰ δὲ οὐκ ἀποδείξωσι, ἀλλὰ δι' ἔχθραν τὴν κατηγορίαν ἐποίησαν, τὴν ταυτοπάθειαν ὡς συκοφάνται ὑπομενέτωσαν, τοῦ τοιούτου συνοικεσίου ἀδιαλύτου μένοντος [7].

8. Ὁ τὸν μοιχὸν μετὰ τῆς ἰδίας γυναικὸς ἐν συμπλοκῇ καταλαβὼν, εἰ συμβῇ αὐτοὺς ἀνελεῖν, οὐκ εὐθύνεται ὡς ἀνδροφόνος. εἰ δὲ ἑνὸς ἐξ αὐτῶν φείσεται, εὐθύνεται. εἰ δὲ ὡς εἰκὸς ὑποπτεύσει τίς τινα βούλεσθαι τῆς ἰδίας γυναικὸς συμπλέξαι τὴν σωφροσύνην, καὶ παραγγελίας αὐτῷ ἐγγράφους τρεῖς ἐκπέμψει ἐχούσας μαρτυρίας ἀξιοπίστων ἀνδρῶν, καὶ μετὰ ταῦτα εὕροι αὐτὸν συντυγχάνοντα τῇ ἰδίᾳ γαμετῇ εἰς τὸν ἴδιον οἶκον ἢ εἰς τὸν τοῦ μοιχοῦ, ἢ ἐν προαστείῳ, ἢ ἐν προπιναῖς, ἄδειαν ἔχειν τὸν ἄνδρα οἰκείαις χερσὶν τοῦτον ἀνελεῖν καὶ μη-

---

[3] Ecl. XVII, 21. [4] Ecl. eod. 22. [5] Ecl. eod. 23. [6] Ecl. eod. 26.
[7] Ecl. eod. 27.

δένα κίνδυνον εὐλαβούμενον. ἄδειαν δὲ εἶναι τῷ ἀνδρὶ ὡς ἂν βούλεται τῆς ἰδίας γαμετῆς κατηγορεῖν καὶ κατὰ τοὺς νόμους τῷ ἐγκλήματι ἐπεξιέναι [8].

9. Ὁ τῇ ἰδίᾳ γαμετῇ μοιχείαν συγγινώσκων καὶ παραχωρῶν τυπτόμενος ἐξοριζέσθω [9].

10. Ὁ μοιχεύων τὴν ὑπὸ πολλῶν ἀφανιζομένην, ἢ τὴν ἐν ἐργαστηρίῳ, οὐ κατέχεται τῷ περὶ μοιχείας ἐγκλήματι [10].

11. Ὁ μοιχὸς καὶ οἱ μέσοι καὶ οἱ ὑπουργοὶ τῷ τοιούτῳ ἀσεβήματι γεγονότες, κεφαλικῇ ὑποβάλλονται τιμωρίᾳ [11].

12. Ὁ συγγενόμενος κόρῃ παρθένῳ, προαιρέσει μὲν τῆς κόρης, ἀγνώμῃ δὲ τῶν αὐτῆς γονέων, τοῦτο δὲ διαγινωσκομένου εἰ μὲν ἕλωνται ἑκουσίως οἱ γονεῖς αὐτῆς γαμβρὸν αὐτὸν λαμβάνειν, θέλοντος κἀκείνου, γενέσθω τὸ συνάλλαγμα. εἰ δὲ ἓν τῶν μερῶν τοῦτο οὐ βούλεται ποιῆσαι, εἰ μέν ἐστιν εὔπορος ὁ φθορεὺς, δωσάτω τῇ κόρῃ χρυσίου λίτραν μίαν. εἰ δέ ἐστιν ἐνδεέστερος, διδότω αὐτῇ τὸ ἥμισυ τῆς ὑποστάσεως αὐτοῦ. εἰ δὲ πένης ἢ ἄπορος, δερέσθω καὶ κουρευέσθω καὶ ἐξοριζέσθω [12].

13. Ὁ βιαζόμενος κόρην καὶ φθείρων αὐτὴν ῥινοκοπείσθω [13].

14. Ὁ φθείρων κόρην πρὸ τῆς ἥβης ἤγουν τοῦ τρισκαιδεκάτου χρόνου, ῥινοκοπείσθω καὶ τὸ ἥμισυ τῆς ὑποστάσεως αὐτοῦ παρεχέτω τῇ φθαρείσῃ [14].

15. Ὁ τὴν ἀλλοτρίαν μνηστὴν φθείρων, εἰ μὲν προαιρέσει τῆς κόρης, ῥινοκοπείσθω [15].

16. Ὁ βιασάμενος χήραν σώφρονα τὸν βίον καὶ τὴν πολιτείαν, τυπτέσθω μάστιγας ο', ἢ καὶ φιλανθρωπίας ἀξιούμενος ζημιούσθω σίκλους ιβ'. ὁ δὲ ἀπολελυμένην βιασάμενος, λαμβανέτω μάστιγας ἕξ [16].

17. Ἐὰν γυνὴ πορνεύσῃ καὶ ἐπιβουλεύσηται τῇ ἰδίᾳ γαστρὶ πρὸς τὸ ἐκτρῶσαι, τυπτομένη καὶ δημεύσει ὑπόκειται [17].

18. Εἴ τις ὁρμάσηται κόρην καὶ μετὰ ταῦτα μονάσῃ, εἰ μὲν συγγενόμενος αὐτῇ τοῦτο πεποίηκεν, ἀπολογήσεται τῇ κόρῃ κατὰ τὸ πιττάκιον τὸ παρ' αὐτοῦ ὁμολογηθέν· εἰ δὲ οὐκ ἔγνω ταύτην, ἀζημίωτον αὐτὸν μένειν τῆς πρὸς τὴν κόρην συναλλαγῆς, ὡς πρὸς τὸν θεὸν τὴν καταφυγὴν ποιησάμενον [18].

19. Ὁ δύο γυναῖκας ἔχειν πειραθεὶς οὐ νόμῳ, ἀλλὰ

---

[8] Proch. XXXIX, 42. [9] Ecl. XVII, 28. [10] Theodori Cod. IX, 9, 22. App. Ecl. XXXVI, 2. [11] App. Ecl. XXXIV. [12] Ecl. XVII, 29. [13] Ecl. eod. 30. [14] Ecl. eod. 31. [15] Ecl. eod. 32. [16] Non invenio. [17] Cf. Ecl. XVII, 36. [18] Cf infra tit XXIII §. 13. Fontem non invenio.

φάκτῳ καὶ προαιρέσει, καλῶς ὑποστήσεται τὸ τῆς μοιχείας ἔγκλημα. ἡ δεύτερον αὐτῷ γαμηθεῖσα, εἰ ἠγνόει αὐτὸν ἔχειν νόμιμον γαμετὴν, συγγνωσθήσεται [19].

20. Οἱ αἱμομῖκται, γονεῖς πρὸς τέκνα, ἀδελφοὶ πρὸς ἀδελφὰς, ξίφει τιμωρείσθωσαν. οἱ δὲ πρὸς ἑτέραν συγγένειαν συμφθειρόμενοι οἷον πατὴρ εἰς γυναῖκα υἱοῦ ἢ υἱὸς εἰς μητρυιὰν ἢ πατρωὸς εἰς προγονὴν ἢ ἀδελφὸς εἰς γυναῖκα ἀδελφοῦ ἢ θεῖος εἰς ἀνεψιὰν ἢ ἀνεψιὸς εἰς θείαν, ῥινοκοπείσθωσαν. ὁμοίως καὶ εἰς δύο ἀδελφάς [20].

21. Ὡσαύτως καὶ εἰς μητέρα καὶ εἰς τὴν αὐτῆς θυγατέρα [21].

22. Ὁ δύο γαμετὰς ἔχων τυπτέσθω, ἐκδιωκομένου τοῦ ἐπεισάκτου γυναικίου μετὰ τῶν ἐξ αὐτῆς τεχθέντων τέκνων [22].

23. Οἱ ἀπὸ τοῦ παρόντος πρὸς γάμον συναπτόμενοι ἐξάδελφοι καὶ τὰ τούτων τέκνα καὶ μόνον, ἢ καὶ πατὴρ καὶ υἱὸς πρὸς μητέρα καὶ θυγατέρα, πρὸς τῷ χωρισμῷ καὶ τυπτέσθωσαν καὶ τῷ δημοσίῳ ἐπιμενέτωσαν [23].

24. Οἱ ἀσελγεῖς, ὅ τε ποιῶν καὶ ὁ ὑπομένων, ξίφει τιμωρείσθωσαν. εἰ δὲ ὁ ὑπομένων ἥττων τῶν δώδεκα ἐτῶν ἐστιν, συγχωρείσθω, ὡς τῆς ἡλικίας αὐτοῦ δηλούσης μὴ εἰδέναι αὐτὸν τὸ τί ὑπέμεινεν [24].

25. Οἱ ἀλογευόμενοι ἤγουν κτηνοβάται καυλοκοπείσθωσαν [25].

26. Γυνὴ ἀλογευομένη ξίφει τιμωρείσθω, φιλανθρωπίας δὲ ἀξιουμένη καταδουλούσθω [26].

ΤΙΤΛΟΣ κ΄.

Περὶ ἐμπρησμῶν.

1. Ὁ πῦρ ἐμβαλὼν ἐν ἀλλοτρίᾳ ὕλῃ ἢ κόπτων ἐξ αὐτῆς δένδρον, εἰς τὸ διπλάσιον καταδικάζεται [1].

2. Οἱ διά τινας ἔχθρας ἢ ἁρπαγὰς πραγμάτων ἐμπρησμὸν ἐν πόλει ποιοῦντες, πυρὶ καταδιδόσθωσαν. εἰ δὲ ἔξω πόλεως χωρία ἢ ἀγροὺς ἢ οἰκίας ἀγρῶν ἐξεπίτηδες ἐμπρήσωσι, ξίφει τιμωρείσθωσαν. εἰ δέ τις τὴν καλάμην τοῦ ἰδίου χωρα-

---

[19] Proch. XXXIX, 70. [20] Ecl. XVII, 33. [21] Ecl. eod. 34. [22] Ecl. eod. 35. [23] Ecl. eod. 37. [24] Ecl. eod. 38. [25] Ecl. eod. 39. [26] Ecl. priv. aucta XVII not. 35.

[1] Ecl. XVII, 40.

φίου ἢ τὰς ἀκάνθας βουλόμενος καῦσαι ἐμβάλλει πῦρ, τὸ δὲ πῦρ παρέλθῃ καὶ καύσῃ ἀλλότρια χωράφια ἢ ἀλλότριον ἀμπελῶνα, δεῖ περιεργάζεσθαι τὸν ἀκροατὴν, καὶ εἰ μὲν κατὰ ἀπειρίαν ἢ ῥᾳθυμίαν τοῦ ἐμβάλλοντος τὸ πῦρ τοῦτο γένονεν, τὸ ἀζήμιον τῷ βλαβέντι ποιείτω. εἰ δὲ ἐν ἡμέρᾳ ἐχούσῃ πολὺν ἄνεμον τὸ πῦρ ἔβαλεν καὶ εἰ μὴ παρεφυλάξατο παρελθεῖν τὸ πῦρ περαιτέρω, ὡς ἀμελήσας καὶ ῥᾴθυμος καταδικάζεται. εἰ δὲ πάντα μὲν παρεφυλάξατο, ἀθρῶον δὲ πνεῦμα βιαῖον ἐπέπεσεν καὶ πορῥωτέρω παρῆλθεν τὸ πῦρ, οὐ καταδικάζεται. εἰ δὲ ἐκ τοῦ συμβεβηκότος ἐμπρησθῇ ὁ οἶκος αὐτοῦ, καὶ πάθωσί τινα τῶν ἰδίων αὐτοῦ πραγμάτων, καὶ ἐκδράμῃ τὸ πῦρ καὶ ἐμπρήσει τινὰ τῶν συμπαρακειμένων αὐτῷ πραγμάτων καὶ οἰκημάτων, ἀνενόχλητος ἔστω, ὡς ἀκουσίου τοῦ τοιούτου ἐμπρησμοῦ γεγονότος [2].

3. Ὁ ἐμπρήσας ἑκουσίως ἀμπέλου φραγμὸν ἢ κόπτων ἀμπέλους ἢ ἀνάπτων, χειροκοπείσθω, ζημιούμενος καὶ τὴν βλάβην [3].

4. Οἱ ἐν ἅλωνι ἢ ἐν θημωνίᾳ πῦρ βάλλοντες πυρίκαυστοι ἔστωσαν [4].

5. Οἱ ἐν οἴκῳ ἀχύρου ἢ χόρτου πῦρ βάλλοντες χειροκοπείσθωσαν [5].

ΤΙΤΛΟΣ κα΄.

Περὶ φονέων καὶ γοήτων.

1. Ὁ φονεύων ἑκουσίως οἱασδήποτε ἡλικίας ἐστὶν, ξίφει τιμωρείσθω [1].

2. Ὁ μετὰ ξίφους πλήττων τινὰ, ἐὰν φονεύσῃ, ξίφει τιμωρείσθω. εἰ δὲ οὐκ ἀποθάνῃ ὁ πληγεὶς, χειροκοπείσθω ὁ δεδωκὼς, δι᾽ ὃ ὅλως μετὰ ξίφους δοῦναι ἐτόλμησεν [2].

3. Ἐὰν μάχης μεταξύ τινων γενομένης συμβῇ θάνατον παρελθεῖν, συντηρείτωσαν οἱ ἀκροαταὶ, δι᾽ ὧν ὀργάνων κατηργάσθη ὁ θάνατος· καὶ εἰ μὲν εὕρωσιν διὰ ξύλων τελείων ἢ λίθων μεγάλων καὶ λακτέων τὸν φόνον γενέσθαι, ὁ τοιοῦτος χει-

---

[2] Ecl. XVII, 41. [3] Leges rust. VIII, 3. [4] Leges rust. VIII, 4. [5] Leges rust. VIII, 5.

[1] Ecl. XVII, 45. [2] Ecl. ib. 46.

ροκοπείσθω· εἰ δι᾿ ἐλαφροτέρων τινῶν συμβῇ γενέσθαι τὸν θάνατον, τύπτεσθαι τὸν τοιοῦτον καὶ ἐξορίζεσθαι [3].

4. Ὁ ἐν μάχῃ μετὰ χειρὸς τύπτων καὶ φονεύων, τυπτέσθω καὶ ἐξοριζέσθω ὡς ἀκουσίως φονεύσας [4].

5. Εἴ τις τὸν ἴδιον οἰκέτην λώροις ἢ ῥάβδοις τύψῃ καὶ ἀποθάνῃ, οὐ κατακρίνεται ὡς ἀνδροφόνος. εἰ δὲ ἀμέτρως αὐτὸν ἐβασάνισεν ἢ καὶ προσέκαυσεν ἢ φαρμάκῳ ἀνεῖλεν, ὡς φόνον πεποιηκὼς τιμωρείσθω τυπτόμενος καὶ ἐξοριζέσθω [5].

6. Ὁ ἀκουσίως φόνον ποιήσας ἐξοριζέσθω [6].

7. Ὁ τὸ νήπιον φονεύσας τιμωρίᾳ φόνου ὑπόκειται. καὶ ὁ ἔλαττον τῶν εἴκοσι ε΄ ἐτῶν φονεύσας ἐνάγεται ὡς φονεύς [7].

8. Ἐὰν ὁ πατὴρ κατηγορήσῃ τινὸς περὶ φόνου τοῦ παιδὸς αὐτοῦ, καὶ ἀποφανθῇ κατὰ συκοφαντίαν κινήσας, οὐκ ἀτιμοῦται [8].

9. Ὁ ἁρπάζων καὶ μετατιθεὶς ὅρια διπλῆν τὴν ἁρπαγὴν ἀποδίδωσιν [9].

10. Ἐὰν δοῦλος ἢ δούλη ἀγνοοῦντος τοῦ δεσπότου ἀλλότριον ὅρον δόλῳ ἀποκλάσῃ, κεφαλικῶς τιμωρείσθω [10].

11. Οἱ μάγοι θηρίοις παραδιδόσθωσαν [11].

12. Ὁ μάγος καὶ μηδὲν ποιῶν κολάζεται [12].

13. Οὔτε ἴνφανς τουτέστιν ἑπταετής, οὔτε ὁ μαινόμενος φονεύων ὑπόκεινται θανάτῳ [13].

14. Ἐάν τις κόπτων ἐν δρυμῷ ξύλον οὐ προσέχῃ, ἀλλὰ πεσὸν ἀποκτείνῃ βοῦν ἢ ὄνον ἢ ἄλλο τὸ οἱονοῦν, ἀποδώσει ψυχὴν ἀντὶ ψυχῆς [14].

15. Ἐάν τις κόπτων δένδρον ἄνωθεν ἀγνωσίᾳ ῥίψῃ τὸν πέλεκα καὶ φονεύσῃ ἀλλότριον κτῆνος, ἀποδώσει αὐτό [15].

16. Οἱ γόητες καὶ οἱ φάρμακοι οἱ ἐπὶ βλάβην ἀνθρώπων προσλαλοῦντες δαίμοσι, ξίφει τιμωρείσθωσαν [16].

17. Ὁ οἱᾳδήποτε προφάσει διδοὺς ποτὸν, εἴτε ἐλεύθερος εἴτε δοῦλος, εἴτε γυνὴ ἀνδρὶ εἴτε ἀνὴρ γυναικὶ, εἴτε δοῦλοι αὐθένταις, καὶ ἀσθενείᾳ πεσὼν ὁ λαβὼν τὸν ποτὸν καὶ συμβῇ καταῤῥεῦσαι καὶ ἀποθάνῃ, ξίφει τιμωρείσθωσαν [17].

18. Ἐὰν ἐξεπίτηδες καθ᾿ οἱονδήποτε τρόπον τῇ οἰκείᾳ

---

[3] Ecl. ib. 47. [4] Ecl. ib. 48. [5] Ecl. ib. 49. [6] Proch. XXXIX, 86. [7] Proch. eod. 12. [8] Proch. eod. 81. [9] Proch. eod. 48. Cf. infra tit. XXIV §. 23. [10] Dig. XLVII, 21, 3 §. 1. Cf. infra tit. XXIV §. 26. [11] Cod. IX, 18, 6. Vide infra XXXV, 13. [12] Cod. ibid. 4. Vide infra eod. 12. [13] Proch. XXXIX, 80. [14] Leges rust. VI, 1. [15] Leges rust. VI, 2. [16] Ecl. XVII, 43. [17] Ecl. XVII, 42.

γαστρὶ ἐπιβουλεύσῃ γυνὴ πρὸς τὸ ἐκτρῶσαι, τυπτομένη ἐξοριζέσθω [18].

19. Οἱ φυλακτήρια ποιοῦντες τὸ δοκεῖν ἐπ' ὠφελείᾳ ἀνθρώπων διὰ ἰδίαν αἰσχροκέρδειαν, δημευόμενοι ἐξοριζέσθωσαν [19].

20. Οἱ μανιχαῖοι καὶ οἱ μοντανοὶ ξίφει τιμωρείσθωσαν [20].

21. Οἱ συκοφάνται ἐν οἱᾳδήποτε αἰτίᾳ συκοφαντήσουσί τινα, τῇ ταυτοπαθείᾳ ὑποκείσθωσαν [21].

ΤΙΤΛΟΣ κβ'.

Περὶ ὑπεξουσιότητος καὶ χειροτονίας ἐπισκόπων καὶ πρεσβυτέρων.

1. Ἔγνωμεν, ὅτι τὴν ἐξουσίαν ἔχομεν κατὰ τῶν ἡμετέρων οἰκετῶν καὶ κατὰ τῶν ἡμετέρων παίδων, τὸ μὲν φυσικῶν, τὸ δὲ καὶ θετῶν. λύεται δὲ ἡ ὑπεξουσιότης οἰκετῶν ἐν τῇ ἐλευθερίᾳ, καὶ τῶν παίδων ἐν τῷ στεφάνῳ. τελευτήσαντος δὲ τοῦ πατρὸς ἀμάχως οἱ παῖδες αὐτεξούσιοι γίνονται [1].

2. Ἡ πατρικιότης καὶ ἡ ἔμπρακτος ἐπαρχότης καὶ η στρατηγία καὶ ἐπισκοπὴ λύει τὴν ὑπεξουσιότητα [2].

3. Ὁ μέλλων αὐτεξούσιον τὸν παῖδα αὐτοῦ ποιῆσαι προσιέτω τῷ ἄρχοντι καὶ λεγέτω αὐτῷ, ὅτι τὸν παῖδά μου ποιῶ αὐτεξούσιον καὶ τῆς ἐμαυτοῦ χειρὸς ἀφίημι [3].

4. Περὶ ἐπισκόπων. — Οἱ κληρικοὶ καὶ οἱ πρῶτοι τῆς πόλεως προκειμένων τῶν ἁγίων εὐαγγελίων ἐπὶ τρισὶ προσώποις τὸ ψήφισμα ποιείτωσαν τῶν ἐπισκόπων, ὀμνύοντες ὡς οὐδὲ διὰ δόσιν οὐδὲ δι' ἄλλην τινὰ προσπάθειαν ἐπελέξαντο αὐτούς, [ἀλλ' ὡς εἰδότες αὐτοὺς] ὄντας τῆς καθολικῆς ἐκκλησίας καὶ σεμνοῦ βίου καὶ ὑπὲρ τὰ τριάκοντα ἔτη καὶ ὡς οὔτε γαμετὴν οὔτε παῖδας ἔσχον, ἀλλ' ὅτι καὶ εἰ ἔσχον, μίαν καὶ μόνην ἐκ παρθενίας καὶ οὐ χήραν οὐδὲ διαζευχθεῖσαν ἀνδρὸς ἀλλὰ καὶ τοῖς νόμοις μὴ ἀπηγορευμένην [4].

5. Ὁ χειροτονούμενος ἐπίσκοπος λίβελλον πρῶτον διδότω τῆς ἰδίας πίστεως, καὶ ἀπαγγελλέτω τὰς εὐχάς, καὶ ὀμνυέτω μηδὲν δοῦναι μήτε μὴν ἐπαγγέλλεσθαι παρασχεῖν τινι ὑπὲρ τῆς

---

[18] Cf. Ecl priv. aucta XVII, 27. [19] Ecl. XVII, 44. [20] Ecl. XVII, 52. [21] Ecl. XVII, 51.

[1] Proch. XXVI, 1. [2] Proch. ib. 2. 8. [3] Proch. ib. 5. [4] Proch. XXVIII, 1.

χειροτονίας. ἐὰν δέ τι παρὰ τὰ εἰρημένα γένηται, καὶ ὁ γενόμενος ἐπίσκοπος καὶ ὁ χειροτονῶν αὐτὸν ἐκβάλλονται τῆς ἐκκλησίας [5].

6. Ἐὰν κατηγορηθῇ ὁ μέλλων χειροτονεῖσθαι ὡς ἀνεπιτήδειος, ἀναβαλλέσθω ἡ χειροτονία, καὶ προβαινέτω ἐξέτασις παρόντος τοῦ ἀντιδίκου ἢ ἀπόντος ἐντὸς τριῶν μηνῶν. καὶ εἰ εὑρεθῇ ὑπαίτιος κατὰ νόμους ἢ κανόνας, κωλυέσθω· εἰ δὲ ἀνεύθυνος εὑρεθῇ, χειροτονείσθω [6].

7. Εἰ δὲ ὁ κατήγορος παρὼν μὴ δείξει ἃ διεβεβαιώσατο ἢ ἀπολειφθῇ, εἰ μὲν κληρικός ἐστιν, τῆς ἐκκλησίας ἐκβαλλέσθω, εἰ δὲ λαϊκός, σωφρονιζέσθω [7].

8. Ἐπίσκοπος μὴ παραγενέσθω εἰς μαρτυρίαν, ἀλλ' ἐν τῷ ἰδίῳ ἐπισκοπείῳ προτιθεμένων τῶν ἁγίων εὐαγγελίων δημοσίων παρόντων προσώπων μαρτυρείτω ἅπερ γινώσκει [8].

9. Οἱ ἐπίσκοποι καὶ οἱ οἰκήτορες τὰς ἀδικίας τῶν ἀρχόντων μηνυέτωσαν τῷ βασιλεῖ [9].

10. Τὰς κανονικὰς ἐπιζητήσεις ἅμα τῷ τῆς πόλεως ἐπισκόπῳ διακρίνεται ὁ ἄρχων [10].

11. Πάντων τῶν ἐκκλησιαστικῶν πραγμάτων ὁ ἐπίσκοπος ἐχέτω τὴν φροντίδα καὶ διοικείτω αὐτὰ ὡς θεοῦ ὑπακούοντος· μὴ ἐξὸν δὲ αὐτὸν σφετερίζεσθαί τι ἐξ αὐτῶν ἢ συγγενέσιν ἰδίοις τὰ τοῦ θεοῦ χαρίζεσθαι· εἰ δὲ πένητες ὦσιν, χορηγείτω αὐτοῖς ὡς πένησι, ἀλλὰ μὴ προφάσει τούτων τὰ τῆς ἐκκλησίας ἀπεμπολείτω [11].

12. Ἔστω φανερὰ τὰ ἴδια τοῦ ἐπισκόπου πράγματα, καὶ φανερὰ τὰ κυριακά, ἵνα τελευτῶν ἐξουσίαν ἔχῃ τῶν ἰδίων ὡς βούλεται καταλεῖψαι, καὶ μὴ προφάσει τῶν ἐκκλησιαστικῶν πραγμάτων διαπίπτειν καὶ τὰ τοῦ ἐπισκόπου. δίκαιον δὲ τοῦτο παρὰ θεῷ καὶ ἀνθρώποις τὸ μηκέτι τὴν ἐκκλησίαν ζημίαν τινὰ ὑπομένειν [12].

13. Εἰ γὰρ τὰς τιμίας τῶν ἀνθρώπων ψυχὰς ἐμπιστεύεται ὁ ἐπίσκοπος, πολλῷ μᾶλλον [δέοι] ὑπὲρ τῶν χρημάτων ἐντέλλεσθαι, ὥστε κατὰ τὴν αὐτοῦ ἐξουσίαν ἅπαντα διοικεῖσθαι τοῖς δεομένοις διὰ τῶν πρεσβυτέρων καὶ διακόνων μετὰ φόβου θεοῦ καὶ πάσης εὐλαβείας· μεταλαμβάνειν δὲ καὶ αὐτὸν τῶν δεόντων· ὁ γὰρ νόμος τοῦ θεοῦ ἐδιδάξατο τοὺς τῷ θυσιαστηρίῳ προσεδρεύοντας τῷ θυσιαστηρίῳ τρέφεσθαι [13].

---

[5] Proch. eod. 2. [6] Proch. eod. 3. [7] Proch. eod. 4. [8] Athan. I, 2. [9] Athan. IV, 1. [10] Athan. IV, 3. [11] S. Apostol. c. 38. [12] S. Apostol. c. 40. [13] S. Apostol. c. 41.

14. *Διάκονος ἢ κληρικὸς ὑβρίσας πρεσβύτερον ἀφοριζέσθω*[14].

15. *Κληρικὸς ὑβρίσας πρεσβύτερον καθαιρείσθω*[15].

16. *Ὁ βουλόμενος ἀρχιερεῦσιν ἐπιχειρῆσαι ἢ τύψαι ἢ ἐκδιῶξαι τοῦ ἐπισκοπείου, διδότω τοῦ ποιμαίνος*[16] *τοῦ βασιλέως χρυσίου λίτρας τριάκοντα.*

17. *Ὁ ἐκ τοῦ κλήρου τοῦ ἀρχιερέως τινὰ τύπτων, ἢ ἐν ἐκκλησίᾳ ἢ ἐν λιτῇ, ζημιούσθω χρυσίου σίκλους ιβ΄.*

18. *Τὰ γὰρ τοῦ βυζαντίου διοικήματα οἱ τὰ βραβεῖα φέροντες αὐτοὶ*[17] *τὰς χρείας ἀνακρίνονται, οὕτως καὶ οἱ τῶν εὐαγῶν ἐκκλησιῶν κληρικοὶ ἀποδείκνυνται*[18].

19. *Πρεσβύτερος ἢ διάκονος ἐπὶ χρηματικῇ ὑποθέσει ψευδομαρτυρῶν, ἐπὶ τριετίαν χωριζέσθω τῆς λειτουργίας καὶ εἰς μοναστήριον ἐμβαλλέσθω. εἰ δὲ ἐπὶ ἐγκληματικῇ αἰτίᾳ ψευδομαρτυρήσει, γυμνοῦται τῆς χειροτονίας καὶ νομίμως τιμωρεῖται. οἱ δὲ λοιποὶ κληρικοὶ ἐπὶ πάσῃ αἰτίᾳ ψευδομαρτυροῦντες ὑπόκεινται βασάνοις*[19].

20. *Πρεσβύτερος ἢ διάκονος ἢ καὶ ὑποδιάκονος δευτερογαμήσας ἐξωθείσθω τῆς χειροτονίας. εἰ δὲ ἀναγνώστης, μὴ προκοπτέτω*[20].

21. *Ὁ διγαμῶν μὴ χειροτονείσθω, μηδὲ ὁ χήραν γήμας ἢ ἀπολελυμένην ἢ ἐκ πορνείας*[21].

22. *Οἱ ἐκ διγαμίας τικτόμενοι εἰς κλῆρον μὴ ἀγέσθωσαν*[22].

23. *Ἱερεὺς ἐὰν ἐξεμέσῃ ἢ ἀφαιμάζῃ, οὐ δύναται λειτουργεῖν· ὁμοίως καὶ ὁ λαϊκὸς οὐ δύναται κοινωνεῖν. ἐὰν δὲ καὶ [ἐν] τῇ ἀναστάσει τοῦ κυρίου, οὐδὲ αὐτῇ μετέχεται. αἵματος δὲ ῥεύσαντος ἐκ τῆς ῥινὸς, οὐ μετέχει· εἰ δὲ ἐκ τῶν ὀδόντων, μετέχεται λαμβάνων κατηχούμενα*[23].

ΤΙΤΛΟΣ κγ΄.

Περὶ μοναστηρίου πεπραμένου καὶ περὶ μοναζόντων καὶ κτιζόντων εὐκτήρια.

1. *Ἐὰν μοναστήριον καθιδρυθῇ καὶ ἱερὰ λειτουργία γέγονεν καὶ μοναχικὴ ἄσκησις, καὶ πραθῇ ἢ δωρηθῇ, καὶ ὁ ἀγοραστὴς τοῦ πράγματος καὶ ὁ πράτης τοῦ τιμήματος ἐκπιπτέτω,*

---

[14] S. Apostol. c. 56. [15] S. Apostol. c. 55. [16] Forte *τοῖς πριβάτοις*. [17] Forte *κατά*. [18] Cap. 16—18 unde sumta sint nescio. [19] Athan. I, 2. [20] Athan. X, 2. [21] Athan. X, 2. [22] et [23] Non invenio.

καὶ τὸ τίμημα δίδοται ταῖς κατὰ τὸν τόπον ἐκκλησίαις καὶ μοναστηρίοις [1].

2. *Μοναστήριον οὐκ ἐκποιεῖται ἀπὸ τὸ ἱερατικὸν σχῆμα εἰς ἰδιωτικὴν μετασχηματισθῆναι διαγωγήν, ἐπεὶ ὁ ἐπίσκοπος ἐκδικεῖ αὐτὸ καὶ εἰς τὸ ἀρχαῖον σχῆμα ἐπανάγει* [2].

3. *Ὁ μέλλων εἰσιέναι ἐν μοναστηρίῳ διατιθέσθω [τὰ] καθ' ἑαυτὸν πρὸ τῆς εἰσόδου αὐτοῦ· ἐπεὶ προσκυροῦνται τῷ μοναστηρίῳ πάντα τὰ αὐτοῦ, κἂν μὴ ῥητῶς φησιν εἰσαγαγεῖν αὐτά, κατ' οὐδένα τρόπον κυριεύσει αὐτῶν* [3].

4. *Ὁ ἐπὶ παισὶ μονάσας δύναται καὶ μετὰ τὸ μονάσαι διελεῖν τὴν οὐσίαν αὐτοῦ τοῖς ἰδίοις παισὶ, φυλάττων ἓν μέρος, ὃ καὶ τῷ μοναστηρίῳ ἁρμόζει. εἰ δὲ καὶ ἀδιάθετος τελευτήσει, τότε οἱ παῖδες αὐτοῦ λήψονται τὸ ἐξ ἀδιαθέτου τουτέστιν τὸ φαλκίδιον, καὶ τὸ λοιπὸν δίδοται τῷ μοναστηρίῳ* [4].

5. *Ἐὰν ἀγνοεῖ τὴν τύχην τοῦ μέλλοντος μονάζειν ὁ ἡγούμενος, πρὸ τριετίας μὴ παρεχέτω αὐτῷ τὸ σχῆμα, μετὰ δὲ τὴν τριετίαν, κἂν δοῦλός ἐστιν κἂν γεωργὸς κἂν ἐναπόγραφος, παρεχέτω. ἔστω γὰρ ἐλεύθερος, ἀποδιδοὺς τῷ δεσπότῃ, ἃ εἰσήγαγεν ἐν τῷ μοναστηρίῳ πράγματα. εἰ δὲ μετὰ ταῦτα πλανήτης γένηται, ἢ κοσμικὸν βίον μεταλλάξῃ, τῇ προτέρᾳ δίδοται τύχῃ* [5].

6. *Ὁ ἀπὸ μοναστηρίου εἰς ἕτερον μετελθών, τῷ προτέρῳ τὰ οἰκεῖα κατασκευάζει* [6].

7. *Ὁ ἀπὸ μοναχῶν γενόμενος κοσμικὸς, μεθ' ὧν ἐπεκτήσατο εἰς ἕτερον ἐμβαλλέσθω μοναστήριον· εἰ δὲ πάλιν γίνεται κοσμικὸς, τῇ τάξει παραδιδόσθω* [7].

8. *Ὁ μονάσας ἀζημίως λύει τὴν μνηστείαν. εἰ δὲ γήμας μονάσει, τῷ ἀπὸ τελευτῆς ὑπόκειται κάσῳ· ἀμφοτέρων δὲ μονασάντων, ἀζημίως ὁ γάμος λύεται* [8].

9. *Ἐν ἀνδρικοῖς μοναστηρίοις μὴ ὁρᾶσθαι γυναῖκα μηδὲ θάπτεσθαι, μηδὲ [ἐν] γυναικείοις ἄνδρα* [9].

10. *Μονάστρια ἢ ἀσκήτρια ὑπὲρ μηδεμιᾶς αἰτίας ἀφελκέσθω τῶν ἰδίων* [10].

11. *Μὴ ἀρχέσθω τὶς οἰκοδομεῖν εὐκτήριον ἢ μοναστήριον, ἕως ἂν τῷ τόπῳ ἐπίσκοπος εὐχὴν ποιήσει καὶ τὸν τίμιον σταυρὸν πήξει* [11].

---

[1] Nov. 7 c. 11. [2] Nov. 120 c. 7 §. 1. [3] Proch. XXIV, 2. [4] Proch. eod 3. [5] Ath. I, 2. [6] Ath. I, 2. [7] Ath. I, 2. [8] Ath. I, 2. [9] Nov. 133. [10] Ath. IV, 22. [11] Nov. 5.

12. Ὁ ἀρξάμενος νέον εὐκτήριον οἰκοδομεῖν ἢ παλαιὸν [ἀνοικοδομεῖν] ἀναγκάζεται [αὐτὸς] καὶ ὁ κληρονόμος αὐτοῦ παρὰ τοῦ ἐπισκόπου τῆς πόλεως καὶ τῶν οἰκονόμων καὶ τοῦ ἄρχοντος τὸ ἀρχθὲν πληρῶσαι [12].

13. Εἰ δέ τις ὁρμάσηται κόρην καὶ μετὰ ταῦτα μονάσῃ, εἰ μὲν συγγενόμενος αὐτῇ τοῦτο πεποίηκεν, ἀπολογήσεται τῇ κόρῃ κατὰ τὸ πιττάκιον τὸ παρ᾽ αὐτοῦ ὁμολογηθέν. εἰ δὲ οὐκ ἔγνω αὐτὴν, ἀζημίωτον αὐτὸν μένειν τῆς πρὸς τὴν κόρην συναλλαγῆς, ὡς πρὸς τὸν θεὸν τὴν καταφυγὴν ποιησάμενον [13].

ΤΙΤΛΟΣ κδʹ.

Περὶ καινοτομιῶν καὶ πηγῶν καὶ ὁδῶν καὶ ποταμῶν καὶ ὁροθεσιῶν καὶ δένδρων.

1. Τὸν ἐπίκοινον τοῖχον οὐδ᾽ ἕτερος τῶν κοινωνῶν δύναται καταλύειν ἢ ἀνανεοῦν παραγνώμην τοῦ κοινωνοῦ, ἐπειδὴ οὐκ ἔστιν μόνος δεσπότης [1].

2. Τῷ δούλῳ κτίζοντι καλῶς παραγγέλλει τὶς περὶ καινοτομίας, δοῦλος δὲ ἑτέρῳ κτίζοντι παραγγέλλειν οὐ δύναται [2].

3. Προστάττομεν, ὁ τὸν παλαιὸν οἶκον ἀνανεῶν τὸ ἀρχαῖον σχῆμα μὴ παρεξίτω μήτε ἀφαιρείσθω τὰ φῶτα ἢ τὴν ἄποψιν τῶν γειτόνων, εἰ μὴ ἄρα δουλείαν ἔχει τοιαύτην κατὰ σύμφωνον ἢ ἐπερώτησιν παραχωρηθεῖσαν αὐτῷ ἐπιτρέπουσαν ὡς βούλεται τὸ παλαιὸν ἐναμείβειν σχῆμα. ὁ γὰρ τὴν τοιαύτην ἔχων δουλείαν ἀκωλύτως ἃ βούλεται οἰκοδομείτω, εἰ καὶ βλάπτει τοὺς γείτονας, ἐπειδὴ καὶ τοῦτο κατὰ σύμφωνον ἢ ἐπερώτησιν αὐτῷ ἐπιτέτραπται. ἡνίκα δύο οἰκίαι ἄντικρυς ἵστανται, χρὴ μεταξὺ αὐτῶν δώδεκα πόδας εἶναι, ἀρχομένους ὑπὸ τοῖς θεμελίοις· τούτου γὰρ τοῦ διαστήματος φυλαττομένου ἔξεστιν εἰς ἄπειρον ὕψος τὸν ἴδιον ἐγεῖραι οἶκον καὶ θυρίδας καὶ παρακυπτικὰ καὶ φωταγωγὰ ποιεῖν [3].

4. Ἐν ταύτῃ τῇ εὐδαίμονι πόλει ἄποψιν τοῦ γείτονος δώδεκα μόνους ἀπαιτῶν πόδας μὴ ἀφαιρείσθω, ἐὰν ἐξ εὐθείας ὁρᾷ τὴν θάλασσαν [ἑστὼς] ἐν τοῖς ἰδίοις οἴκοις ἢ καθήμενος ἐν αὐτοῖς καὶ [μὴ] ἀναγκαζόμενος παραπέμπειν ἑαυτὸν εἰς πλά-

---

[12] Nov. 131. [13] Cf. supra tit. XIX §. 18.

[1] Proch. XXXVIII, 11. [2] Proch. eod. 2. [3] Proch. eod. 4.

γιον ἐφ' ᾧ ἰδεῖν θάλασσαν· ἐὰν δὲ ἑκατὸν ποδῶν ἐν μέσῳ τῶν δύο εἴη διάστημα, ἔξεστιν ἀκωλύτως κτίζειν τῷ βουλομένῳ καὶ τὴν ἐπὶ θάλασσαν ἄποψιν ἀφαιρεῖν τοῦ γείτονος [4].

5. Ἀπὸ γυμνοῦ τόπου οὐκ ἐστιν κώλυσις τοῦ ὕψοῦν [5].

6. Ἐὰν ὁ τοῖχός σου κατὰ τοῦ οἴκου μου κλίνει ἥμισυ ποδὸς, ἀναγκάζω σε ἀνορθοῦν αὐτόν [6].

7. Εἰ δέ τις σωλάρια ἢ ἐξώστας ἢ κλίμακας βούλεται ποιῆσαι μεταξὺ δύο γειτόνων, δέκα ποδῶν τὸ ἐν μέσῳ φυλαττέσθω διάστημα. εἰ δὲ μὴ ἔχει δέκα πόδας, καὶ γίνεται σωλάρια ἢ κλίμαξ, καὶ αὐτὸ τὸ γινόμενον ἐκκόπτεται, καὶ ὁ κύριος τοῦ οἴκου λίτραν μίαν ζημιούσθω [7].

8. Ὁ μετὰ παραγγελίαν κτίζων ἄνευ συγχωρήσεως [ἢ] ἱκανῶν, καταλυέσθω τὸ ἔργον, κἂν ὑψηλὸν ᾖ τὸ κτίσμα [8].

9. Ἐὰν δένδρον τοῦ γείτονος ἐν μεσαυλίῳ, μεγάλας ἐκτείνῃ τὰς ῥίζας καὶ τοὺς θεμελίους τῆς οἰκίας βλάπτῃ, τῇ προνοίᾳ τοῦ ἄρχοντος ἀναγκάζεται ὁ γείτων ἐκτεμεῖν [9].

10. Οὔτε φοῦρνον οὔτε ἑστίαν ἐν τῷ ἐπικοίνῳ τοίχῳ δύναταί τις ποιεῖν, ἐν ᾧ τὸν ἐπίκοινον τοῖχον τὸ πῦρ καταβλάπτει [10].

11. Εἰ δέ τις ποιήσει τυρεψεῖον, ἐξ οὗ ὁ καπνὸς ἐκπεμπόμενος καταβλάπτει τοὺς ὑψηλοτέρως κατοικοῦντας, κατὰ νόμους κωλύεται [11].

12. Οἱ ἐν ταῖς ὑψηλοτέραις στέγαις ὕδωρ ῥίπτοντες ἢ κόπρον, καὶ βλάπτουσι τοὺς χθαμαλωτέρως οἰκοῦντας, κεκώλυνται [12].

13. Κλίμαξ τοῦ κοινοῦ τοίχου πλησίον οὐδὲν βλάπτει [13].

14. Ἐὰν πηγὴ, ἀφ' ἧς ἕλκει τὶς ὕδωρ, ξηρανθεῖσα ἐπί τινας χρόνους, αὖθις πρὸς τὰς φλέβας ἐπανέλθῃ, καὶ πάλιν τὸ ὕδωρ ἄρξηται φέρεσθαι, ἀνανεοῦται αὐτῷ ἡ δουλεία καὶ ἀποκαθίσταται καθὼς ἦν τὸ πρῶτον [14].

15. Ὁ ἔχων δουλείαν τοῦ ποτίζειν καὶ βόσκειν ἐν τῷ ἀγρῷ σου θρέμματα, δύναται καὶ καλύβην ποιεῖν [15].

16. Ὁ δι' ἀλλοτρίου ἀγροῦ ἕλκων ὕδωρ· εἰδότος τοῦ δεσπότου τοῦ ἀγροῦ, κτᾶται κατ' αὐτοῦ τοῦ ἀγροῦ δουλείαν τῷ νενομισμένῳ χρόνῳ τουτέστιν τῷ τριετεῖ. ἐὰν δὲ πρὸ τοῦ παρελθεῖν τὸν χρόνον κωλύσῃ αὐτὸν ὁ δεσπότης τοῦ ἀγροῦ ἐπα-

---

[4] Proch. XXXVIII, 5. [5] Proch. eod. 12. [6] Proch. eod. 19. [7] Cod. VIII, 10, 11. [8] Dig. XXXIX, 1, 20 pr. [9] Proch. XXXVIII, 20. [10] Proch. eod. 17. [11] Proch. eod. 18. [12] Proch. eod. 18. [13] Proch. eod. 30. Cf. infra §. 37. [14] Proch. eod. 16. [15] Proch. eod. 44.

γαγεῖν τὸ ὕδωρ, οὐ δύναται ἀπαιτεῖν αὐτὸν τὰ περὶ τὸν ὅλκον γενόμενα αὐτῷ δαπανήματα, ἀλλὰ καὶ αὐτοῦ τοῦ ὅλκου δεσπότης γίνεται ὁ κύριος τοῦ ἐδάφους [16].

17. Ἐὰν ὁ προκτήτωρ οὐκ ἠδύνατο κωλῦσαι τὴν τοῦ ὕδατος πάροδον, οὐδὲ ὁ νῦν ἀγοραστὴς δύναται κωλύειν [17].

18. Ἡ δουλεία τοῦ ὕδατος ἐὰν οὕτως συστῇ, ὥστε ἐν μόνῳ τῷ θέρει κεχρῆσθαι αὐτῇ ἢ ἐν ἑνὶ μηνὶ ἢ ὑπὲρ ἐνιαυτὸν, διπλασιάζεται ὁ χρόνος τῆς ἀχρησίας [18].

19. Ἡνίκα δημοσία ὁδὸς σεισμοῦ συμβεβηκότος ἢ ἀποκλείσαντος αὐτὴν ποταμοῦ ἀπόληται, ὁ πλησιάζων δεσπότης ἀναγκάζεται παρέχειν τὴν δημοσίαν ὁδὸν διὰ τοῦ ἰδίου τόπου [19].

20. Ἐὰν ποταμὸς ῥέει μέσον δύο ἀγρῶν, τουτέστιν τοῦ σοῦ καὶ τοῦ ἐμοῦ, εἶτα κατὰ βραχὺ καὶ ἀνεπαισθήτως προσθήσει γῆν τῷ ἑνὶ μέρει ὡς μὴ δύνασθαι νοῆσαί τινα, πόσον καὶ ἐν ποίῳ χρόνῳ τὸ προστιθέμενον τοῦτο, μένει τῷ προστεθέντι [20].

21. Οἱ ἀρχαίους μετακινήσαντες ὅρους ἢ καὶ ἀγρούς τινας βίᾳ σκοπελίζοντες, κεφαλικῶς τιμωρείσθωσαν [21].

22. Οἱ τὰ ὁροθέσια τῶν ἀγρῶν ἀνατρέποντες, ἐὰν ἐπίσημοί εἰσιν καὶ διὰ κέρδος ἴδιον τοῦτο ἐποίησαν, τυπτόμενοι διηνεκῶς ἐξοριζέσθωσαν [22].

23. Οἱ ἁρπάζοντες γῆν ἢ μετατιθέντες ὅρια διπλῆν τὴν ἁρπαγὴν ἀποδιδοῦσιν [23].

24. Οἱ τὰ ὁροθέσια τῶν ἀγρῶν ἀφανίζοντες, δεινῶς τιμωροῦνται [24].

25. Ἐάν τις ἐρίει τὸ ἄσφαλτον τοῦ κληρονόμου αὐτοῦ, εἰ μὲν νιοχίας αὐτῷ ἔδωκεν, καθ' ἕκαστον ὄχυρον δωσάτω φόλλεις ἕξ· εἰ δὲ καὶ παντελῶς τὸ λίμητον ἐξέωσεν, δώσει τῷ κυρίῳ αὐτοῦ νομίσματα γ' [25].

26. Ἐὰν δοῦλος ἢ δούλη ἀγνοίᾳ τοῦ δεσπότου ἀλλοτρίους ὅρους ἀποκινήσωσιν, κεφαλικῶς τιμωροῦνται [26].

27. Ἐὰν δύο χωρία μάχωνται περὶ ὅρων ἢ ἀγρῶν, τηρείτωσαν οἱ ἀκροαταὶ, καὶ τῷ διακρατήσαντι [ἔτη] πλείονα ἀποδώσουσι τὸ δικαίωμα. εἰ δὲ καὶ ὅρος ἀρχαῖός ἐστιν, ἡ ἀρχαία κράτησις ἔστω ἀσάλευτος [27].

---

16 Proch. eod. 46. 17 Proch. eod. 47. 18 Proch. eod. 54. 19 Proch. eod. 57. 20 Proch. eod. 58. 21 Dig. XLVII, 11, 9. 22 Dig. XLVII, 21, 2. 23 Proch. XXXIX, 48. Cf. supra tit. XXI §. 9. 24 Cod. IX, 2, 1. 25 Fontem non invenio. Pro *ἐρίει* fortassis *ἐρύῃ*, pro *νιοχίας* vero *νεοχμίαν* legendum est. 26 Dig. XLVII, 21, 3 §. 1. Cf. supra tit. XXI §. 9. 27 Leg. rust. I, 9.

28. Ἐὰν δένδρον ἀνατραφῇ ὑπό τινος ἐν τόπῳ ἀμερίστῳ, καὶ μερισμοῦ γεγονότος ἔλαχεν εἰς ἄλλου μέρος, μὴ ἐχέτω τὴν ἐξουσίαν τοῦ δένδρου, ἀλλ᾽ ὁ ἀναθρεψάμενος. εἰ δὲ καταβοᾷ ὁ τοῦ τόπου κύριος, ὅτι ἀδικοῦμαι ὑπὸ τοῦ δένδρου, δένδρον δωσάτω τῷ ἀναθρεψαμένῳ καὶ ἐχέτω αὐτό [28].

29. Ἐὰν δένδρον ἵσταται ἐν μερίδι χωραφίου, εἰ μὲν κῆπός ἐστιν ἡ ἐγγὺς μερὶς καὶ σκιάζεται ὑπὸ τοῦ δένδρου, κλωνοκοπήσει αὐτὸ ὁ κύριος αὐτοῦ. εἰ δὲ οὐκ ἐστιν κῆπος, μὴ κλωνοκοπηθήτω [29].

30. Ἐὰν βλαβῇ σῶμα ἐλεύθερον, ἡ καταδίκη γίνεται εἰς τὴν δαπάνην τῆς ἰατρείας καὶ τὴν ἀπώλειαν [τῆς] ἐργασίας οὐ μὴν τῆς ἀμορφίας· σῶμα γὰρ ἐλεύθερον οὐ διατιμᾶται [30].

31. Ἐάν τις δημοσίαν ὁδὸν ἤτοι γῆν παρὰ ἀλλοτρίου χωρίου ὀρύττῃ, τὸν ὅρον μὴ παραβαίνειν. ἐὰν τειχίον, πόδα ἕνα ἀπολείπῃ· ἐὰν δὲ [οἴκημα], πόδας ἕξ· ἐὰν δὲ βόθρον ἢ τάφον ὀρύττῃ, ὅσον τὸ βάθος εἴη, τοσοῦτον ἀπολείπῃ· εἰ δὲ φρέαρ, οὐργίαν· εἰ μήπω φρέαρ προϋπάρχει τοῦ γείτονος καὶ διὰ τοῦ καινοῦ ἔργου βλάπτεται. ἐλαίαν δὲ καὶ συκῆν πόδας ἐννέα ἀπὸ τοῦ ἀλλοτρίου φυτεύειν· ὡσαύτως καὶ καρίαν· τὰ δ᾽ ἄλλα δένδρα πόδας πέντε [31].

32. Ὁ βουλόμενος πλησίον ἀλλοτρίου ἅλωνος οἰκοδομεῖν, ἐν ᾧ καταβλάπτει τὸν τοῦ τόπου δεσπότην, κωλύεται ἐξ αὐτοῦ [32].

33. Εἰ μέντοι πόδες ι΄ ἦσαν ἐν μέσῳ καὶ μὴ ἐλάττονες, τότε παρακυπτικὰς μὲν τῷ κτίζοντι μὴ ἐξέστω ποιεῖν· εἰ δὲ πρότερον εἶχεν αὐτὰς φωταγωγούς, θυρίδα παρασκευάζειν παρακυπτικήν [33].

34. Τὸν ἐπίκοινον τοῖχον οὐδέτερος τῶν κοινωνῶν δύναται καταλύειν ἢ ἀνανεοῦν παραγνώμην τοῦ κοινωνοῦ, ἐπειδὴ οὐκ ἐστιν μόνος δεσπότης [34].

35. Ἀπὸ γυμνοῦ τόπου οὐκ ἐστιν κώλυσις τοῦ ὑψοῦν [35].

36. Ἐὰν τὸν πεσόντα οἶκον ἀνανεῶν βούληται καὶ ὑψῶσαι καὶ ἐμποδίσαι τὸ τοῦ γείτονος φῶς ἢ ἕτερόν τι ποιῆσαι ἐπὶ βλάβῃ τοῦ γείτονος, ἀναγκάζεται καὶ τὸν τύπον καὶ τὴν κατάστασιν τῶν πρῴην οἰκημάτων καὶ τὸ παλαιὸν σχῆμα φυλάττειν [36].

---

[28] Leg. rust. VII, 1. [29] Leges rust. VII, 2. [30] Proch. XXXVIII, 61. [31] Proch. eod. 50. 51. [32] Proch. eod. 45. [33] Proch. eod. 10. Nonnulla epitomator circa finem omisit. [34] Proch. eod. 11. [35] Proch. eod. 12. [36] Proch. eod. 13.

37. *Κλίμακα κοινοῦ τοίχου πλησίον δύναμαι στῆσαι· οὐδεμία γὰρ ἐντεῦθεν προσγίνεται βλάβη διὰ τὸ τὴν ἀφαίρεσιν αὐτοῦ εὔκολον εἶναι* [37].

38. *Ὁ ξύλον πωλήσας ἔχον τὸ ξύλον τινὰ αἰτίαν, εἰ μὲν ἀγνοεῖ, κατέχεται τῇ περὶ ἐκδικήσεως ἀγωγῇ ἐπὶ τὸ πλεῖον τῆς ἀξίας τιμῆς· εἰ δὲ ἠπίστατο καὶ ἐσιώπησεν, κἀντεῦθεν ἠπάτησεν τὸν ἀγοραστὴν, ὅσα ἐκ ταύτης τῆς ἀγορασίας ὑπέστη ζημιώματα, ἀναγκάζεται παρασχεῖν· κἂν γὰρ ἐκ τῆς αἰτίας τοῦ ξύλου ὁ οἶκος κατέπεσεν, εἰς τὴν ἀποτίμησιν τοῦ οἴκου κατέχεται* [38].

ΤΙΤΛΟΣ κε΄.

Περὶ γεωργῶν Ἰουστινιανοῦ τοῦ βασιλέως [1].

1. *Χρὴ τὸν γεωργὸν ἐργαζόμενον τὸν ἴδιον ἀγρὸν εἶναι δίκαιον καὶ μὴ παρορίζειν αὔλακας τοῦ πλησίον. εἰ δὲ καὶ παρορίσει καὶ κολοβώσει τὴν μερίδα τὴν ἔγγιστα αὐτοῦ, καὶ σπείρει αὐτὴν, ἀπόλλει τὸν σπόρον καὶ τὴν γεωργίαν αὐτοῦ καὶ τὴν ἐπικαρπίαν.*

2. *Ἐάν τις γεωργὸς ἄνευ εἰδήσεως τοῦ κυρίου τῆς χώρας εἰσελθὼν νεάσῃ ἢ σπείρῃ, μὴ λαμβανέτω μήτε ὑπὲρ τῆς ἐργασίας μήτε ὑπὲρ τῆς νεάσεως, μήτε ἐπικαρπίαν ὑπὲρ τοῦ σπόρου, ἀλλὰ μηδὲ τὸν καταβληθέντα κόκκον.*

3. *Ἐὰν συμφωνήσωσιν δύο γεωργοὶ μεταξὺ ἀλλήλων καταλλάξαι χώρας, παρόντων καὶ δύο καὶ τριῶν μαρτύρων, καὶ εἰς τὸ διηνεκὲς συνεφώνησαν, μενέτω ἡ τούτων καταλλαγὴ βεβαία καὶ ἀσάλευτος.*

4. *Ἐὰν δύο γεωργοὶ συμφωνήσωσι πρὸς καιρὸν τοῦ σπεῖραι καὶ διαστρέψῃ τὸ ἓν μέρος, εἰ μὲν ὁ κόκκος κατεβλήθη, μὴ διαστρέψωσι· εἰ δὲ ὁ διαστρέφων οὐκ ἐνέασεν, [ὁ δὲ ἕτερος ἐνέασεν,] νεάσει καὶ ὁ διαστρέφων καὶ διαστρεφέτω.*

5. *Ἐὰν γεωργὸς ἔχῃ δίκην ἐν ἀγρῷ καὶ εἰσέλθῃ παραγνώμην τοῦ σπείραντος καὶ ἀνάρχως θερίσῃ, ἐὰν μὲν ἔχῃ δίκαιον,*

---

[37] Proch. eod. 30. Cf. supra §. 13. [38] Dig. XIX, 1, 13 pr. Epan. XXXIX, 33. — Ad marginem huius tituli Paris. 1720 adscripta habet Proch. XXXVIII, 34. 6. 8. 14. 22. 15. 29. 31. 60.

[1] Hic titulus paene totus ex Legibus rusticis haustus est.

μηδὲν ἐχέτω ἐξ αὐτοῦ· εἰ δὲ καὶ [εἰκῇ] ἐδικαιολόγησεν, διπλῇ ποσότητι παρεχέτω τὸ θερισθέν.

6. Ἐὰν γεωργὸς μορτὴν μερίσας ἄνευ γνώμης τοῦ χωροδότου καὶ κουβαλήσῃ τὰ δράγματα αὐτοῦ, ὡς κλέπτης ἀλλοτριωθήσεται πάσης τῆς ἐπικαρπίας αὐτοῦ.

7. Μορτίτου μέρος δεμάτια ἐννέα, χωροδότου μέρος δεμάτιον ἕν. ὁ δὲ ἐκτὸς τούτου μεριούμενος θεοκατάρατος.

8. Ἐὰν γεωργὸς λαβὼν χώραν ἐφ᾽ ἡμισείας καὶ τοῦ καιροῦ καλοῦντος μὴ νεάσῃ, ἀλλ᾽ εἰς ὄψιν ῥίψῃ τὸν κόκκον, μηδὲν ἐκ τῆς ἐπικαρπίας λαμβανέτω, ὅτι διαψευσάμενος διεχλεύασεν τὸν τῆς χώρας κύριον.

9. Ἐάν τις λάβῃ ἀμπελῶνα πρὸς ἐργασίαν μεταμεληθεὶς μηνύσῃ τῷ κυρίῳ τοῦ ἀγροῦ ὡς μὴ δυνάμενος, ὁ δὲ κύριος τοῦ ἀγροῦ ἀμελήσῃ, ἀζήμιος ἔστω ὁ ἡμισυαστής.

10. Ἐὰν δὲ ὁ κύριος τοῦ ἀγροῦ ἀποδημήσῃ, καὶ μεταμεληθεὶς ὁ τὴν ἡμίσειαν λαβὼν οὐκ ἐργάσῃ τὸν ἀγρὸν, ἐν διπλῇ ποσότητι τὰς ἐπικαρπίας διδότω.

11. Ἐάν τις λαβὼν ἀμπελῶνα ἢ χώραν εἰς γεωργίαν καὶ ἀῤῥαβῶνα λαβὼν ἐκ τοῦ κυρίου αὐτοῦ ἀπάρξηται καὶ διαστραφεὶς ἀφήσῃ αὐτὸ, τὴν ἀξίαν τιμὴν τοῦ ἀγροῦ δωσάτω, καὶ τὸν ἀγρὸν ἐχέτω ὁ κύριος αὐτοῦ.

12. Ἐάν τις ἐργάσηται ἔνυλον χώραν ἀλλοτρίαν, τρία ἔτη ἐπικαρπεύσει αὐτὴν καὶ πάλιν ἀποδώσει τῷ κυρίῳ αὐτῆς.

13. Ἐὰν ἀπορήσας γεωργὸς τοῦ ἐργάσασθαι τὸν ἴδιον ἀγρὸν καὶ διαφύγῃ καὶ ξενιτεύσῃ, οἱ τῷ δημοσίῳ λόγῳ ἀπαιτούμενοι τρυγείτωσαν αὐτὸν, μὴ ἔχοντος ἄδειαν τοῦ ἐπανερχομένου γεωργοῦ ζημιοῦν αὐτοὺς τὸ οἱονοῦν.

14. Ἐὰν γεωργὸς ἀποδράσῃ ἐκ τοῦ ἰδίου ἀγροῦ, τελείτωσαν κατ᾽ ἔτος τὰ ἐξτρὰ ὄρδινεμ [τοῦ] δημοσίου λόγου οἱ τρυγῶντες καὶ νεμόμενοι τὸν ἀγρόν· [εἰ δὲ μὴ,] ζημιούσθωσαν ἐν διπλῇ ποσότητι.

15. Ἐὰν γεωργὸς κλέψῃ ἐν σκάφῃ λίσγον ἢ δίκελλαν ἢ κλαδευτήριον ἐν καιρῷ αὐτῶν, ἢ ἐν θερισμῷ δρέπανον ἢ ἐν ὑλοκοπίῳ πέλεκυν, καὶ μετὰ χρόνον γνωρισθῇ, παρεχέτω ὑπὲρ αὐτοῦ ἡμερούσιον φόλλεις ιβ΄.

16. Ὁ κλέπτων ἀλλοτρίαν ὕλην καὶ ἐργαζόμενος καὶ σπείρων, μηδὲν ἐχέτω ἐκ τῆς ἐπικαρπίας.

17. Ἐάν τις ἐν ἀλλοτρίῳ ἐδάφει οἰκείαις ὕλαις οἶκον κατασκευάσῃ, ὁ τοῦ ἐδάφους κύριος καὶ τοῦ οἰκήματος ἔστω δεσπότης, διὰ τὸν κανόνα τὸν λέγοντα· εἴκει τὰ ἐπικείμενα τοῖς

ὑποκειμένοις. ὥστε οὖν σὺν ταῖς ὕλαις ἀπολαύσει καὶ δεσποτείας διηνεκῶς ὁ τοῦ ἐδάφους κύριος, μὴ δυναμένου κινεῖν περὶ τῆς τῶν ὑλῶν διατιμήσεως τοῦ τὴν οἰκίαν πήξαντος.

18. Ὁ ἐν ἀλλοτρίῳ ἐδάφει κτίζων ἢ σπείρων ἢ φυτεύων ἢ ἄλλο τὶ ἐργαζόμενος, ἐκπιπτέτω τῆς δεσποτείας μηδὲ τὰ δαπανήματα λαμβάνων.

19. Εἰ δέ τις ἐν ἀπόρῳ ἀλλοτρίῳ τόπῳ οἰκοδομήσει οἶκον ἢ φυτεύσει ἀμπελῶνα, καὶ μετὰ χρόνον ἔλθωσιν οἱ τοῦ τόπου κύριοι, οὐκ ἔχουσιν ἄδειαν τὸν οἶκον κατασπᾶν ἢ τὸν ἀμπελῶνα ἐκριζοῦν, ἀλλὰ λαμβάνειν ἀντιτοπίαν ὅπου ἂν βούλοιντο. εἰ δὲ ἀνανεύων ἀνανεύει ὁ εἰς τὰ ἀλλότρια κτίσας μὴ δοῦναι ἀντιτοπίαν, ἄδειαν ἔχειν τὸν τοῦ τόπου κύριον καὶ τὸν οἶκον κατασπᾶν καὶ τὸν ἀμπελῶνα ἐκριζοῦν.

20. Ἐάν τις οἰκῶν ἐν χωρίῳ ἀγνώμη τοῦ κυρίου αὐτοῦ ποιήσῃ μύλον, ἐὰν ξένος ἐστὶν, ἐχέτω αὐτὸν δεκαεννέα χρόνους καὶ ἐξωθείσθω. εἰ δέ τις ἐν τόπῳ κοινῷ διαγνώσῃ ἐργαστήριον μύλου καὶ τοῦτον προκατάσχῃ, μετὰ δὲ τὴν τοῦ ἐργαστηρίου τελείωσιν οἱ τοῦ χωρίου κοινωνοὶ καταβοῶσιν ὡς ἴδιον καὶ κοινὸν τόπον, πᾶσαν τὴν ὀφειλομένην αὐτῷ δωσάτωσαν καταβολὴν εἰς τὴν ἔξοδον τοῦ ἐργαστηρίου, καὶ ἔστωσαν κοινωνοὶ τῷ προεργασαμένῳ.

21. Εἰ δὲ διωγμὸς χώρας ὑπὸ ἐθνῶν γένηται, καὶ μετὰ χρόνον εἷς τῶν ἀδελφῶν ἀναλύσας οἰκοδομήσῃ μύλον, μετὰ διελεύσεως τῶν λοιπῶν ἀδελφῶν πᾶσαν τὴν ὀφειλομένην ἔξοδον δωσάτωσαν καὶ ἀκωλύτως εἰσερχέσθωσαν.

22. Ἐὰν μερισθείσης τοῦ χωρίου γῆς εὕρῃ τὶς τῇ ἰδίᾳ μερίδι τόπον ἐπιτήδειον καὶ ποιήσῃ μύλον, οὐκ ἔχουσίν τι λέγειν οἱ γεωργοὶ περὶ τοῦ μύλου.

23. Ἐὰν τὸ ὕδωρ τὸ ἐρχόμενον ἐν τῷ μύλῳ ἐρημεῖ χωράφια ἢ ἀμπελῶνας, τὸ ἀβλαβὲς ποιείτω ἢ ἀργείτω.

24. Εἰ δὲ οὐ θέλουσιν οἱ αὐθένται τῶν χωραφίων πωλῆσαι τὴν παρέξοδον τοῦ ὕδατος, καταλυέσθω ὁ μύλος.

25. Ὁ καλῇ πίστει ἀγοράσας ἔδαφος, μετὰ δὲ τὸ γνῶναι τοῦτο ἀλλότριον κτίσας ἐν αὐτῷ, τὰ μὲν δαπανήματα οὐκ ἀπαιτεῖ, συγχωρεῖται δὲ τοῦ ἐδάφους περιελεῖν τὸ οἰκοδόμημα δίχα ζημίας [2].

26. Ὁ κατὰ βίαν ἀγροῦ τινος ἐπεμβαίνων καὶ ἐκ τοῦ οἰ-

---

[2] Dig. VI, 1, 37. Proch. XXXVIII, 39.

κείου αὐτοῦ μέρους ἀναιρεθῇ τις, ἢ καὶ ἐκ τοῦ ἐναντίου, αὐτὸς ὡς ἀνδροφόνος τὴν κεφαλὴν ἀποτεμνέσθω.

27. Ὁ νομίζων τὸν ἀγρὸν ἢ ἕτερον πρᾶγμα παρ᾽ ἑτέρου νεμόμενον ἑαυτῷ διαφέρειν, προσίτω τῷ ἄρχοντι. εἰ δὲ βίαν κατηγορῶν μὴ ἀποδείξῃ αὐτοῦ, τὴν τιμωρίαν ὑπομενέτω. εἰ δὲ περιφρονήσας τοῦ δικαστηρίου βίαν αὐτὸς ἐπαγάγῃ, τέως μὲν τῆς νομῆς ἐκπιπτέτω, καταδικαζέσθω δὲ περὶ τῆς βίας, καὶ ἐξοριζέσθω ἐκπίπτων καὶ τῶν οἰκείων πραγμάτων.

28. Ἀλλοτρίοις οἴκοις ἢ ἀγροῖς ἢ ἐργαστηρίοις ἢ πράγμασι μηδεὶς ἐξ οἰκείας προσηγορίας σανίδας ἐπιτιθέτω, δήμευσιν ἐκ παραβάσεως εὐλαβούμενος [3].

29. Πάντες οἱ ἄρχοντες πολιτικοί τε καὶ στρατιωτικοὶ δι᾽ ἑαυτῶν ἀναζητείτωσαν τοὺς βίας ἢ ἁρπαγὰς ἢ ἄλλα ἀτοπήματα ἐν ταῖς ἐπαρχίαις πλημμελοῦντας [4].

ΤΙΤΛΟΣ κϛ'.

Περὶ ἀγελαρίων καὶ βοῶν καὶ χοίρων καὶ προβάτων καὶ ἵππων καὶ ὄνων καὶ κυνῶν πραῖδαν ποιούντων καὶ πεσόντων εἰς διώρυγμα ἀμπελώνων [1].

1. Ἐὰν ἀγελάριος βοῶν ἕωθεν παρὰ τοῦ γεωργοῦ βοῦν λάβῃ καὶ συγκαταμίξῃ αὐτὸν μετὰ τῆς ἀγέλης, καὶ συμβῇ τὸν βοῦν λυκωθῆναι, δειξάτω τὸ πτῶμα τῷ κυρίῳ αὐτοῦ καὶ αὐτὸς ἀνέγκλητος ἔστω.

2. Ἐὰν ἀγελάριος βοῦν ἀπολέσῃ καὶ οὐ μηνύσῃ τῷ κυρίῳ αὐτοῦ τῇ αὐτῇ ἡμέρᾳ, ἐν ᾗ τὸν βοῦν ἀπώλεσεν, ὅτι τὸν βοῦν ἕως ὧδε καὶ ὧδε ἑώρακα, τί δὲ γέγονεν οὐκ οἶδα, ζημιοῦται. εἰ δὲ καταμηνύσει, ἔστω ἀζήμιος.

3. Ἐὰν ἀγελάριος ἕωθεν παραλάβῃ βοῦν παρὰ γεωργοῦ, καὶ ἀφανὴς γένηται ὁ βοῦς, ὀμοσάτω [ὁ] ἀγελάριος [μὴ] αὐτὸν πεπονηρεῦσθαι καὶ ὅτι οὐκ ἐκοινώνησε τῇ ἀπωλείᾳ τοῦ βοός, καὶ ἀζήμιος ἔστω.

4. Ἐὰν ὁ ἀγελάριος ἕωθεν παραλάβῃ βοῦν μὴ κεκλασμένον, ἀλλ᾽ ὑγιῆ, καὶ συμβῇ αὐτὸν κλασθῆναι ἢ ἀπολεσθῆναι, ὀμο-

---

[3] Athanas. π. διαφ. αναγν. §. 4 (ex Nov. 17). [4] Nov. 128 c. 21.

[1] Etiam hic titulus totus est ἐκ τοῦ νόμου γεωργικοῦ, nisi quod §§. 11. 15—17 in vulgatis desiderantur.

σάτω ὁ ἀγελάριος μὴ αὐτὸν πεπονηρεῦσθαι, καὶ ἀζήμιος ἔστω. εἰ δὲ ὕστερον ἐλεγχθῇ ἀπὸ δύο ἢ τριῶν μαρτύρων ἀξιοπίστων, ὅτι ἐπιώρκησεν, γλωσσοκοπείσθω καὶ τὸ ἀζήμιον τῷ κυρίῳ τοῦ βοὸς ποιείτω.

5. Ἐὰν ἀγελάριος μετὰ τοῦ ἐν ταῖς χερσὶ αὐτοῦ ξύλου ἀπολέσῃ βοῦν ἢ ἐκτυφλώσῃ, οὐκ ἔστιν ἀθῶος, [ἀλλὰ] ζημιωθήτω· εἰ δὲ μετὰ λίθου, ἀθῶος ἔστω.

6. Ἐὰν ἐκ τῆς ἀγέλης χωρισθῇ βοῦς καὶ εἰσέλθῃ ἐν χώρᾳ ἢ ἀμπελῶνι καὶ πραῖδαν ποιήσῃ, τοῦ μὲν μισθοῦ αὐτοῦ μὴ στερείσθω ὁ ἀγελάριος, τὴν δὲ πραῖδαν διδότω πᾶσαν.

7. Ἐάν τις εὕρῃ βοῦν ἢ ὄνον ἢ ἵππον ἐν ἀμπέλῳ ἢ ἐν ἀγρῷ ἢ ἐν ἑτέρῳ τόπῳ πραῖδαν ποιοῦντα, καὶ οὐ παραδώσῃ αὐτὸν τῷ κυρίῳ αὐτοῦ ὡς μέλλων αὐτὸν ἀπαιτεῖν ἅπασαν τὴν πραῖδαν, ἀλλὰ φονεύσῃ ἢ κλάσῃ ἢ τυφλώσῃ ἢ ὠτοκοπήσῃ ἢ οὐροκοπήσῃ, οὐκ ἄρει αὐτὸν ὁ κύριος αὐτοῦ, ἀλλὰ λαμβάνει ἄλλον ἀντ' αὐτοῦ.

8. Ἐάν τις εὕρῃ χοῖρον ἢ πρόβατον ἢ κύνα ἐν πραίδᾳ, παραδώσει αὐτὸν ἐν πρώτοις τῷ κυρίῳ αὐτοῦ, εἶτα δευτερώσας καὶ παραγγείλας τὸ τρίτον οὐροκοπήσει ἢ τοξεύσει αὐτὸν, ἀνέγκλητος ἔστω.

9. Ἐὰν βοῦς ἢ ὄνος ἢ ἵππος ἢ ἄλλο τὶ θέλων εἰσελθεῖν ἐν ἀμπέλῳ ἢ ἐν κήπῳ ἐμπέσῃ εἰς τὸ διώρυγμα ἢ ἐμπαρῇ ἐν τοῖς τοῦ φραγμοῦ πάλοις, ἀζήμιος ἔστω ὁ τοῦ διωρύγματος κύριος.

10. Ἐάν τις στήσῃ μάγγανον ἐν καιρῷ τῶν καρπῶν καὶ ἐμπέσῃ ἐν αὐτῷ κύων ἢ χοῖρος καὶ ἀποθάνῃ, ἀζήμιος ἔστω ὁ τοῦ μαγγάνου κύριος.

11. Ἐάν τις ἐγκλείσῃ χοῖρον ἢ κύνα ἀλλότριον καὶ διαφθαρῇ, εἰς τὸ διπλάσιον καταδικάζεται.

12. Ἐάν τις κύνα ποιμενικὸν φονεύσῃ καὶ οὐχ ὁμολογήσῃ, ἀλλὰ γένηται θηρίων ἔφοδος ἐν τῇ μάνδρᾳ· μετέπειτα διαγινωσκόμενος ὁ φονεὺς, πᾶσαν τὴν ἀπώλειαν τῆς ποίμνης δωσάτω μετὰ καὶ τῆς τιμῆς τοῦ κυνός.

13. Ἐάν τις διαφθείρῃ κύνα ποίμνης ἐπιτηδειότητι φαρμάκου, λαμβανέτω μάστιγας ρ', καὶ τὸ διπλάσιον τῆς τιμῆς παρεχέτω. εἰ δὲ καὶ ἀπώλεια τῆς ποίμνης γέγονεν, πᾶσαν τὴν ζημίαν δωσάτω.

14. Ὁ συνακρίσας κύνα πρὸς κύνα, ἐὰν συμβῇ κηλωθῆναι ἢ ἀποθανεῖν, λαμβανέτω μάστιγας· *εἰ δὲ μαχομένων δύο κυ-

---

* Paris. 1384 hic inserit rubricam: *περὶ κυνῶν.*

νῶν ὁ τοῦ ἑνὸς κύριος δώσει τῷ ἄλλῳ μετὰ ξίφους ἢ ῥάβδου ἢ λίθου καὶ πάθῃ τὶ, τὸ ἀζήμιον ποιείτω.

15. Ἐάν τις κύνα τῆς αὐλῆς καταῤῥάξῃ ἢ σφάξῃ, δώδεκα νομίσματα ἀπολογείτω τῷ κυρίῳ αὐτοῦ. ἐὰν δὲ καὶ λαγγαῖος[2] ἐστὶν, δωσάτω τῷ κυρίῳ αὐτοῦ νομίσματα γ΄. εἰ δὲ διώκτης ἐλάφων ἢ χοίρων, νομίσματα λ΄.

16. Ὁ κύνα ἔχων λαθραίως πληγάτην καὶ μὴ ἀνελὼν αὐτὸν, ὡς τεῤῥέσιος μαστιγούτω, τὸν δὲ κύνα ἀποκτεινέτω.

17. Ὁ ἀποκτείνας κύνα τοῦ ἀμφόδου, τηρείτωσαν οἱ ἀκροαταὶ τὴν ῥάβδον αὐτοῦ, καὶ εἰ μὲν θελετὴν πηχαίαν ἔχει, ἀζήμιος ἔστω. εἰ δὲ πλεῖον ἔχει, ἀπολογείτω τὴν στάσιν αὐτοῦ νόμισμα ἕν.

18. Ἐάν τις βοῦν ἢ ὄνον ἢ ἄλλο τὸ οἱονοῦν κτῆνος ἀγνωσίᾳ τοῦ κυρίου αὐτοῦ ἄρῃ καὶ ἐν πραγματείᾳ ἀπέλθῃ, δότω τὸν μισθὸν αὐτοῦ ἐν διπλῷ· εἰ δὲ καὶ ἀποθάνῃ ἐν τῇ ὁδῷ, δώσει δύο ἀντὶ τοῦ ἑνός.

19. Ἐάν τις ἐξέλθῃ πρὸς συγκομιδὴν τοῦ ἰδίου κτήνους καὶ διώκων αὐτὸ συνδιώξῃ μετ᾽ αὐτοῦ καὶ ἕτερον, καὶ οὐκ ἐπισυνάξῃ αὐτὸ μετὰ τοῦ ἰδίου, ἀλλὰ ἀπολεσθῇ ἢ λυκωθῇ, δότω ἀντίψυχον τῷ κυρίῳ αὐτοῦ. εἰ δὲ μηνύων ἐμήνυσεν καὶ τὸν τόπον ὑπέδειξεν, ὡς ἀδυνατῶν ἐπικρατῆσαι ἢ στρέψαι αὐτὸ, ἀζήμιος ἔστω.

20. Ἐάν τις παρέρχηται ἐν ὁδῷ καὶ εὕρῃ κεκλασμένον κτῆνος καὶ σπλαχνισθεὶς μηνύσῃ, ὑποψίαν [δὲ] ἔχῃ ὁ κύριος τοῦ κτήνους τὸν μηνυτὴν πεπονηρεῦσθαι, ἀπολογήσεται περὶ τῆς κλάσεως, περὶ δὲ τῆς ἀπωλείας μηδὲν ἀνακρινέσθω.

21. Ὁ διαφθείρων ἀλλότριον κτηνος ἐξ οἱασδήποτε προφάσεως, διαγινωσκόμενος τὸ ἀζήμιον ποιείτω τῷ κυρίῳ αὐτοῦ.

22. Ὁ παραδιδοὺς δούλῳ κτήνη πρὸς νομὴν ἄνευ εἰδήσεως τοῦ κυρίου αὐτοῦ, καὶ ἐξ αὐτῶν ἀπολέσῃ, ἀζήμιος ἔστω ὁ δοῦλος καὶ ὁ τούτου κύριος. εἰ δὲ εἰδήσει τοῦ κυρίου αὐτοῦ παραλάβῃ, καὶ καταφάγῃ καὶ ἀπολέσῃ, ὁ κύριος αὐτοῦ ἀποδώσει.

23. Οἱ σίτου καὶ οἴνου ἄδικα μέτρα ἔχοντες δι᾽ αἰσχροκέρδειαν, τυπτέσθωσαν ἰσχυρῶς.

---

[2] Forte λαγῷος. Paris. 1384: λάγαιον.

ΤΙΤΛΟΣ κζ'*.

Περὶ ἁρπαγῆς γυναικῶν καὶ δούλων καὶ φυγῶν καὶ ἁρπαγῆς πραγμάτων. Ἰουστινιανοῦ τοῦ βασιλέως.

1. Ὁ παρὼν νόμος [ἀνακεφαλαιούμενος] τὰς ἐν τῷ κώδικι κειμένας περὶ ἁρπαγῆς γυναικὸς διατάξεις παρακελεύεται τὴν ἑλομένην γυναῖκα συναφθῆναι τῷ ἁρπάσαντι αὐτὴν, οἱασδήποτε ἡλικίας ἐστὶν ἢ αἱρέσεως, μηδὲν ἐκ τῆς αὐτοῦ περιουσίας κερδαίνειν, ἀλλὰ καὶ ἀθέμιτον εἶναι τὸν τοιοῦτον γάμον. τὰ μέντοι πράγματα τοῦ ἁρπάσαντος καὶ τῶν συμπραξαμένων αὐτῷ εἰς τὴν ἁρπαγὴν τοὺς γονεῖς τῆς γυναικὸς ἀποκερδαίνειν, εἰ μὴ τῷ τοιούτῳ ἀθεμίτῳ συνήνεσαν γάμῳ. ἑκατέρους δὲ συναινέσαντας τῷ τοιούτῳ γάμῳ τελευτήσαντας τὸν φίσκον οἰκειοῦσθαι [1].

2. Οἱ ἁρπάσαντες γυναῖκα ἢ μεμνηστευμένην ἢ χήραν, εἴτε εὐγενῆ εἴτε ἀπελευθέραν εἴτε δούλην εἴτε μονάστριαν, κἂν τὴν ἰδίαν μνηστήν τις ἁρπάσῃ, εἰ μὲν μετὰ ξίφων ἢ ῥοπάλων τὴν ἁρπαγὴν ἐποιήσαντο, οἱ τοιοῦτοι ξίφει τιμωρείσθωσαν. οἱ δὲ συνυπουργοῦντες αὐτοῖς ἢ ἑκόντες ὑποδεξάμενοι, τυπτόμενοι καὶ κουρευόμενοι ῥινοκοπείσθωσαν. εἰ δὲ χωρὶς οἱωνδήποτε ὅπλων τὴν ἁρπαγὴν ἐποιήσαντο, ὁ μὲν τὴν ἁρπαγὴν ποιήσας χειροκοπείσθω, οἱ δὲ βοηθήσαντες τυπτόμενοι καὶ κουρευόμενοι ἐξοριζέσθωσαν [2].

3. Ὁ ἁρπάζων μονάστριαν ἢ καὶ παρθένον βιωτικὴν ἐξ οἱουδήποτε τόπου, ἐὰν διαφθείρει αὐτὴν, ῥινοκοπείσθω· οἱ δὲ τῇ τοιαύτῃ ἁρπαγῇ συντρέχοντες ἐξοριζέσθωσαν [3].

4. Δοῦλος εἰδὼς* καὶ συμπράττων τῇ ἁρπαγῇ τῆς ἰδίας δεσποίνης, καιέσθω [4].

5. Ὁ τὸν φυγάδα δοῦλον ὑποδεξάμενος δίδωσιν αὐτὸν μετὰ καὶ ἑτέρου ὁμοίου ἤτοι εἴκοσι νομισμάτων. ὁσάκις δὲ αὐτὸν ὑποδέξεται, τοσαυτάκις αὔξεται ἐπ' αὐτὸν ἡ ποινή [5].

6. [Κατὰ τοῦ] ἁρπάσαντος πράγματα ἀπὸ ἐμπρησμοῦ ἢ καταπτώσεως ἢ ναυαγίου ἢ ὑποδεχομένου κατὰ δόλον τὰ τοιαῦτα πράγματα, ἐντὸς ἐνιαυτοῦ εἰς τὸ διπλοῦν δίδοται, μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν [6].

---

* In Paris. 1384 est τί. ιθ'. [1] Athanas. XI, 5. [2] Proch. XXXIX, 40. [3] Ecl. XVII, 24. * Paris. 1384: συνειδώς. [4] Proch. XXXIX, 36. [5] Proch. eod. 24. [6] Proch. eod. 25.

7. *Περὶ τοῦ ἐὰν βίᾳ ἢ ἑτέρῳ τρόπῳ τοῦ ἀπολιμπανομένου διαρπαγῇ ἡ ὑπόστασις.* Οἱουδήποτε συγγενοῦς ἢ φίλου ἢ μισθωτοῦ ἢ οἰκέτου νεμομένου ὑπὲρ τοῦ καθ' οἱανδήποτε ἀπολιμπανομένου αἰτίαν, ἀσάλευτον ὁ ἄρχων τὴν νομὴν φυλαττέτω, τὸ πρόσωπον ἀναλαμβάνων τοῦ ἀπολιμπανομένου. μὴ ἐκβαλλέτω τὸ διωχθὲν πρόσωπον τῆς νομῆς βουλόμενον κινῆσαι, κἂν μὴ ἔχει μανδάτον, κἂν οἰκέτης ἐστὶν, κἂν ὁ περὶ ἀποκαταστάσεως τῆς νομῆς παρέλθῃ χρόνος. εἰ δὲ τὰ εἰρημένα ῥαθυμήσωσι* πρόσωπα, μὴ ἀντικείσθω τῷ δεσπότῃ ἐπανιόντι ἡ τοῦ χρόνου παραδρομὴ, ἀλλὰ ἀποδιδόσθω ἡ νομὴ, φυλαττομένου περὶ τῆς δεσποτείας ἀγῶνος [7].

ΤΙΤΛΟΣ κη'.

Περὶ ἀπροίκων γυναικῶν καὶ παίδων νόθων καὶ περὶ γνησίων καὶ περὶ τοῦ μὴ ἔχειν τοὺς ἐμφανεῖς γυναῖκα ἀπόβλητον [1].

1. Ἡ ἄπροικος γαμετὴ παίδων ὑπόντων ἐὰν ἀπορῇ, διαδεχέσθω τὸ τέταρτον μέρος τοῦ ἰδίου ἀνδρός. εἰ δὲ λεγάτον αὐτῇ κατελείφθη ἐξ αὐτοῦ τοῦ ἀνδρὸς, ἀναπληρούσθω πάλιν τὸ τέταρτον μέρος, λογιζομένη τὸ ἀπὸ τῶν λεγάτων. τὸ λεχθὲν κρατεῖ καὶ ἐπὶ τοῦ ἀνδρὸς ἕδνα μὴ ὁμολογήσαντος· καὶ αὐτὸς ἀπορῶν λήψεται τὸ τέταρτον μέρος ἐκ τῆς περιουσίας τῆς αὐτοῦ γυναικός [2].

2. *Περὶ τῶν νεαρῶν διατάξεων.* Ἀλλ' ἴσθι, ὅτι λαμβάνει ἡ ἄπροικος γυνὴ πρὸς τὸ τέταρτον μέρος καὶ τὰ ἴδια ἐξώπροικα· πλὴν τὰ εἰρημένα νόει προβαίνειν, ὅτε τελευτῇ ὁ γάμος λύεται [3].

3. *Τοῦ κώδικος.* Ἐὰν δύο μῆνας συνοικήσῃ τὶς γαμετῇ ἢ καὶ ἧττονα χρόνον, μὴ διὰ τοῦτο ἀδικείσθω γράφεσθαι κληρονόμος ἢ λεγάτοις τιμᾶσθαι καὶ δωρεαῖς [4].

4. Ἐάν τις οὕτως εἴπῃ· ὁ δεῖνα ἢ ὁ δεῖνα ἔστω μοι κληρονόμος, ὁ δεῖνα ἢ δεῖνα λεγατάριος, ὁ δεῖνα ἐλεύθερος, καὶ ὁ δεῖνα ἐπίτροπος, ἑκάτερος ἐπὶ τὴν κληρονομίαν, ἐπὶ τὸ λε-

---

* Paris. 1384: ἀθεμίσωσι. [7] Cod. VIII, 5, 1. — Appendix Ecl. XVII.
[1] ἐπείσακτον Vat. 640. [2] Theod. Nov. 53 §. 11. — App. Ecl. XXV.
[3] Theod. et App. Ecl. l. l. [4] Cod. VI, 37, 19. — App. Ecl. XII.

γάτον, ἐπὶ τὴν ἐλευθερίαν, ἐπὶ τὴν ἐπιτροπὴν καλείσθω· εἰ δὲ ἕν ἐστι [πρόσωπον], πρᾶγμα δὲ δέδοται τόδε ἢ τόδε, τὰ παλαιὰ δίχα καινοτομίας κρατείτω· καὶ ἐπὶ συναλλάγμασιν εἰρήσθω ταῦτα [5].

5. Οἱ ἐκ διαφόρων γάμων τικτόμενοι παῖδες, κἂν ὁ εἷς γάμος ἄπροικος ᾖν, ὁμοίως τὸν πατέρα διαδεχέσθωσαν. καὶ μετὰ ῥεπούδιον οἱ παῖδες κληρονομείτωσαν τοὺς γονεῖς, τρεφόμενοι καὶ μένοντες παρὰ τῷ πατρὶ τὴν αἰτίαν τῆς λύσεως μὴ δεδωκότι. εἰ δὲ ἐξ αὐτοῦ ἡ αἰτία τῆς λύσεως γέγονεν, μένουσι μὲν παρὰ τῇ μητρὶ μὴ δευτερογαμησάσῃ, τρεφόμενοι δὲ παρὰ τοῦ πατρός· ἀποροῦντος δὲ τοῦ πατρὸς, καὶ μένουσι παρὰ τῇ μητρὶ καὶ τρέφονται [6].

6. Περὶ ῥεπουδίων. — Εἰ δέ τις ἀλόγως πέμψει ῥεπούδιον ἐπὶ αἰτίᾳ μὴ διηγορευμένῃ τῷ νόμῳ, οὐ δύναται τὴν χρῆσιν ἐκδικεῖν τῶν εἰς τοὺς ὑπεξουσίους αὐτοῦ ἐκ τῆς εἰρημένης αἰτίας περιερχομένων πραγμάτων [7].

7. Ὁ ἐξ ἀπελευθέρας ἔχων παῖδας [εἰ] ποιήσει προικῷον συμβόλαιον, γνησίους αὐτοὺς ποιεῖ, κἂν προετέχθησαν [8].

8. Ὁ ἐκ δούλης ἐσχηκὼς παῖδα, καὶ ταύτην ὕστερον ἅμα τοῖς παισὶν ἐλευθερώσας καὶ προῖκα αὐτῇ ποιήσας, ταύτην μὲν νόμιμον ποιείτω γαμετὴν καὶ τοὺς παῖδας γνησίους [9].

9. Τὰ ἐξ ἐλευθέρας γαστρὸς τικτόμενα ἐλεύθερά εἰσιν, εἰ καὶ δοῦλός ἐστιν ὁ τούτων πατήρ [10].

10. Ὁ τελευτῶν ἐπὶ παλλακῇ καὶ νόθοις παισὶ, γνησίας μὲν ὑπούσης γονῆς, γαμετῆς δὲ χωρὶς, ἄχρι μιᾶς οὐγκίας μὲν καὶ μόνης καταλιμπανέτω τῇ παλλακῇ, μὴ ἐχούσῃ δὲ παῖδας ἡμιούγκιον δωρείσθω αὐτῇ καὶ μόνον· εἰ δέ τις περισσὸν δῷ, οἱ γνήσιοι παῖδες τοῦτο ἐκδικείτωσαν· γνησίων δὲ [μὴ] ὑπόντων ἢ ἀνιόντων, ὅπου αὐτὸς βούλεται διδότω. εἰ δὲ περίεισιν ἀνιόντες, τὸ νόμιμον αὐτοῖς καταλιμπάνων τὸ ὑπόλοιπον διαιρεῖται ὡς βούλεται [11].

11. Ἀδιαθέτου δέ τινος τελευτῶντος ἐπὶ νόθοις παισὶ, ὑπόντων δὲ καὶ γνησίων ἢ γαμετῆς, μηδὲν οἱ νόθοι λαμβανέτωσαν· ἀποτρεφέσθωσαν δὲ ὑπὸ τῶν κληρονόμων· τούτων δὲ μὴ ὑπόντων, τὸ διούγκιον καὶ μόνον μετὰ τῆς μητρὸς λαμβανέ-

---

[5] Cod. VI, 38, 4. — App. Ecl. XIII. [6] Nov. 117 c. 3. 7. — App. Ecl. II. [7] Nov. 134 ex Ath. IV, 22. [8] Nov. 18 c. 11. — App. Ecl. III. [9] Nov. et App. Ecl. l. l. [10] Athan. XVIII parat. §. 7 ex Nov. 22. [11] Nov. 89 c. 12. — App. Ecl. IV.

τωσαν, ἢ καὶ αὐτῆς μὴ οὔσης, αὐτοὶ μόνοι οἱ νόθοι λαμβανέτωσαν, τοῦ λοιποῦ εἰς τοὺς ἐξ ἀδιαθέτου κληρονόμους, ἢ καὶ τούτων μὴ ὄντων τῷ δημοσίῳ παρεχομένου[12].

12. Ὁ ἔχων γαμετὴν οὐ δύναται ἔχειν παλλακήν. οὔτε δὲ οἱ ἐκ διαφόρων παλλακῶν παῖδες οὐ δύνανται κληρονομεῖν τὸν πατέρα. οἱ γὰρ ἐξ ἀθεμιτογαμίας οὔτε νόθοι εἰσὶν, οὔτε κληρονομοῦσι τοῦ πατρός τι, οὔτε τρέφονται παρ᾽ αὐτοῦ[13].

13. Τῶν διγέστων. — Οἱ ἐκ πορνείας καὶ συγκεχυμένης σπορᾶς τικτόμενοι παῖδες λέγονται σπούριοι. οὗτοι δὲ τῇ μητρὶ ἔστωσαν, οἱ δὲ νόμιμοι τοῦ πατρός[14].

14. Οἱ συγκλητικοὶ μὴ ἀγαγέσθωσαν ἀπεῤῥιμένας γυναῖκας, οἷον δούλην ἢ θυγατέρα αὐτῆς, ἢ ἀπελευθέραν ἢ ταύτης παῖδα, ἢ σκηνικὴν ἢ ἐργαστηριάρχισσαν ἢ θυγατέρα τούτων, ἢ πορνοβοσκοῦ ἢ ἀρεναρίου θυγατέρα[15].

15. Μηδεὶς τὴν τοῦ ἀδελφοῦ γαμετὴν ἀγέσθω, κἂν παρθένος ἐστίν· οὐδὲ γὰρ τῇ συναφείᾳ γάμος ἀλλὰ τῇ διαθέσει συνίσταται· οὐδὲ παῖδες οἱ ἐντεῦθεν τικτόμενοι· ὑφεξῃρημένων τῶν αἰγυπτίων τῶν ἤδη τοῦτο ποιησάντων[16].

16. Μηδεὶς ἀπὸ φιλοτιμίας βασιλικῆς ἀθεμίτῳ συναλλασσέτω γάμῳ· οἷον πρὸς θυγατέρα ἀδελφῆς ἢ γυναῖκα ἀδελφοῦ, ἀλλὰ καὶ τὰ γεγονότα ἀνατραπήσεται[17].

17. Ἰουστινιανοῦ βασιλέως. — Ὁ αὐτὸς βασιλεὺς περὶ τῶν ἀθεμίτως συναπτομένων ἀπὸ τρίτου γάμου καὶ ἐπέκεινα, καὶ περὶ τῶν συναπτομένων ταῖς ἰδίαις δούλαις. — Εἴρηται τῷ θεόπτῃ μωσῇ περὶ τῶν ἐγγεγραμμένων ἐν τῇ θείᾳ γραφῇ· ἐπ᾽ αὐτοῖς οὐκ ἔστιν προσθεῖναι, ἀπ᾽ αὐτῶν καὶ οὐκ ἔστιν ἀφελεῖν. τὰ οὖν εἰρημένα ἐν τῷ δευτέρῳ τίτλῳ ὡς ἑπόμενα τῷ θείῳ ἀποστόλῳ παύλῳ περὶ τῶν γαμικῶς ἐν θεσμῷ συναπτομένων, ἕως γὰρ δευτέρου συνοικεσίου μνήμην πεποίηνται καὶ περαιτέρω οὐδαμῶς ὡς παρανόμου καὶ κτηνώδους, ἤδη τὴν κύρωσιν ἔλαβεν. διὸ ὁρίζομεν παντὶ τρίτον συνοικέσιον καὶ ἐπέκεινα μὴ γίνεθαι, ὡς ἀλλότρια τῆς θείας ἀποστολικῆς διατάξεως καὶ ξένα τῆς χριστιανικῆς ἀγχιστείας· μήτε μὴν τὰς οἰκετικὴν τύχην λαχούσας κόρας ἀποικίζεθαι εἰς γαμικὴν γνησιότητα, ἢ καὶ ὀνομάζεθαι αὐτὰς συζύγους, καὶ μάλιστα τοὺς ἐν ὑπεροχῇ καὶ ἀξίᾳ ὄντας· ἐὰν γὰρ πλημμελήσῃ τὶς ἀπὸ τοῦ παρόντος,

---

[12] Nov. et App. l. l. [13] Nov. et App. l. l. [14] Dig. I, 5, 23. 24. — App. Ecl. V. [15] Cod. V, 5, 7. App. Ecl. VI. [16] Cod. V, 5, 8. — App. Ecl. VII. [17] Cod. V, 8, 2. — App. Ecl. VIII.

παράνομον εἶναι τὸ συνοικέσιον, καὶ τοὺς τικτομένους ἐκ τῶν τοιούτων γάμων παῖδας νόθους τυγχάνειν [18].

18. Ὁ προῖκα ποιήσας τῇ ἰδίᾳ δούλῃ ἐλευθέραν καὶ νόμιμον παρασκευάζει γαμετὴν, καὶ τοὺς παῖδας ἐλευθέρους καὶ γνησίους ποιεῖ [19].

19. Τὰ γαμικὰ κέρδη καὶ μὴ κληρονομοῦντες τοὺς γονεῖς οἱ παῖδες ἐχέτωσαν [20].

20. Ὅτι ὁ νόμος τῆς τῶν ἰδιωτῶν γνώμης ἰσχυρότερός ἐστιν· ὅθεν τὸ ἐκ νόμου διδόμενόν τινι κέρδος ἰδιώτης παντάπασιν ἀφαιρεῖσθαι οὐ δύναται [21].

21. Ὁ στρατιώτης λεγατεύσας τῷ ἰδίῳ δούλῳ ἐλεύθερον αὐτὸν ποιεῖ [22].

ΤΙΤΛΟΣ κθʹ.

Περὶ τῆς τῶν βαθμῶν συγγενείας γʹ βιβλίου τῶν ἰνστιτούτων *.

1. Ἡ συγγένεια γενικόν ἐστιν ὄνομα· διαιρεῖται δὲ εἰς τρεῖς τάξεις· εἰς ἀνιόντας, τουτέστιν εἰς τοὺς ἡμᾶς πεποιηκότας, εἰς κατιόντας, τουτέστιν εἰς τοὺς ἐξ ἡμῶν γεννηθέντας, εἰς τοὺς ἀπὸ λοξότητος ἤγουν ἐκ πλαγίου, καὶ εἰς τοὺς ἀπὸ πατρὸς καὶ μητρὸς [ἀδελφοὺς ἡμῶν,] θείους καὶ θείας καὶ ἀκολούθως εἰς τὴν τούτων γονήν.

2. Πρώτου μὲν βαθμοῦ ἐστὶν, ἐπὶ τῶν ἀνιόντων πατὴρ καὶ μήτηρ, ἐπὶ δὲ τῶν κατιόντων υἱὸς καὶ θυγάτηρ.

3. Δευτέρου ἐστὶν βαθμοῦ, ἐπὶ μὲν τῶν ἀνιόντων πάππος καὶ μάμμη· ἐπὶ δὲ τῶν κατιόντων ἔγγονος ἐγγόνη· ἐπὶ δὲ τῶν ἐκ πλαγίου, ἀδελφὸς καὶ ἀδελφὴ ἀπό τε πατρὸς καὶ μητρός.

4. Τρίτου ἐστὶ βαθμοῦ, ἐπὶ μὲν τῶν ἀνιόντων πρόπαππος καὶ προμάμμη· ἐπὶ δὲ τῶν κατιόντων προέγγονος προεγγόνη· ἐπὶ δὲ τῶν ἐκ πλαγίου, τοῦ ἀδελφοῦ καὶ τῆς ἀδελφῆς υἱὸς καὶ θυγάτηρ καὶ ἀκολούθως πρὸς πατρὸς καὶ μητρὸς [θεῖος καὶ θεία].

---

[18] Nov. Irenae. Vide Novellas impp. post Justinian. a me editas p. 60. [19] Athan. XVIII, 2 ex Nov. 78. [20] Athan. X, 2 ex Nov. 22. [21] Athan. X, 2 ex Nov. 22. [22] Athan. π. διαφ. ἀναγν. §. 18 ex Nov. 78.

* Hic titulus totus est ex App. Ecl. I.

5. Τετάρτου ἐστὶν βαθμοῦ, ἐπὶ μὲν τῶν ἀνιόντων ἀπόπαππος ἀπομάμμη· ἐπὶ δὲ τῶν κατιόντων, ἀπέγγονος ἀπεγγόνη· ἐπὶ δὲ τῶν ἐκ πλαγίου τοῦ ἀδελφοῦ καὶ τῆς ἀδελφῆς ἑκατέρας φύσεως ἔγγονος ἐγγόνη· καὶ ἀκολούθως μέγας θεῖος καὶ μεγάλη θεία πρὸς πατρὸς καὶ μητρὸς, τουτέστιν τοῦ πάππου καὶ τῆς μάμμης ἀδελφὸς καὶ ἀδελφὴ, ὁ ἐξάδελφος καὶ ἡ ἐξαδέλφη, ὅστις καὶ ἥτις ἐκ δύο ἀδελφῶν τῶν ἑκατέρας φύσεως τίκτονται.

6. Πέμπτου ἐστὶν βαθμοῦ, ἐπὶ μὲν τῶν ἀνιόντων δίσπαππος δισμάμμη· ἐπὶ δὲ τῶν κατιόντων δισέγγονος δισεγγόνη· ἐπὶ δὲ τῶν ἐκ πλαγίου τοῦ ἀδελφοῦ καὶ τῆς ἀδελφῆς προέγγονος προεγγόνη, καὶ ἀκολούθως μείζων θεῖος καὶ θεία πρὸς πατρὸς καὶ μητρὸς, τουτέστιν τοῦ προπάππου καὶ τῆς προμάμμης ἀδελφὸς καὶ ἀδελφή.

7. Ἕκτου ἐστὶ βαθμοῦ, ἐπὶ μὲν τῶν ἀνιόντων τρίσπαππος τρισμάμμη· ἐπὶ δὲ τῶν κατιόντων τρισέγγονος τρισεγγόνη· ἐπὶ δὲ τῶν ἐκ πλαγίου ἀδελφοῦ καὶ ἀδελφῆς πρὸς πατρὸς καὶ μητρὸς ἀπέγγονος ἀπεγγόνη, καὶ ἀκολούθως θεῖος μέγιστος καὶ θεία πρὸς πατρὸς καὶ μητρὸς, τουτέστιν τοῦ ἀποπάππου καὶ τῆς ἀπομάμμης ἀδελφὸς καὶ ἀδελφή.

8. Ἀλλ᾽ ἐπειδὴ ἡ θέα μᾶλλον ἀκοῆς ἀκριβεστέρα ὑπάρχει, μετὰ τὴν ἀφήγησιν τῶν βαθμῶν καὶ αὐτοὺς ἰδικῶς τοὺς βαθμοὺς ἐγγράψαμεν τῷ παρόντι βιβλίῳ, ἵνα οἱ ἐντυγχάνοντες καὶ τῇ ἀκοῇ καὶ τῇ θέᾳ τελειωτάτης τύχωσι τῶν βαθμῶν τῆς διδασκαλίας. ἐστὶν δὲ αὕτη τῶν βαθμῶν ἡ καταγραφή. τρεῖς τάξεις τῆς συγγενείας εἰσὶ διαιρούμεναι εἰς ἀνιόντας, εἰς κατιόντας, εἰς τοὺς ἀπὸ λοξότητος ἤγουν ἐκ πλαγίου· ἀνωτέρα δὲ συγγένεια ἐστὶν τῶν γονέων, κατωτέρα δὲ τῶν παίδων, ἐκ πλαγίου τῶν ἀδελφῶν ἑκατέρας φύσεως.

ΤΙΤΛΟΣ λ΄.

Περὶ δικαιολογίας καὶ ἐνεχείρων καὶ ἐγγυῶν καὶ ἀντιφωνήσεων.

1. Μὴ ἀποφαινέσθω ὁ ἄρχων, περὶ ὧν ἔτυχεν ὁ πρὸ αὐτοῦ κατὰ νόμους τεμών. ἀλλὰ μηδὲ ἡ περὶ τῆς νομῆς ἀπόφασις

προκριματιζέτω τὰ περὶ τῆς δεσποτείας, μηδὲ ἰντερλοκουτιόνες ἀναιρείτωσαν ὡς ἐπὶ πολὺ τὰς δίκας[1].

2. Περὶ ἐνεχείρων καὶ ἀγρῶν. — Λελύσθω τῆς ὑποθήκης ὁ ἀγρὸς ἐκ τῶν καρπῶν αὐτοῦ πληρωθέντος τοῦ χρέους, καὶ διὰ τοῦτο μὴ ἐκποιείσθω παρὰ τοῦ δανειστοῦ ὁ ἀγρός[2].

3. Ὁ ἐγγυώμενος ἢ ἀντιφωνῶν ὑπέρ τινος καὶ αὐτὸς μὲν γίνεται ἔνοχος, κακεῖνον δὲ οὐκ ἐλευθεροῖ[3].

4. Τοῦ κώδικος. — Ὁ λέγων ἐν ἀντιφωνήσει· τὸ ἱκανόν σοι γενήσεται, ἀνεύθυνος ἔσται[4].

5. Τῶν διγέστων. — Πάντες οἱ συγγενεῖς καὶ προσγενεῖς δεκτοί εἰσιν· κἄντε ἄποροι τυγχάνουσιν, κἄντε πένητάς τις λάβῃ ἐγγυητὰς, οὐκ ἀπαιτεῖ ἑτέρους, εἰ μὴ ὁ ἐγγυητὴς ἀπέθανεν ἢ τυχηρῶς τὴν οὐσίαν ἀπώλεσιν[5].

6. Τῶν νεαρῶν. — Ὁ καθ᾽ οἱονδήποτε τρόπον χρεωστούμενος κινείτω πρῶτον κατὰ τοῦ πρωτοτύπου· ἐκείνου δὲ ἀποροῦντος ἢ ἀπόντος, κινείτω κατὰ τοῦ ἐγγυητοῦ. εἰ δὲ μὴ οὕτως πληρωθῇ τὸ χρέος, τότε κινείτω κατὰ τοῦ νεμομένου [τὰ πράγματα] τοῦ πρωτοτύπου, ὕστερον κατὰ τὸ πρᾶγμα τοῦ ἐγγυητοῦ νεμομένου ἢ τῶν χρεωστούντων αὐτῷ[6].

7. Ὁ δανείσας εἰς ἀγορασίαν ἢ ἀνανέωσιν πλοίου ἢ οἴκου ἢ ἄλλου τινὸς τοιούτου, προτιμᾶται τῶν ἑτέρων δανειστῶν, εἰ καὶ προγενέστεροί εἰσιν· εἰ δὲ εἰς κτῆσιν στρατείας δανείσας παρασκευάσει δὲ ἐν τῷ γραμματείῳ ἐντεθῆναι κυριώτερον εἶναι τῶν ἄλλων δανειστῶν, προτιμᾶται οὗτος καὶ αὐτῆς τῆς προικός[7].

8. Περὶ ἐλευθέρων. — Οἱ δεσποτικοὶ δοῦλοι ἤγουν οἱ κολωνοὶ καὶ οἱ ἐξ αὐτῶν, ἀποφυγόντες καὶ στρατευσάμενοι ἢ ἀξίας κατὰ συναρπαγὴν τυχόντες, ἀποδιδόσθωσαν τῷ πατριμονίῳ τῆς ζώνης ἀφαιρεθέντες[8].

9. Περὶ τοποφυλάκων. — Οἱ ἐν ταῖς πόλεσιν ὑπειλημμένοι κἂν ἀξιωματικοί εἰσιν, εἰς κύκλον [τὰς] ἐκδικίας τῆς ἰδίας πατρίδος ἐπὶ διετίαν μετιέτωσαν[9].

10. Περὶ ἄρχοντος ληστοδιωκτοῦντος. — Εἰ τολμήσει ὁ ἄρχων ληστοδιώκτην ἢ τριβοῦνον προβάλλεσθαι, ἐκπιπτέτω τῆς ἀρχῆς καὶ δέκα λίτρας χρυσίου καταθήσει ποινὴν,

---

[1] Cod. VII, 45, 9. — App. Ecl. XIV. [2] Cod. VIII, 27, 1. — App. Ecl. cf. Ἀνέκδ. mea p. 188 not. 46. [3] Dig. XIII, 5, 28. — App. Ecl. XXVII. [4] Ath. VII, 7 ex Nov. 115 c. ult. [5] Dig. II, 6, 1—3. II, 8, 2. 10. — App. Ecl. XXVIII. [6] Nov. 4. — App. Ecl. XXXI. [7] Athan. X, 6 ex Nov. 97. [8] Cod. XI, 64. — App. Ecl. in Ἀνέκδ. meis p. 191 not. 84. [9] Ath. IV, 24 ex Nov. 15.

τοῦ γενέσθαι θαῤῥήσαντος βασανιζομένου καὶ μετὰ δήμευσιν ἐξοριζομένου [10].

11. *Περὶ στρατιωτικῶν ἀρχόντων.* — Ὁ στρατιωτικὸς ἄρχων ἐν τοῖς ἐγκλήμασι κατὰ πάντων ἔχει δικαιοδοσίαν [11].

12. *Περὶ ἁμαρτανόντων καὶ ἀδικούντων.* — Οἱ ἁμαρτάνοντες κολαζέσθωσαν, μηδεμίαν ἐπήρειαν ὑφισταμένων τῶν πραγμάτων αὐτῶν, ἀλλὰ τοῖς νομίμοις φυλαττομένων διαδόχοις [12].

13. Ἐγκλήματος ἁμαρτηθέντος μὴ ἄλλος ἀντ᾽ ἄλλου κρατείσθω ἢ ζημιούσθω, μηδὲ τὰ πράγματα τοῦ ἁμαρτήσαντος ἀφαιρείσθω ὡς δυναμένου δόσει χρημάτων διαδιδράσκειν τὰς ποινάς· εἰ δὲ ὁ τὸ ἔγκλημα τολμήσας λάθῃ, τὰ εἰρημένα τῇ διατάξει πληρούτω [13].

14. Δύο χεῖρας ἢ δύο πόδας μηδεὶς ἄρχων διὰ οἱονδήποτε ἔγκλημα ἀφαιρείσθω μηδὲ ἐξαρθρούτω τὸν κρινόμενον [14].

15. Αἱ περιουσίαι τῶν δι᾽ ἐγκλήματα θανάτῳ ὑποκειμένων τοῖς μὲν κατιοῦσιν αὐτῶν ἀδιαστίκτως, τοῖς δὲ ἀνιοῦσιν μέχρι τρίτου βαθμοῦ διαφερέτωσαν [15].

16. Ταβουλάριος μὴ πιστευέσθω ἐν ἐκμαρτυρίῳ λέγων τὸν ἔμπειρον γραμμάτων οἰκεῖον προσομολογῆσαι χρέος. τὰ ἐκμαρτύρια ἐχέτω μαρτύρων παρουσίαν [καὶ] κατάθεσιν καὶ ὑπογραφήν [16].

17. *Περὶ μαρτυρίας ἰουδαίων.* — Οὐ δύναται ἰουδαῖος καὶ σαμαρείτης καὶ πᾶς αἱρετικὸς ὑπὲρ ὀρθοδόξων καλεῖσθαι εἰς μαρτυρίαν [17].

ΤΙΤΛΟΣ λα΄.

Περὶ γυναικὸς μιγείσης τῷ ἰδίῳ δούλῳ καὶ περὶ θυγατρὸς ἀσχήμονος καὶ ἐγκλημάτων γυναικῶν.

1. Ἐὰν γυνὴ μιγῇ [1] κατ᾽ ἐπιθυμίαν τῷ ἰδίῳ δούλῳ, αὐτὴ μὲν ἀποτεμνέσθω, ὁ δὲ δοῦλος καιέσθω. νοείτω δὲ τὸ τοιοῦτο

---

[10] Ath. XX, 1 ex Nov. 128. [11] Ath. ibid. [12] Ath. IV, 3 ex Nov. 17. [13] Athan. π. διαφ. ἀναγν. §. 6 ex Nov. 134. [14] Athan. ibid. [15] Athan. ibid. [16] Athan. ibid. §. 7 ex Nov. 90. [17] Cod. I, 5, 21.

[1] συμπλακῇ Vat. 640.

καὶ ἡ τάξις [καὶ] δοῦλος ἐλευθερίᾳ τιμώμενος· οἱ μέντοι ἐξ αὐτοῦ παῖδες μήτε ἀξιώματος μήτε ἄλλης τιμῆς μεταλαμβανέτωσαν· ἀρκεῖ γὰρ αὐτοὺς ἐλευθέρους εἶναι. μηδὲν δὲ ἐχέτωσαν ἀπὸ τῆς μητρὸς ἢ ἐξ ἀδιαθέτου ἢ ἐκ διαθήκης, ἀλλ᾽ εἰ μὲν παῖδες ὕπεισιν αὐτῇ γνήσιοι ἢ συγγενεῖς, κληρονομείτωσαν αὐτήν, λαμβάνοντες καὶ τὰ καταλελειμμένα ἢ τῷ ἐραστῇ ἢ τοῖς ἐξ αὐτῶν παισί [2].

2. Εἰς τὸ φιλάνθρωπον. — Εἰ μὲν ἐστὶν ὕπανδρος, τυπτομένη καὶ κουρευομένη ῥινοκοπείσθω καὶ ἀπελαυνέτω τῆς πολιτείας, ἐν ᾗ κατοικεῖ, καὶ ἐκ πάσης ἐκπιπτέτω τῆς οἰκείας περιουσίας· ὁ δὲ δοῦλος ξίφει τιμωρείσθω. εἰ δὲ χήρα τοῦτο διαπράξηται μὴ ἔχουσα παῖδας, τυπτέσθω καὶ κουρευέσθω· ὁμοίως καὶ ὁ δοῦλος τυπτόμενος πιπρασκέσθω. εἰ δὲ ἐπὶ παισὶ τοῦτο διαπραχθῇ, καὶ ἡ τιμὴ τοῦ δούλου καὶ ἡ ὑπόστασις αὐτῆς ἅπασα κατὰ δεσποτείας τρόπον παραυτίκα τοῖς παισὶν ἀνεκποιήτως παραφυλαττέσθω, τῆς χρήσεως μόνης παρ᾽ αὐτῆς μενούσης [3].

3. Ἐὰν ἡ θυγάτηρ μὴ ἕληται σωφρόνως συναφθῆναι ἀνδρὶ ἀλλ᾽ αἰσχρῶς καὶ ἀσχημόνως ζῇ, τῶν γονέων ἑτοίμως ἐχόντων συνάψαι αὐτὴν ἀνδρὶ, καὶ προικίσαι κατὰ τὸ μέτρον τῆς οὐσίας αὐτῶν, ἄδειαν ἔχειν τοὺς γονεῖς αὐτῆς ἄκληρον ταύτην ποιεῖν. εἰ δὲ ἐτῶν εἴκοσι ε̄ ὑπάρχουσαν οἱ ταύτης γονεῖς οὐ πείθονται συνάψαι αὐτὴν πρὸς γάμον νόμιμον, δύναται παραγνώμην αὐτῶν γαμεῖσθαι. εἰ δὲ καὶ ἀσελγήσει μετὰ τὸν ὡρισμένον χρόνον, ἢ πορνεύσει ἢ παραγνώμην αὐτῶν ἐλευθέρῳ ἀνδρὶ συναφθῇ, οὐ δύνανται οἱ γονεῖς αὐτῆς τοῦτο εἰς τρόπον ἀχαριστίας λογίζεσθαι καὶ ἄκληρον αὐτὴν ἐᾶν [4].

4. Γυνὴ ἐγκληματικῶς ἐναγομένη μὴ ἐμβαλλέσθω εἰς δεσμωτήριον, μηδὲ ἀποκλειέσθω ὑπὲρ χρηματικῆς αἰτίας, ἀλλὰ νομίμως δι᾽ οὗ βούλεται τοῖς ἐνάγουσιν ἀποκρινέσθω ἢ ἐγγύας προσωπικὰς ἀπαιτείσθω, ἢ ἐξομνυέτω περὶ τῆς προσεδρείας· βαρυτάτου δὲ τοῦ ἐγκλήματος ὄντος, ἐν ἀσκητηρίῳ ἢ σεμναῖς γυναιξὶν πρὸς παραφυλακὴν παραδιδόσθω μέχρι τελείας ἀποκαλύψεως τοῦ ἐγκλήματος [5].

---

[2] Cod. IX, 11, 1. — App. Ecl. IX. [3] Proch. XXXIX, 43 44.
[4] Athan. VII, 7 ex Nov. 115. [5] Athan. IV, 22 ex Nov. 134 c. 9.

ΤΙΤΛΟΣ λβ'.

Περὶ ἁπλῆς δωρεᾶς εἰς γυναῖκα καὶ περὶ ἀχαριστίας καὶ αἰχμαλώτων.

1. Ἐάν τις ἁπλῆν δωρεὰν ἐν τῷ συνεστῶτι γάμῳ πρὸς τὴν ἰδίαν ἐκθέμενος γαμετὴν ἐφησυχάσῃ μέχρι τελευτῆς, βεβαιοῦται ἡ τοιαύτη δωρεὰ ἀπὸ τοῦ χρόνου τῆς γραφῆς τὴν σύστασιν ἔχουσα, καὶ δύναται ἡ γυνὴ ἀπαιτεῖν αὐτήν. εἰ δὲ καὶ ὑπέθετο ἢ ἐνεχειρίασεν ὁ ἀνὴρ περιὼν τὸ δωρηθὲν παρ' αὐτοῦ τῇ γυναικὶ, οὐ δοκεῖ ἀνακαλεῖσθαι τὴν δωρεὰν, ἀλλ' ἐκδικεῖ ταύτην ἡ γυνὴ ὡς προεκπεποιημένην αὐτῇ. ὑπὲρ τὰ πεντακόσια νομίσματα [δωρεὰ κἂν μὴ πραχθῇ, μέχρι τῆς τῶν φ' νομισμάτων] ποσότητος τὸ βέβαιον ἔχει [1].

2. *Περὶ ἀχαριστίας.* — Ἄῤῥην παῖς εἰ μὴ ἐγγυᾶται εἰς ὅσον εὐπορεῖ τὸν ἴδιον πατέρα ἐγκεκλεισμένον, εὐλόγως παρ' αὐτοῦ ἀχαριστεῖται [2].

3. *Περὶ αἰχμαλώτων.* — Θεσπίζομεν καὶ τοὺς ἐν αἰχμαλωσίᾳ διαλύεσθαι τοῦ γάμου, οὐχ ἁπλῶς καὶ ὡς ἔτυχε, ἀλλ' ἕως μέν ἐστι φανερὸν περιεῖναι τὸν ἄνδρα ἢ τὴν γυναῖκα, μένειν ἄλυτα τὰ συνοικέσια συγχωροῦμεν· καὶ οὐκ ἐλεύσονται πρὸς δευτέρους γάμους, εἰ μὴ βούλοιντο δοκεῖν κατὰ προπέτειαν τοῦτο πρᾶξαι, καὶ ὑποπεσεῖν ταῖς ποιναῖς, ἡ μὲν τῆς προγάμου δωρεᾶς, ὁ δὲ τῆς προικός. εἰ δὲ ἄδηλον καθεστήκοι τὸ εἰς πολεμίους ἀφικόμενον πρόσωπον, τηνικαῦτα πενταετίαν μενέτω. εἰ δὲ τῷ ἀνδρὶ ἢ τῇ γυναικὶ σαφῆ γένοιτο τὰ τῆς τελευτῆς εἴτε ἄδηλα μένει, γαμεῖν ἔξεστιν ἀκινδύνως. ὥστε ἐνταῦθα οὐδὲ διαισίων γίνεται καιρὸς, οὕτω τῶν προσώπων διεστώτων ἀλλήλων· καὶ οὐδεὶς ἐνταῦθα κερδαίνει, οὔτε ὁ ἀνὴρ τὴν προῖκα, οὔτε ἡ γυνὴ τὴν προγαμιαίαν δωρεὰν, ἀλλ' ἕκαστος ἐπὶ τῶν οἰκείων μένει [3].

4. Χρὴ τὸν ἐν αἰχμαλωσίᾳ κρατηθέντα μέχρι ἐτῶν ιβ ἐκδέχεσθαι· ἐὰν δὲ μετὰ δώδεκα χρόνους ἐπιστολὴν δέξηται, ἐκδεχέσθω αὐτὸν ἑτέρους πέντε χρόνους, καὶ ἀκωλύτως λαμβάνειν ἄνδρα, [καὶ] λαμβάνειν αὐτὴν καὶ εἴτι ἂν ἐγράψατο ὁ ἀνὴρ αὐτῆς ἐπὶ τῆς προικὸς αὐτῆς.

5. Ὁμοίως δὲ καὶ ὁ ἐπὶ πραγματείας ἀπιὼν μέχρι τριετίας

---

[1] Athan. π. διαφ. ἀναγν. §. 19 ex Nov. 162. [2] Ath. ibid. §. 10 ex Nov. 115. [3] Proch. XI, 3.

[παρὰ] ἀγνοοῦντος ἐκδεχέσθω· ἐὰν δὲ μετὰ τὴν τριετίαν δέξηται ἐπιστολὴν, ἐκδέξηται αὐτὸν ἑτέρους γ̄ χρόνους, καὶ ἀκωλύτως ἄνδρα λαμβάνειν, μὴ δυναμένου τοῦ πρώτου αὐτῆς ἀνδρὸς ἀντικαθίστασθαι αὐτῇ· ἐὰν δὲ καὶ τέκνα ἔσχεν ἐξ αὐτοῦ, ὡς ἀθετήσας αὐτὴν λαμβάνειν αὐτά [4].

6. Εἰ δὲ ἐν αἰχμαλωσίᾳ κρατηθεὶς, οἱ τούτου παῖδες μείζονες ἐτῶν δέκα καὶ ὀκτὼ ὑπάρχοντες μὴ σπουδάσωσι εἰς τὴν αὐτοῦ ἀνάῤῥυσιν, ἀχαριστῶνται· ὁμοίως καὶ οἱ τούτου ἀδελφοὶ καὶ συγγενεῖς. εἰ δὲ ὡς εἴρηται ἐξ ἀμελείας τῶν παίδων καὶ τῶν συγκληρονόμων μὴ ἐλευθερωθῇ, ἀλλ' ἐν αἰχμαλωσίᾳ τελευτήσει, ἐκείνους εἰς τὴν αὐτοῦ διαδοχὴν ἐλθεῖν οὐκ ἀνεχόμεθα, οἵτινες οὐκ ἐσπούδασαν εἰς τὴν ἀνάῤῥυσιν αὐτοῦ· ἀλλὰ τῇ ἐκκλησίᾳ ἐξ ἧς ὁρμᾶται ἅπαντα τὰ πράγματα αὐτοῦ προσκυροῦσθαι, καταγραφῆς δηλαδὴ ἐπὶ δημοσίου ἐκμαρτυρίου γινομένης· ὥστε μηδὲν ἐξ αὐτῶν παραπολέσθαι, ἀλλ' εἰς ἀνάῤῥυσιν αἰχμαλώτων προχωρεῖν [5].

7. Ὁμοίως καὶ πᾶν ἱερὸν σκεῦος ἐπὶ μόνῃ ἀναῤῥύσει αἰχμαλώτων ἐκποιείσθω, τῶν παραβαινόντων δὲ ταῖς ποιναῖς ὑποβαλλομένων τῆς λέοντος διατάξεως [6].

ΤΙΤΛΟΣ λγ'.

Περὶ διαμερισμοῦ σκύλων καὶ γαμβρευσαμένων στρατιωτῶν.

1. Τοὺς ἐξερχομένους εἰς ἐχθροὺς ἐπὶ πολέμῳ φυλάξαι δεῖ ἑαυτοὺς ἀπὸ παντὸς πονηροῦ πράγματος καὶ πρὸς μόνον τὸν θεὸν τὸν νοῦν αὐτῶν ἔχειν καὶ τὴν δέησιν καὶ μετὰ συμβουλίας ποιῆσαι τὸν πόλεμον. βοήθεια δὲ ἐκ θεοῦ δίδοται μετὰ καρδίας βουλευτικῆς· οὐκ ἐν πλήθει γὰρ δυνάμεως νίκη πολέμου, ἀλλ' ἐκ θεοῦ ἡ ἰσχύς. τοῦ δὲ θεοῦ παρέχοντος τὴν νίκην, τὸ ἕκτον μέρος ἀφαιρείσθω τῷ δημοσίῳ· τὸ δὲ λοιπὸν πᾶν μέρος παντὶ τῷ λαῷ ἐπ' ἴσης καὶ ἐξ ἴσης μοίρας μερίζεσθαι, τὸν μέγαν καὶ τὸν μικρόν. ἀρκεῖ γὰρ τοῖς ἄρχουσιν ἡ προσθήκη τῶν

---

4 Unde sumtae sint §§. 4 et 5, hactenus invenire non potui. Interim cf. Cod. V, 17, 2. 5 Nov. 115 c. 3. §. 13. (Proch. XXXIII, 10. 11.) 6 Athan. II, 1 ex Nov. 7.

ῥογῶν αὐτῶν. εἰ δὲ εὑρεθῶσίν τινες ἐκ τῶν ἀρχόντων ἀνδρείως φερόμενοι, ὁ εὑρισκόμενος στρατηγὸς ἐκ τοῦ μέρους τοῦ δημοσίου παρεχέτω καὶ κατὰ τὸ πρέπον συγκροτήσῃ αὐτούς. κατὰ δὲ τὴν μερίδα τοῦ εὑρισκομένου εἰς τὸν πόλεμον οὕτως ἔστω κατὰ τὸ γεγραμμένον καὶ ἡ μερὶς τῶν ἐν τοῖς τούλδοις εὑρισκομένων [1].

2. Ἔκριναν οἱ εὐσεβεῖς καὶ φιλοδίκαιοι ἡμῶν βασιλεῖς κατὰ τοὺς εὐσεβεῖς νόμους, ἵνα ὁ στρατιώτης γαμβρὸς ἅπαντα, ἅπερ εἰσήγαγεν εἴδη καὶ πράγματα ἐν τῷ οἴκῳ τοῦ πενθεροῦ, ἀπὸ βασιλικῶν δωρημάτων, ἀπὸ ῥογῶν αὐτοῦ καὶ ἐκ τοῦ σπαθίου αὐτοῦ, ἐπαίρειν αὐτὰ ἀνελλιπῶς· προδήλως τοῦ πενθεροῦ αὐτοῦ καταγραφομένου ἅσπερ ἐποιήσατο εἰς αὐτὸν ἐξόδους, τουτέστιν εἰς στρατιωτικὴν αὐτοῦ ἐξόπλισιν, εἰς δαπάνην αὐτοῦ καὶ εἰς φορεσίαν, καὶ ἁπλῶς εἴτι δυνηθῇ παραστῆσαι [δεδωκέναι] εἰς ἀγορασίας καὶ ἐξόδους αὐτοῦ [2].

ΤΙΤΛΟΣ λδ'.

Ῥούφου καὶ ποιναλίου περὶ στρατιωτικῶν ἐπιτιμίων *.

1. Οἵτινες τολμήσουσιν συνουσίαν ἢ φρατρίαν ἢ στάσιν κατὰ τοῦ ἰδίου ἄρχοντος ποιῆσαι ὑπὲρ οἱασδήποτε αἰτίας, κεφαλικῇ ὑποβληθήσονται τιμωρίᾳ, καὶ ἐξαίρετον οἱ πρῶτοι καὶ αἴτιοι τῆς συνουσίας ἢ τῆς στάσεως γενόμενοι.

2. Ἐὰν στρατιώτης τῷ ἰδίῳ πεντάρχῳ μὴ ὑπακούσας ἐναντιωθῇ, σωφρονιζέσθω· ὁμοίως καὶ ὁ πένταρχος, ἐὰν τῷ ἰδίῳ δεκάρχῳ μὴ ὑπακούσῃ· ὡσαύτως δὲ καὶ ἐὰν δέκαρχος τῷ ἰδίῳ ἑκατοντάρχῳ. εἰ δέ τις τῶν τοῦ τάγματος τολμήσει ἐναντιωθῆναι τῷ μείζονι ἄρχοντι αὐτοῦ, ἤγουν κόμητι ἢ τριβούνῳ, τῇ ἐσχάτῃ ὑποκείσθω τιμωρίᾳ.

3. Ἐάν τις ἀκούσας τὸ μανδάτον τοῦ δεκάρχου αὐτοῦ μὴ φυλάξῃ, σωφρονιζέσθω· εἰ δὲ ἀγνοῶν τὰ μανδάτα πταίσῃ, ὁ δέκαρχος σωφρονιζέσθω δι' ὧν οὐ προεδίδαξεν αὐτόν.

4. Ἐὰν στρατιώτης ἀδικηθῇ ὑπό τινος, τῷ ἄρχοντι τοῦ τάγματος ἐγκαλείτω. εἰ δὲ παρὰ τοῦ ἄρχοντος ἀδικηθῇ, τῷ μείζονι ἄρχοντι τοῦ τάγματος ἐγκαλείτω.

---

[1] Ecl. tit. 18. [2] Cf. Leunclavii JGR. II p. 133.

* Totus hic titulus ex legibus militaribus sumtus est.

5. Εἴ τις τολμήσει βαγεῦσαι ὑπὲρ τὸν χρόνον τοῦ κομμεάτου, καὶ τῆς στρατείας ἐκβαλλέσθω, καὶ ὡς παγανὸς τοῖς πολιτικοῖς ἄρχουσιν ἐκδιδόσθω.

6. Εἴ τις ἐν καιρῷ τοῦ πολέμου διὰ κομμεάτου στρατιώτην ἀπολῦσαι τολμήσει, λ̄ νομίσματα ποινὴν διδότω· ἐν καιρῷ δὲ παραχειμαδίου [δύο] ἢ καὶ τριῶν μηνῶν ποιείτω κομμεάτα ὁ στρατιώτης· ἐν καιρῷ δὲ εἰρήνης κατὰ τὸ διάστημα τῆς ἰδίας ἐπαρχίας τὰ κομμεάτα τῷ στρατιώτῃ γενέσθω.

7. Εἴ τις ἐλεγχθῇ θελήσας ἑαυτὸν τοῖς ἐχθροῖς παραδιδόναι, τῇ ἐσχάτῃ ὑποβληθήσεται τιμωρίᾳ· οὐ μόνον αὐτός, ἀλλὰ καὶ οἱ συγγνώσαντες αὐτῷ καὶ σιωπήσαντες.

8. Εἴ τις ζημιώσει στρατιώτην ἢ συντελεστήν, ἐν διπλῇ ποσότητι τὸ αὐτὸ ἀποκαταστήσει τῷ ζημιωθέντι· εἰ δὲ οἱοσδήποτε ἄρχων ἐν παραχειμαδίῳ ἢ κατὰ πάροδον ἢ εἰς τὰ σέδετα ζημιώσει στρατιώτην ἢ συντελεστήν, καὶ τοῦ δέοντος οὐκ ἀποθεραπεύσει, ἐν διπλῇ ποσότητι τὸ ζημιωθὲν ἀποκαταστήσει.

9. Εἰ δέ τις ἄλογον ζῶον ἢ ἕτερόν τι εἶδος μικρὸν ἢ μέγα εὑρὼν μὴ φανερώσει αὐτὸ καὶ τῷ ἰδίῳ ἄρχοντι δώσει, ὡς κλέπτης σωφρονιζέσθω αὐτὸς καὶ οἱ συγγνόντες αὐτῷ καὶ σιωπήσαντες.

10. Ἐάν τις στρατιώτης ἐν καιρῷ τοῦ πολέμου ῥίψῃ τὰ ὅπλα αὐτοῦ, κελεύομεν τοῦτον τιμωρεῖσθαι ὡς ἑαυτὸν γυμνώσαντα καὶ τοὺς ἐχθροὺς ὁπλίσαντα.

11. Εἴ τις τὴν τάξιν ἢ τὸ βάνδον αὐτοῦ ἐάσῃ καὶ φύγῃ, τοῦτον κελεύομεν κεφαλικῶς τιμωρεῖσθαι.

12. Ἐὰν ἐν καιρῷ δημοσίας παρατάξεως ἢ πολέμου γένηται τροπὴ ἄνευ τινὸς λόγου καὶ φανερᾶς αἰτίας, κελεύομεν τοὺς στρατιώτας ἐκείνου τοῦ τάγματος τοῦ πρώτου φεύγοντος καὶ ἀναχωροῦντος ὑπὸ τῶν λοιπῶν ταγμάτων τοξεύεσθαι.

13. Οἱ ἔξαρχοι καὶ οἱ ὁπωσοῦν διασώζοντες τὸ στράτευμα, ἐὰν ἀργυρολογῶσιν τὰ χωρία, εἰς τὸ διπλάσιον καταδικάζονται.

14. Οἱ τῶν αταξιῶν ἔξαρχοι καὶ τὸν δῆμον θορυβοῦντες, κατὰ τὴν τῆς οἰκείας ἀταξίας ποιότητα ἢ ἀποτέμνονται ἢ ἐξορίζονται.

15. Τοῦ μβ̄ βιβλίου τῶν διγέστων. — Ἐὰν στρατιώτης ἐναντιωθῇ τῷ ἰδίῳ ἄρχοντι βουλομένῳ αὐτὸν τυπτῆσαι, εἰ μὲν κατέσχεν μόνον τὴν ῥάβδον, τῆς στρατείας ἐξωθήτω· εἰ δὲ καὶ ἐξεπίτηδες ἔκλασεν αὐτὴν ἢ χεῖρας αὐτῷ ἐπήγαγεν, ἐσχάτως τιμωρεῖται.

16. Ἐὰν τὸν ἴδιον ἔξαρχον οἱ στρατιῶται ἐγκαταλίπωσιν,

ἢ παραχωρήσωσιν ὑπὸ ἐχθρῶν αὐτὸν συσχεθῆναι καὶ μὴ ὑπερασπίσωσιν αὐτὸν δυνάμενοι αὐτὸν διαφυλάξαι, κἀντεῦθεν συμβῇ αὐτὸν τελευτῆσαι, κεφαλικῶς τιμωροῦνται.

17. Τοῦ αὐτοῦ βιβλίου. — Ὁ ἀφορισθεὶς εἰς παραφυλακὴν τοῦ παλατίου καὶ καταλιπὼν τὰς περὶ αὐτὸ ἀγρυπνίας καὶ ἐξκούβιτα, ἐσχάτως τιμωρεῖται· εἰ δὲ φιλανθρωπίας ἀξιούμενος, τυπτόμενος ἐξοριζέσθω.

18. Ὁ εἰς βαρβάρους ἀπιὼν, ἢ καὶ προφάσει πρεσβείας παραγινομένων αὐτῶν ὅπλα πιπράσκων εἰργασμένα ἢ ἀνέργαστα ἢ τὸ οἱονοῦν σιδήριον, τῇ ἐσχάτῃ ὑπόκειται τιμωρίᾳ.

19. Ὁ τοὺς πολεμίους ἐρεθίζων ἢ παραδιδοὺς πολεμίοις ῥωμαῖον, κεφαλικῶς τιμωρεῖται.

20. Τοὺς ἐκ τῶν ῥωμαϊκῶν μερῶν πρὸς τοὺς πολεμίους ἀποφεύγοντας ὡς πολεμίους ἔξεστιν ἀκινδύνως φονεύειν.

21. Ὁ βουλόμενος αὐτομολῆσαι πρὸς βαρβάρους, ἐὰν ἐπισχεθῇ, κεφαλικῶς τιμωρεῖται.

22. Ἐὰν στρατιώτης ἐν καιρῷ τοῦ πολέμου πρᾶγμα ἀπηγορευμένον αὐτῷ παρὰ τοῦ ἄρχοντος ποιήσῃ, ἐσχάτως τιμωρεῖται, εἰ καὶ καλῶς τὸ πρᾶγμα διοικήσῃ.

23. Ἐὰν πολεμίων ἐπισταμένων βαγεύσῃ ὁ στρατιώτης, ἢ ἀπὸ τοῦ φοσσάτου ἀναχωρήσῃ, ἢ πρῶτος ἐν παρατάξει φύγῃ ἐπ' ὄψεσιν τῶν συστρατιωτῶν, ἢ τὰ ἴδια ὅπλα ἀπολέσῃ, εἰς κεφαλὴν κολάζεται· εἰ δὲ φιλανθρωπίας τύχῃ, τυπτόμενος τὴν στρατείαν ἐναλλάττει.

24. Ὁ λίθῳ τραυματίσας τὸν συστρατιώτην αὐτοῦ, ἢ καὶ ἑαυτὸν ἐξεπίτηδες τραυματίσας, τυπτόμενος τῆς στρατείας ἐξωθεῖται.

25. Ὁ στρατιώτης κλέπτων ἐν οἱῳδήποτε τόπῳ τὸ οἱονοῦν εἶδος, καὶ τὸ διπλάσιον παρέχει καὶ τῆς στρατείας ἀποβάλλεται.

26. Ὁ κεφαλικῇ τιμωρίᾳ καταδικασθεὶς ἢ ἐξορίᾳ ἢ ἑτέρῳ πουβλίκῳ ἐγκλήματι, κἂν τὴν τιμωρίαν διαφυγεῖν δυνηθῇ, οὐδέποτε στρατεύεται.

27. Οἱ ἐξ οἱασδήποτε αἰτίας ἐπ' ἀτιμίᾳ ἐκπεσόντες τῆς στρατείας οὐδεμίαν τιμὴν δύνανται ἔχειν ποτὲ ἢ πράττειν.

28. Οἱ στρατιῶται οὐδὲ διοικηταὶ οὔτε ἐγγυηταὶ ἀλλοτρίων πραγμάτων γίνονται.

29. Ὅστις στρατιώτης τῷ φόβῳ τῶν πολεμίων νοσεῖν τὸ σῶμα προσεποιήσατο, κεφαλικῶς τιμωρεῖται.

30. Ἐάν τις τὸ χαράκωμα τὸ προσταγὲν αὐτῷ ἐξέλθῃ, κεφαλικὴν κολάζεται τιμωρίαν.

31. *Εἴ τις τὴν φόσσαν αὐτοῦ παρέλθῃ, τῆς στρατείας ἐκπίπτει.*

32. *Ὁ ἁμαρτάνων εἰς βασιλέα δημεύεται καὶ φονεύεται· καὶ ἡ μνήμη αὐτοῦ κρίνεται μετὰ θάνατον.*

33. *Ὁ στρατιώτης κλέπτων ὅπλα ἀλλότρια τοῦ βαθμοῦ τῆς στρατείας ἐξωθεῖται.*

34. *Ὁ πρὸς τοὺς πολεμίους ἀποφυγὼν καὶ ὑποστρέψας, βασανιζόμενος θηρίοις παραδίδοται ἢ φουρκίζεται.*

35. *Οἱ ἐπὶ μοιχείᾳ ἢ ἐν ἄλλῳ ἐγκλήματι πουβλίκῳ κατακριθέντες οὐκ εἰσι δεκτοὶ βουλόμενοι στρατευθῆναι.*

36. *Ὅστις ἀποφύγῃ τοῦ στρατευθῆναι, στρατιωτικῶς κολάζεται· βαρὺ γὰρ ἁμάρτημά ἐστιν τὸ ἐκφυγεῖν τὰ λειτουργήματα τῆς στρατείας. οἱ γὰρ προσκαλούμενοι ἐπὶ τὸ στρατευθῆναι καὶ ἀποφεύγοντες ὡς προδόται τῆς οἰκείας ἐλευθερίας καταδουλοῦνται.*

37. *Ἐάν τις τὸν ἴδιον υἱὸν ἐν καιρῷ πολέμου ὑφέληται τῆς στρατείας αὐτοῦ, ἐξορίζεται καὶ εἰς μέρος τῆς οὐσίας αὐτοῦ δημεύεται.*

38. *Εἴ τις τὸν υἱὸν αὐτοῦ ἐν καιρῷ πολέμου ἀχρειώσει, ἵνα μὴ ᾖ ἐπιτήδειος πρὸς τὴν στρατείαν, ἐξοριζέσθω.*

39. *Ἐάν τις στρατιώτης χεῖρας ἐπιβάλλῃ τῷ ἰδίῳ πραιποσίτῳ, κεφαλικῶς τιμωρεῖται.*

40. *Οἵτινες κατὰ οἶνον καὶ μέθην ἢ κατὰ ἄλλην τρυφὴν ὀλισθαίνοντες ἁμαρτάνωσιν, κεφαλικὴν τιμωρίαν συγχωροῦνται· ἐπιφέρεται δὲ αὐτοῖς ἡ τῆς στρατείας ἐναλλαγή.*

41. *Ὁ τὴν τάξιν αὐτοῦ ἐν πολέμῳ παρελθὼν ἢ ῥοπάλοις τυπτέσθω ἢ τὴν στρατείαν ἐναλλαττέσθω.*

42. *Ἐάν τινες φυλάττοντες πρόσωπα κατὰ ῥαθυμίαν ἀπολέσωσιν αὐτά, ἢ τύπτονται ἢ τὴν στρατείαν ἀποβάλλονται κατὰ τὸ μέτρον τοῦ ἁμαρτήματος.*

43. *Εἴ τις τὸν ἴδιον συστρατιώτην τραυματίσῃ, εἰ μὲν λίθῳ τοῦτο ποιήσει, ἀπωθεῖται τῆς στρατείας· εἰ δὲ ξίφει, κεφαλικῶς τιμωρεῖται.*

ΤΙΤΛΟΣ λε'.

Ποιναλίου περὶ φαρμάκων καὶ γοήτων.

1. *Τοῦ μη βιβλίου διγ.* — *Ἐὰν γυνὴ λαβοῦσα χρήματα παρὰ τῶν ἰνστιτούτων κληρονόμων ἐπὶ τὸ ἀμβλῶναι τὸν*

ἐγκυμονούμενον παρ᾽ αὐτῆς ἰνστιτοῦτον ὄντα κληρονόμον διά τινος φαρμάκου ἐκτρώσει, κεφαλικῶς τιμωρεῖται [1].

2. *Ἐκ τοῦ αὐτοῦ βιβλίου.* — *Οἱ ἐπὶ τὸ ἐκτρῶσαι παρέχοντες πόμα ἢ ἐρωτικὸν, εἰ μὴ κατὰ δόλον τοῦτο ποιοῦσιν, ἐπειδὴ κάκιστόν ἐστιν τὸ ὑπόδειγμα, εὐτελεῖς μὲν ὄντες μετάλλῳ παραδίδονται, σεμνότεροι δὲ εἰς νῆσον ἐξορίζονται δημευόμενοι εἰς μέρος. εἰ δὲ ἐκ τούτου τελευτήσει γυνὴ ἢ ἄνθρωπος, τὴν ἐσχάτην ὑπομένουσιν τιμωρίαν* [2].

3. *Ὁ φάρμακα ἀντὶ ἰατρείας δούλῳ δεδωκὼς ὑπόκειται [εἰς] τὸ ἔργον ὡς αἰτίαν θανάτου παρασχών* [3].

4. *Ἡ ἰατρίνα εἰ μὲν τῇ δούλῃ δῷ φάρμακον, ἡ δὲ λαβοῦσα τελευτήσῃ, οὐ χώρα τῇ [εἰς] τὸ ἔργον· εἰ δὲ χερσὶν οἰκείαις ἡ ἰατρίνα τὸ φάρμακον ἐπέβαλεν, ὁ ἀκουΐλιος ἁρμόζει, ὡς ὅτε τὶς ἀλείψει τινὰ φάρμακον ἢ ἐμβάλῃ αὐτὸ διὰ στόματος ἢ κλυστῆρος βίᾳ ἢ συμβουλῇ* [4].

5. *Οὐ διαιροῦνται μεταξὺ τῶν κληρονόμων τὰ ἐν τῇ κληρονομίᾳ εὑρεθέντα κακὰ φάρμακα ἢ μαγικὰ βιβλία ἢ τὰ ὅμοια, ἀλλ᾽ ὑπὸ τῆς ἐξουσίας τοῦ δικαστοῦ φθείρονται* [5].

6. *Τῷ περὶ φονέων καὶ γοήτων κατέχεται ὁ ποιήσας φάρμακα ἐπὶ ἀναιρέσει ἀνθρώπων ἢ ἐσχηκὼς ἢ πωλήσας, καὶ ὁ δημοσίως δηλητήρια ἀναιρετικὰ πιπράσκων ἢ ἔχων. ἐστὶν δὲ καὶ καλὰ φάρμακα· τὸ γὰρ ὄνομα τοῦ φαρμάκου τῶν μέσων ἐστὶν, καὶ περιλαμβάνει καὶ τὰ πρὸς ὑγείαν κατασκευαζόμενα φάρμακα καὶ τὰ πρὸς ἀναίρεσιν καὶ τὰ ἐρωτικὰ ἤτοι φίλτρα λεγόμενα. ἐπινένεκται δὲ τῷ νόμῳ ὁ ἐπὶ ἀναιρέσει ἀνθρώπων ἐσχηκὼς τοιοῦτον φάρμακον· ἀπὸ δὲ δόγματος συγκλητικῶν ἐξορισθῆναι ἐκελεύσθη γυνὴ, μὴ κακῇ μὲν προαιρέσει, κακῷ δὲ ὑποδείγματι παρεσχηκυῖα φάρμακον* [6].

7. *Κατέχεται καὶ ἀποκεφαλίζεται ὁ διὰ τὸ φονεῦσαι ἄνθρωπον φάρμακα ποιῶν ἢ πιπράσκων· εἰσὶ δὲ φάρμακα καὶ τὰ λεγόμενα φίλτρα· εἰ δὲ καί τις μὴ κακῷ λογισμῷ δώσει γυναικὶ συλληπτικὸν, καὶ τελευτήσει ἡ λαβοῦσα, ἐξορίζεται. καὶ ὁ πιμεντάριος ὁ προπετῶς διδοὺς τὸ κόνιον ἢ σαλαμάνδραν ἢ ἀκονιτὸν ἢ πιτυοκόμπην ἢ βούβρωστιν ἢ μανδραγόραν*

---

[1] Dig. XLVIII, 19, 39. (App. Eclogae. Cf. Delin. p. 31.) [2] Dig. XLVIII, 19, 38 §. 5. (App. Ecl. l. l.) [3] Dig. IX, 2, 7. Cf. Coll. const. eccles. II. tit. *περὶ θυσιῶν*. [4] Dig. IX, 2, 9. Cf. Collect. laud. [5] Dig. X, 2, 4. Cf. Collect. laud. [6] Dig. XLVIII, 8, 3 pr — §. 2. Append. Eclogae XXXIII.

ἢ κανθαρίδας· ὡς ἡ τρίτη διάταξις ἀναγορεύει· καὶ ἀνάγν. τὴν α̅ διάταξιν τοῦ αὐτοῦ τίτλου [7].

8. Ὁ ποιῶν ἢ ἔχων ἀπηγορευμένας θυσίας τῷ ἀποκεφαλισμῷ ὑπόκειται [8].

9. Ὁ ποιῶν τι πρὸς τὸ διαστρέψαι τοὺς ἁπλουστέρους εἰς τὴν περὶ τὸ θεῖον θρησκείαν, ἐξορίζεται [9].

10. Ἐὰν ἀστρολόγος ἢ ἑτέραν ἀπηγορευμένην μαντείαν μετιὼν ἐρωτηθεὶς εἴπῃ κλέπτην τὸν μὴ ὄντα, τῇ μὲν ἀτιμίᾳ οὐκ ἐνέχεται, ὑπόκειται δὲ ταῖς διατάξεσιν [10].

11. Τοῦ κώδικος. — Ὁ διὰ θυσιῶν μαντευόμενος ἱερεὺς τῶν ἑλλήνων εἰσιὼν εἰς οἶκον ἀλλότριον, καιέσθω· ὁ δὲ μετακαλεσάμενος αὐτὸν δημευέσθω καὶ ἐξοριζέσθω [11].

12. Ὁ μάγος κἂν μηδὲν ποιῶν ἐξ αὐτοῦ τοῦ εἰδέναι κολάζεται [12].

13. Οἱ μάγοι θηρίοις παραδιδόσθωσαν [13].

14. Οἱ ἐν κωνσταντινουπόλει μαντευόμενοι, εἰ καὶ ἀξιωματικοί εἰσιν, ἐν ξύλῳ ἀναρτάσθωσαν καὶ ξεσέσθωσαν [14].

ΤΙΤΛΟΣ λϛ΄.

Ποιναλίου περὶ αἱρετικῶν καὶ μανιχαίων, καὶ τὸ πῶς ὁρκίζεται ἰουδαῖος, καὶ περὶ τοῦ μὴ ἔχειν αἱρετικὸν χριστιανὸν ἀνδράποδον.

1. Οἱ μετὰ τὸ ἅγιον βάπτισμα τῇ πλάνῃ τῶν ἑλλήνων ἐπιμένοντες ἐσχάτως τιμωροῦνται. οἱ δὲ μήπω βαπτισθέντες ἑαυτοὺς καὶ παῖδας καὶ γαμετὰς καὶ πάντας τοὺς ὑπ᾿ αὐτῶν προσαγέτωσαν ταῖς ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις, καὶ τὰ μὲν αὐτῶν τέκνα μικρὰ ὄντα χωρὶς ἀναβολῆς βαπτίζονται, οἱ δὲ τέλειοι πρότερον τὰς γραφὰς κατὰ τοὺς κανόνας διδάσκονται. εἰ δὲ διὰ τὸ τυχεῖν στρατείας ἢ ἀξίας, ἢ οὐσίαν ἔχειν, χρηματίζονται βαπτίζεσθαι, καὶ τοὺς παῖδας καὶ τὰς γαμετὰς καὶ τοὺς ἐν τῇ οἰκίᾳ αὐτῶν ἐν τῇ πλάνῃ ἐάσωσιν, δημεύονται, καὶ δεόν-

---

[7] Dig. XLVIII, 8, 3 pr. §. 2. 3. Cf. Collect. constit. eccles. II. tit. περὶ φονέως. [8] Dig. XLVIII, 8, 13. Cf. Coll. const. eccl. l. c. [9] Dig. XLVIII, 19, 30. Cf. Collect. laud [10] Dig. XLVII, 10, 15 §. 9. Cf Collect. laud. [11] Cod. IX, 18, 3 [12] Cod eod 4. [13] Cod. eod. 6. [14] Cod. eod. 7.

τως τιμωροῦνται καὶ τῆς πολιτείας οὐ μετέχουσιν. εἰ δὲ μὴ βαπτισθῶσιν, οὐ μετέχουσίν τινος πολιτείας, οὔτε κυριεύουσιν οὐσίας κινητῆς ἢ ἀκινήτου, ἀλλὰ τὸ δημόσιον αὐτὰ ἐκδικεῖ καὶ ἁρμοδίως τιμωροῦνται καὶ ἐξορίζονται. εἰ δὲ φανῶσιν θυσιάζοντες ἢ εἰδωλολατροῦντες, ἐσχάτως ὡς οἱ μανιχαῖοι τιμωροῦνται [1].

2. Ὁ σαμαρείτης ἢ ἰουδαῖος τῆς τῶν χριστιανῶν πίστεως ἀποστῆσαί τινας πειρασθεὶς, καὶ δημεύσει ὑποβάλλεται καὶ τὴν κεφαλὴν ἀποτέμνεται [2].

3. Οἱ αἱρετικοὶ συνακτήρια ποιεῖν οὐ δύνανται, ἢ παρασυνάξεις, ἢ συνόδους, ἢ χειροτονίας, ἢ βαπτίσματα, ἢ ἐξάρχους ἔχειν, ἢ πατερίας ἢ ἐκδικίας ἐγχειρίζεσθαι ἢ φροντίζειν, ἢ διοικεῖν χωρία δι' ἑαυτῶν ἢ [διὰ παρενθέτων προσώπων, ἤ τι] τῶν ἀπηγορευμένων ποιεῖν· ὁ δὲ παραβαίνων, ἐσχάτως κινδυνεύει [3].

4. Ὁ ἀπὸ μανιχαίων γενόμενος ὀρθόδοξος ἐὰν εὑρεθῇ τὰ τῆς πλάνης ποιῶν, ἢ συνδιάγων ἢ ὁμιλῶν μανιχαίοις, καὶ μὴ παραχρῆμα παραδιδοὺς αὐτοὺς νομίμῳ δικαστῇ, ἐσχάτως τιμωρεῖται. ὁ ἔχων βιβλία μανιχαῖα καὶ μὴ φέρων αὐτὰ ἐπὶ τὸ καυθῆναι, τιμωρεῖται. οἱ ἐν ἀξίαις καὶ στρατείαις ὄντες ἐπιμελῶς τοὺς ἐν αὐτοῖς τοιούτους ὄντας ἀναζητείτωσαν καὶ παραδιδότωσαν [4].

5. Οἱ ἀρειανοὶ, οἱ μακεδονιανοὶ, οἱ πνευματομάχοι, οἱ ἀπολιναρισταὶ, οἱ ναβατιανοὶ, σαβατιανοὶ, οἱ εὐνομιανοὶ, οἱ τετραδίται ἤγουν δ̅ καὶ δεκασταὶ, οἱ φρύγανες, οἱ βαλεντινιανοὶ, οἱ παπιανισταὶ ἤγουν πρισκιλιανίται, οἱ πεπουζίται, οἱ βορβοριανοὶ, οἱ μασαλιανοὶ, οἱ εὐτυχηταὶ ἤγουν θεσιασταὶ, οἱ δονατισταί, οἱ ὑδροπαραστάται, οἱ αὐδιανοὶ, οἱ ἀσκόδρουγοι, οἱ βραθρουκισταὶ, οἱ ἑρμιταὶ, οἱ παυλιανοὶ, οἱ μακελλιανοὶ, οἱ ὀφίται, οἱ ἐγκατισταὶ, οἱ ἀποτακτίται, οἱ σακκοφόροι, οἱ πάντων χείρονες μανιχαῖοι, οὐ δύνανται συνάγεσθαι ἢ εὔχεσθαι, ἀλλὰ καὶ τῶν πόλεων ἐκβάλλονται· κύρια δὲ ἐστὶν πάντα τὰ κατὰ τῶν αἱρετικῶν νομοθετηθέντα [5].

6. Τὰ ἱερὰ κλειέσθω καὶ μηδεὶς θυέτω· εἰ δέ τις ἁμαρτήσει τοῦτο, ἀποκεφαλιζέσθω [6].

7. Αἱ τῶν σαμαρειτῶν συναγωγαὶ καθαιροῦνται [7].

---

[1] Cod. I, 11, 10. — Appendix Eclogae XXXVIII. [2] Cod. I, 9, 18. — App. Ecl. XXXIX. [3] Cod. I, 5, 14. — App. Ecl. XLIII. [4] Cod. I, 5, 16. — App. Ecl. XLIV. [5] Cod. I, 5, 5. — App. Ecl. XLII. [6] Cod. I, 11, 1. — App. Ecl. XLV. [7] Cod. I, 5, 17. — App. Ecl. XLVI.

8. *Οἱ αἱρετικοῖς κοινωνοῦντες ἢ συνάξεις ἢ βαπτίσματα ποιοῦντες, τιμωροῦνται ὡς οἱ τὸν νόμον παραβαίνοντες* [8].

9. *Ὁ ἀπὸ χριστιανῶν γενόμενος ἰουδαῖος δημεύεται* [9].

10. *Ὁ ὀρθόδοξος ἢ κληρικὸς ἢ μοναχὸς θρησκεύων τὰ εὐτυχοῦς ἢ ἀπολιναρίου ὑπόκειται τοῖς κατὰ αἱρετικῶν νόμοις καὶ τῆς ῥωμαϊκῆς ἐξωθεῖται [πολιτείας κατὰ τὰ περὶ μανιχαίων] νομοθετηθέντα* [10].

11. *Ὁ ἀναβαπτίζων ὀρθόδοξον σὺν αὐτῷ ἐσχάτως τιμωρεῖται, εἴγε ἡλικίας ἦν δεκτικῆς ἐγκλήματος* [11].

12. *Οἱ μανιχαῖοι καὶ φρύγες βαπτίζονται, οἱ εὐνομιανοὶ καὶ οἱ ἀρειανοὶ χρίονται, οἱ παυλιανοὶ καὶ φωτιανοὶ βαπτίζονται, οἱ ἀπολιναρισταὶ ἀναγγέλλουσιν τὴν ἐν νικαίᾳ πίστιν* [12].

13. *Οὐ δύναται ἰουδαῖος τυχεῖν ἀξιώματος οὔτε ἄρχειν οὔτε πράττειν οὔτε στρατιὰν ἔχειν· ὑπόκειται δὲ τῇ τύχῃ τῶν κοορταλλίνων καὶ τοῖς ἐντεῦθεν βάρεσιν. ὁ δὲ τῶν εἰρημένων ἐντὸς γενέσθαι σπουδάσας, καὶ τούτων ἐκπίπτειν καὶ ζημιοῦσθαι χρυσίου λίτρας λ̅* [13].

14. *Τὸ πῶς ὁρκίζεται ὁ ἰουδαῖος* [14]. *Λύσον τὴν ζωστικὴν αὐτοῦ καὶ ζῶσον αὐτὸν βάτον, καὶ βάλε αὐτὸν εἰς τὴν θάλασσαν ἕως τοῦ τραχήλου αὐτοῦ, καὶ πιάσῃ τῇ χειρὶ αὐτοῦ τὴν θάλασσαν, καὶ εἴπῃ· μὰ τὸν θεὸν τὸν πλάσαντα τὸν ἀδὰμ καὶ τὴν εὔαν καὶ δώσαντα τῷ μωυσῇ νόμον καὶ σημεῖα μεγάλα καὶ ὡς διὰ ξηρᾶς ὁδηγήσαντα τὸν ἰσραὴλ καὶ ἑτοιμάσαντα τράπεζαν ἐν ἐρήμῳ καὶ θρέψαντα τὸν λαὸν ἄρτῳ οὐρανίῳ ὅτι ἀληθῶς λέγω [καὶ] οὐ ψεύδομαι τόδε καὶ τόδε.*

15. *Ἕλλην καὶ ἰουδαῖος καὶ πᾶς μὴ ὢν ὀρθόδοξος οὐ δύναται χριστιανὸν ἀνδράποδον ἔχειν· ἐπεὶ αὐτὸς ἐλευθεροῦται, καὶ ὁ κτησάμενος διδότω τοῖς πριβάτοις χρυσίου λίτρας λ̅. εἰ δὲ καὶ δοῦλος ἐστὶν, εὐθέως εἰς ἐλευθερίαν ἁρπαζέσθω* [15].

16. *Ἐὰν ἰουδαῖος χριστιανὸν ἀνδράποδον κτήσηται καὶ περιτέμῃ, κεφαλικῶς τιμωρεῖται* [16].

17. *Ὁ δουλεύων ἕλληνι ἢ ἰουδαίῳ ἢ σαμαρείτῃ ἢ αἱρετικῷ, εἰ καὶ μὴ ἔστιν χριστιανὸς, βούλεται δὲ γενέσθαι, ἅμα τῷ σφραγισθῆναι εἰς ἐλευθερίαν ἁρπάζεται, μὴ δυναμένου τοῦ δε-*

---

[8] Cod. I, 5, 20. — App. Ecl. XLVII. [9] Cod. I, 7, 1. — (App. Ecl.) [10] Cod. I, 7, 6. — App. Ecl. XLVIII. [11] Cod. I, 6, 2. — (App. Ecl.) [12] App. Ecl. L. [13] Cod. I, 5, 12. — (App. Ecl.) [14] Cf. Novellas Impp. post Justinian. a me editas p. 441 sq. [15] Cod. I, 3, 54. — App. Ecl. XX. XXI. [16] Cod. I, 10. — App. Ecl. XX.

σπότου αὐτοῦ τοῦτον ἀναδουλοῦν, εἰ καὶ αὐτὸς μετὰ ταῦτα χριστιανὸς γέγονεν [17].

18. Ὁ δοῦλον βιαζόμενος ἢ πείθων ἀπὸ χριστιανῶν εἰς ἀθέμιτον αἵρεσιν μετελθεῖν, δημευθεὶς ἀποτεμνέσθω [18].

ΤΙΤΛΟΣ λζ΄.

Ἐκ τοῦ μ΄ τίτλου περὶ ἁρπαγῆς πραγμάτων καὶ ἀγρῶν καὶ περὶ στασιαστῶν [καὶ περὶ] ἐμπρησμῶν καὶ περὶ τάφων [1].

1. Ὁ δίχα ἄρχοντος ἀπαιτῶν τὸν ἴδιον χρεώστην, ἢ πρᾶγμα αὐτοῦ παραγνώμην αὐτοῦ λαμβάνων, καὶ βίαν ἁμαρτάνει καὶ τοῦ χρέους ἐκπίπτει [2].

2. Ἐὰν χωρὶς δικαστικῆς ἀποφάσεως ἀφέληταί τις πρᾶγμα, εἰ μὲν ἴδιον αὐτοῦ ἦν, ἐκπίπτει τῆς αὐτοῦ δεσποτείας· εἰ δὲ ἀλλότριον, παρεχέτω αὐτὸ τὶ πρᾶγμα καὶ τὴν διατίμησιν αὐτοῦ [3].

3. Ἀρχὴ τῆς β̄ διατάξεως. Τὸ κατὰ βίαν ἢ φόβον γενόμενον οὐχ ἡγήσομαι κύριον [4]. σημ. ὁ βίαν ἢ φόβον ποιῶν ἐνάγεται καὶ ὑπὸ τῶν κληρονόμων τοῦ βιασθέντος ὡς κακὸς νομεύς.

4. Ὁ ἁρπάζων ἢ ἀποκρύπτων ἀλλοτρίαν δούλην πόρνην οὖσαν οὔτε τῷ δὲ βὶ οὔτε τῇ φούρτῃ κατέχεται· οὐ γὰρ κλοπῆς, ἀλλ᾽ ἡδονῆς χάριν ἐποίησε τοῦτο· εἰ γὰρ καὶ τὰς θύρας τὶς κλάσει πόρνης, καὶ εἰσελθόντες ἕτεροι μὴ παρ᾽ αὐτοῦ εἰσαχθέντες κλέψωσι τὰ πράγματα αὐτῆς, οὐκ ἐνέχεται ὡς κλέπτης [5].

5. Ἡ βίαν ὑποστᾶσα οὐχ ὑπόκειται τῷ νόμῳ, κἂν ἐρυθριῶσα τὸ γενόμενον οὐκ ἀνήγγειλεν τῷ ἀνδρὶ παραχρῆμα· καὶ ἀποθανούσης ἐν τῷ γάμῳ τῆς γυναικὸς, δύναται ὁ ἀνὴρ τῷ μοιχῷ κατηγορεῖν [6].

---

[17] Cod. I, 3, 54. — App. Ecl. XXII. [18] Cod. I, 7, 5. — App. Ecl. XXIII.

[1] Sequentia sumta sunt ex Epitome sive genuina sive ad Prochiron mutata tit. XL. [2] Dig. XLVIII, 7, 7. [3] Cod. VIII, 4, 7. (Proch. 39, 49.) [4] Dig. IV, 2, 1. [5] Dig. XLVII, 2, 39. [6] Dig. XLVIII, 5, 39 pr. §. 2.

6. *Τὸ τῆς μοιχείας ἔγκλημα διὰ τῆς πενταετίας σβέννυται· ἀλλὰ τοῦτο λέγομεν περὶ τῶν εἰς ἑκοῦσαν ἡμαρτηκότων* [7].

7. *Ἡ ἁρπαγὴ μείζων ἐστὶν τῆς μοιχείας, καὶ ὁ ἁρπάσας γεγαμημένην ἐσχάτως τιμωρεῖται, καὶ ὁ ἀποκλείων καὶ τύπτων σφοδρῶς τινα, καὶ ὁ ἄρχων φονεύων ἢ τύπτων τὸν ἐγκαλεσάμενον καὶ κλοιὰ περιθεὶς αὐτῷ, καὶ ὁ ποιήσας τὸν δικαστὴν κατὰ δόλον ψηφίσασθαι, εἰς τὸ τετραπλοῦν ἔχειν τὴν ἀπαίτησιν* [8].

8. *Ὅπλα λέγονται πάντα τὰ βέλη, λίθοι, ξύλα, ῥομφαίαι, ῥόπαλα* [9].

9. *Οἱ μεθ' ὅπλων ἐπιόντες καὶ πορθοῦντες ἀλλοτρίους οἴκους ἢ ἀγροὺς εἰς κεφαλὴν τιμωροῦνται* [10].

10. *Κυρίως ἀπελάτης λέγεται, ὅστις θρέμματα ἀπὸ σκηνῆς ἢ βουκολίου ὑποσύρει ἢ ἀπὸ τῶν ἀγελῶν ἵππους· ὁ γὰρ βοῦν ἢ ἵππον πλανώμενον λαβὼν οὐκ ἐστὶν ἀπελάτης. εἰ γάρ τις χοῖρον ἢ αἶγα ἀπελάσει, οὐχ οὕτως σφοδρῶς τιμωρεῖται, ὡς ὁ τέλειον ζῶον* [11].

11. *Ὁ ἀπελαύνων ἀγέλην θηρίοις ὑποβάλλεται* [12].

12. *Δέκα πρόβατα ποιοῦσιν ἀγέλην καὶ χοῖροι πέντε* [13].

13. *Οἱ τοὺς ἀπελάτας ὑποδεχόμενοι ἐπὶ δεκαετίαν τῆς ἰταλίας ἐξορίζονται* [14].

14. *Ἡ ταφὴ τοῦ υἱοῦ χρέος ἐστὶν ἐπικείμενον τῷ πατρί* [15].

15. *Ἐὰν ἀποθανούσης τῆς γυναικὸς καὶ ἐκ τῆς προικὸς αὐτῆς κερδήσῃ ὁ ἀνήρ, ὑπόκειται τὰ δαπανήματα τῆς ταφῆς αὐτῆς* [16].

16. *Ὁ τὴν γαμετὴν κληρονομῶν ἐκ τῆς προικὸς καὶ ἐκ τῆς κληρονομίας θαπτέτω αὐτήν* [17].

17. *Ἐάν τις ἐν πόλει θάψῃ, δίδωσι τῷ φίσκῳ τεσσαράκοντα νομίσματα, καὶ ὁ τόπος φισκοῦται, καὶ τὸ λείψανον οὐ μεταφέρεται, κἂν ἡ συνήθεια τῆς πόλεως ἔχει θάπτειν ἐν αὐτῇ· τοὺς γὰρ γενικοὺς νόμους ἰσχύειν δεῖ πανταχοῦ* [18].

18. *Οἱ τὰ λείψανα ἢ τὰ ὀστᾶ μετακινήσαντες, εὐτελεῖς μὲν ὄντες, κακαισχύντως τιμωροῦνται· ἔντιμοι δὲ δεπορτατεύονται, τουτέστιν ἐξορίζονται* [19].

---

[7] Dig. XLVIII, 5, 29 §. 6. 9. [8] Dig. XLVIII, 6, 5 §. 2 et dig. 6. 7. 10 pr. [9] Dig. XLIII, 16, 3 §. 2. [10] Dig. XLVIII, 6, 11 pr. [11] Dig. XLVII, 14, 1 §. 1. 2. [12] Dig. eod. §. 3. [13] Dig. eod. dig. 3 pr. [14] Dig. eod. §. 3. [15] Dig. XI, 7, 21. [16] Dig. eod. 16. [17] Dig. eod. 22. [18] Dig. XLVII, 12, 3 §. 5. [19] Dig. eod. 11.

19. *Τὸ μὴ διηνεκεῖ ταφῇ δοθὲν λείψανον, καλῶς μεταφέρεται εἰς ἕτερον τόπον* [20].

20. *Καὶ ἔσω πόλεως οὐδεὶς δύναται θάψαι νεκρόν· οὐδὲ ὑπὲρ νεκρῶν οὐδεὶς ἀπαιτεῖται τέλος* [21].

21. *Ἐκ τοῦ μα̅ τίτλου* [22]. — *Ἐάν τις μνηστεύσηται ἣν οὐκ ἔξεστιν, καὶ δωρήσηται αὐτῇ, ὡς παρὰ ἀναξίας ὁ φίσκος τοῦτο ἀφαιρεῖται* [23].

22. *Ἐὰν δοῦλοι περὶ μοιχείας κατηγορούμενοι, διὰ τὴν τῆς μοιχείας ἔρευναν βασανιζόμενοι, ἵνα μὴ φόβῳ τοῦ ὑποστρέψαι πρὸς τὸν δεσπότην ἀποκρύψωσι τὴν ἀλήθειαν, δημόσιοι γίνονται* [24].

23. *Τῆς β̅ διατάξεως.* — *Τοῦ ἀνδρὸς μὴ ἐκδικοῦντος τὸν φόνον τῆς γυναικὸς, ἡ προῖξ καθ᾽ ὅσον διαφέρει αὐτῷ φισκοῦται* [25].

24. *Ἐκ τοῦ μβ̅ τίτλου* [26]. *τῆς ιβ̅ διατάξεως.* — *Ὁ κωλυόμενος ἐν θαλάσσῃ πλεῦσαι, ἢ ἐν δημοσίῳ λουτρῷ λούσασθαι, ἢ ἐν θεάτρῳ θεωρῆσαι ἢ παῖξαι, τὴν ἰνιουριαροὺμ ἔχει* [27].

25. *Ἐὰν παίζων ἢ ἀγωνιζόμενος κρούσῃς τινὰ, οὐκ ἐνέχῃ τῇ ὕβρει, οὔτε μὴν ὁ τὸν ἐλεύθερον ὡς δοῦλον τύπτων* [28].

26. *Ὁ πάτρων φραγγελλίῳ τύπτων τὸν ἀπελεύθερον, τῇ περὶ ὕβρεως ἐνάγεται* [29].

27. *Ὅτι ὁ ἐλεύθερος μὲν ὑβρίζων εἰς χρήματα καταδικάζεται, ὁ δὲ οἰκέτης μαστιγοῦται* [30].

28. *Ἀτιμώρητοι τύπτουσιν διδάσκαλοι μαθητὰς καὶ πατέρες παῖδας. κἂν σφοδρότερον τύπτουσιν οἱ διδάσκαλοι, οὐκ ἀτιμοῦνται· οὐχ ὡς ὑβρίζων τύπτει ἀλλ᾽ ὡς διδάσκων* [31].

29. *Ἐὰν τὸ λείψανον ἢ ὀστᾶ τεθέντα ἐν τῷ ἐμῷ τόπῳ παραγνώμην ῥίψω ἢ ἀνασκάψω χωρὶς βασιλικῆς κελεύσεως, τῇ ὕβρει ἐνάγομαι ὡς ὑβρίζων τὸν τεθνεῶτα* [32].

30. *Τοὺς μηδὲν ἡμαρτηκότας παῖδας τὰ τῶν πατέρων ἁμαρτήματα οὐ καταβλάπτει* [33].

31. *Ὁ πρώτως τύπτων καὶ ἀντιτυφθεὶς σφοδρότερον, οὐ δύναται ἐγκαλεῖν* [34].

---

[20] Cod. III, 44, 10. [21] Cod. eod. 12. 15. [22] Sequentia sunt ex Epitomae tit. XLI. [23] Cod. V, 5, 4. [24] Dig. XLVIII, 5, 27. [25] Dig. XLIX, 14, 27. [26] Sequentia sunt ex Epitomae tit. XLII. [27] Dig. XLIII, 8, 2 §. 9. [28] Dig. XLVII, 10, 3 §. 3. 4. [29] Dig. II, 4, 10 §. 12. [30] Cf. Dig. XLVII, 10, 9 §. 3. [31] Cf. Dig. IX, 2, 5 §. 3. [32] Dig. XI, 7, 8 pr. [33] Dig. XLVIII, 19, 26. [34] Dig. IX, 2, 52 §. 1.

32. *Καὶ τὸ εἰς φυλακὴν βληθῆναι ποινή ἐστιν* [35].

33. *Δοῦλος ἴδια χρήματα ἔχειν οὐ δύναται* [36]. *ὁ ἀγορασθεὶς ἐκ τῶν ἐμῶν χρημάτων, προσφέρων μοι τὸ τίμημα καὶ ἀξιῶν ἐλευθερωθῆναι, οὐκ ἀκουσθήσεται* [37].

34. *Πατὴρ κατὰ υἱοῦ, οὔτε υἱὸς κατὰ πατρὸς βασανίζεται* [38].

35. *Οὐχ ὡς θέλει βασάνους ὁ κατήγορος ἐπιφέρειν δεῖ, ἀλλ' ὡς ἡ χρεία ἀπαιτεῖ* [39].

36. *Ὁ φυγὰς καὶ λέγων ἑαυτὸν ἐλεύθερον, ἐκεῖ ἐνάγεται, ὅπου τὸ πρῴην ἐδούλευσεν, τουτέστιν ὅθεν ἔφυγεν* [40].

37. *Ἐὰν ὁ ὑποδεξάμενος τὸν φυγάδα λέγει αὐτὸν ἴδιον δοῦλον, ὀφείλει ὁ οἰκέτης βασανίζεσθαι καὶ εἰπεῖν τὸ ἀληθές* [41].

38. *Ὁ παρθένον κόρην δούλην ἀνακομβῶν φθείρας, τῷ ἀκουϊλίῳ ἐνάγεται* [42].

39. *Καὶ ἐὰν δοῦλος ἀλλοτρίᾳ δούλῃ συναφθῇ, τῇ ἰδίᾳ τύχῃ ἀναδίδοται* [43].

40. *Ἐάν τις νομίσας ἐλευθέραν εἶναι τὴν ἐμὴν δούλην προῖκα ὑπὲρ αὐτῆς δῷ ὡς δωρούμενος, ἐγὼ γίνομαι τῶν διδομένων δεσπότης καὶ αὐτῆς* [44].

41. *Εἰ καὶ δούλην τὶς διαπαρθενεύσει, εἰς δοῦλον στοῦπρον ἁμαρτάνει. διὸ οἰκέτης χαλεπωτάτῃ ὑπόκειται τιμωρίᾳ, ὅτε μὴ εἰς μόνην ζημίαν ὁ τοῦ ἀνδραπόδου δεσπότης, ἀλλὰ παντὸς τοῦ οἴκου αὐτοῦ* [45].

42. *Ὁ τὴν ἀλλοτρίαν θεράπαιναν ἡδονῆς ἕνεκεν πόρνην οὖσαν ἀποκρύπτων, οὐκ ἐνάγεται κλοπῇ· εἰ δὲ μή ἐστι πόρνη, ὑποπίπτει* [46].

43. *Τῆς ζ̄ διατάξεως. — Ἀεὶ τὸ γῆρας σεβάσμιον ἐνομίσθη, καὶ πάσης τιμῆς ἄξιον* [47].

44. *Ὁ μείζων τῶν ἑβδομήκοντα ἐτῶν καὶ ε̄ παίδων πατὴρ ἐξκουσατίονα σιτωνίας καὶ τῶν ἄλλων λειτουργημάτων ἔχει* [48].

45. *Πάνυ ἁπαλὴ λέγεται ἡ ἡλικία ὁ ἐλάττων τῶν εἴκοσι ε̄ ἐτῶν καὶ πάνυ γεγηρακυῖα λέγεται ὁ μείζων τῶν σαράντα ἐτῶν* [49].

---

[35] Cod. IX, 4, 2. [36] Inst. II, 9 §. 3. [37] Dig. XL, 1, 4. [38] Dig. XLVIII, 18, 10 §. 2. [39] Dig. XLVIII, 18, 10 §. 3. [40] Cod. III, 22, 1. [41] Cod. VI, 1, 6. [42] Dig. XLVII, 10, 25. [43] Cf. Cod. VII, 24. [44] Dig. XXIII, 3, 59 §. 2. [45] Locus corruptissimus. Dig. I, 18, 21. [46] Dig. XLVII, 2, 39. [47] Dig. L, 6, 5 pr. [48] Dig. L, 5, 2 pr. 8 pr. [49] Dig. L, 2, 11.

46. *Κεφάλαια τοῦ $\overline{μγ}$ τίτλου*[50]. — *Τῶν κεφαλικῶν ἐγκλημάτων αἱ συκοφαντίαι κεφαλικὰς ἔχουσι τὰς τιμωρίας*[51].

47. *Ἐπίσκοπος εἰ συκοφαντήσει τινὰ ἐν πουβλίκῳ δικαστηρίῳ, σαράντα * λίτρας χρυσίου δίδωσι τῷ δημοσίῳ*[52].

48. *Εἴσω ἑξήκοντα ἡμερῶν μετὰ ῥεπούδιον κατηγορῶν μοιχείαν ὁ ἀνὴρ τῇ γυναικὶ αὐτοῦ οὐκ ἀπαιτεῖται συκοφάντης*[53].

49. *Ὁ κατηγορηθεὶς ἀντικατηγορεῖν οὐ δύναται, οὔτε ὁ ἐπὶ συκοφαντίᾳ τιμωρηθεὶς, οὔτε ὁ παιγνικὴν τέχνην μετιὼν, οὔτε ὁ δικαστὴς χρήματα λαβὼν ἐπὶ τὸ κατηγορῆσαί τινος*[54].

50. *Ὁ γραφὴν κατηγορίας ἀποτιθέμενος ὀφείλει ἐμφανίζειν καὶ τὸ ἁμάρτημα καὶ τὸν χρόνον καὶ τὸν μῆνα καὶ τὸν τόπον, ἐν ᾧ ἡμαρτήθη τυχὸν ἡ μοιχεία, καὶ μετὰ ποίου προσώπου· τὴν δὲ ἡμέραν ἢ τὴν ὥραν οὐκ ἀναγκάζεται λέγειν· ὀφείλει καὶ ὑπογράφειν ἢ ἕτερος ὑπὲρ αὐτοῦ εἰ [οὐκ] οἶδεν γράμματα. ἐὰν δὲ μὴ οὕτως συντεθῇ ὁ λίβελλος, οὐ δύναται κατηγορεῖσθαι. ἐὰν δὲ ἀποθάνῃ ἢ ἐξ ἄλλης αἰτίας μὴ δυνηθῇ κατηγορῆσαι, καὶ ἕτερος ἀντ' αὐτοῦ δύναται κατηγορεῖν ἐντὸς τριάκοντα ἡμερῶν. καὶ συντίθεται ὁ λίβελλος οὕτως· ὁ δεῖνα ὁμολογῶν παρὰ τῷδε τῷ ἄρχοντι δεικνύειν τήνδε πλημμελήσασαν μοιχείαν πρὸς τόνδε ἐν τῷδε τῷ οἴκῳ ἐπὶ τῆσδε τῆς ὑπατείας μηνὶ καὶ ἰνδικτιῶνι*[55].

51. *Ὁ ἑαυτὸν καταμηνύων τῷ φίσκῳ ὡς ἔχων πρᾶγμα, ὅπερ οὐ δύναται λαβεῖν, δίδωσι τὸ ἥμισυ, καὶ τὸ ἥμισυ κρατεῖ ἔπαθλον. τοῦτο δὲ ἁρμόζει καὶ ἐπὶ γυναιξὶν καὶ ἀνήβοις τοῖς καταμηνύουσι τὸ ἔπαθλον*[56].

52. *Ὁ ποιήσας ἐκμαρτύρια πλαστὰ ἢ διαθήκας, ἢ ἐκδεδωκὼς, ἢ ὑποβάλλων εἰς ἀνάγνωσιν, τῷ κορνελίῳ ὑπόκειται*[57].

53. *Ἐὰν υἱὸς ἀπαλείψῃ τὴν πατρῴαν διαθήκην, καὶ ἐξ ἀδιαθέτου κληρονομήσῃ [ἀφαιρεῖται τοῦ κληρονόμου αὐτοῦ πᾶσα ἡ τοῦ πατρὸς κληρονομία]· ἐπὶ γὰρ τῆς ἀσφραγίστου χώραν ὁ νόμος οὐκ ἔχει*[58], *ὅπερ οὐδέποτε τὰς βουλὰς ἐκ τοῦ πεπραμένου ἐξιβεδίς*[59].

54. *Ὁ προσγράφων ἑαυτῷ λεγάτον ἢ κλῆρον ἐν ἀλλοτρίᾳ διαθήκῃ, ὡς πλαστογράφος τιμωρεῖται*[60].

---

[50] Sequentia sunt ex Epitomae tit. XLIII. [51] Cod. IX, 46, 5. * Epitome: *δέκα*. [52] Cod. I, 3, 22 pr. [53] Lege *ποινὴν ἀπαιτ. ὡς συκ.* Dig. XLVIII, 5, 14 §. 3. [54] Dig. XLVIII, 1, 5 pr. et 2, 4. [55] Dig. XLVIII, 2, 3 pr. §. 1. 4. [56] Dig. XLIX, 14, 15 §. 3 et dig. 16. [57] Dig. XLVIII, 10, 1 pr. [58] Dig. eod. 26. [59] Dig. eod. 6 pr. Lege: *ὥσπερ οὐδὲ τὸ δὲ ταβουλὶς ἐξνιβενδίς*. [60] Dig. eod. 6 pr.

55. *Οὐ δύναται υἱὸς κατὰ τῆς μητρὸς κινεῖν τῷ κορνελίῳ ὡς ἄλλον υἱὸν ὑποβολιμαῖον κυησάσης ἢ πορισάσης* [61].

56. *Ὁ τὴν τοῦ ζῶντος διαθήκην ἀνοίγων ἢ ἀποσφραγίζων ἢ ἀναγινώσκων, τῷ κορνελίῳ δε φάλσις ὑπόκειται* [62].

57. *Ἐὰν ἐν τῷ πραθέντι οἴκῳ θησαυρὸς εὑρεθῇ, τῷ ἀγοραστῇ διαφέρει· εἰ δὲ ἐν δημοσίῳ τόπῳ ἢ ἐν μνημείῳ, τὸ ἥμισυ τῷ φίσκῳ διαφέρει καὶ τὸ ἥμισυ αὐτῷ τῷ εὑρόντι. εἰ δὲ ἀποκρύψει, ὅλον φισκοῦται* [63].

58. *Ἐκ τοῦ μδ τίτλου περὶ κλέπτων καὶ ὑποδεκτῶν καὶ ἱεροσύλων καὶ ἐξανδραποδιστῶν* [64]. *Πάντες οἱ κινδυνεύοντες ἐπὶ ἀλλοτρίῳ πράγματι κλαπέντος αὐτοῦ ἔχουσι τὴν φούρτη* [65].

59. ..... *ἀλλὰ τὴν ἀδ ἐξιβενδούμ* [66].

60. *Ὁ κλέπτης μὴ ἀποκαθιστῶν, ὅπερ ἔκλεψεν, κινδυνευέτω εἰς τὰ τυχηρά* [67].

61. *Ἐὰν τὰ δοθέντα τῷ ἀνδρὶ ἐνέχειρα ὑποκλέψῃ γυνή, τῷ φουρτίβῳ κονδικτικίῳ ἐνάγεται* [68].

62. *Ὅτι ἡ μὲν φούρτη τὸ διπλοῦν ἔχει, ὁ δὲ κονδικτίκιος τὸ ἁπλοῦν ἀπαιτεῖται. ὁ ἁρπάζων τῷ κονδικτικίῳ ἐνάγεται* [*εἰς*] *ὅτι εὐπορώτερος γίνεται* [69].

63. *Ἐὰν ἀπὸ βήλου ἀργυροῦ κλαπέντος γένηται σκεῦος, ἢ ἀπὸ σταφυλῶν κλοπιμαίων γένηται μοῦστος, καὶ ἐπὶ τῷ μούστῳ καὶ ἐπὶ τοῖς σκεύεσιν κινεῖται ὁ φούρτιβος κονδικτίκιος* [70].

64. *Ὁ κλέπτης μήτε μέλους ἀποκοπὴν ὑφιστάσθω μήτε ἀποθνησκέτω. κλέπτης νοεῖται λάθρα καὶ χωρὶς ὅπλων* [*ἁμαρτάνων· ὁ γὰρ βίᾳ πλημμελῶν μετὰ ὅπλων ἢ χωρὶς ὅπλων*] *ἐν οἱῳδήποτε τόπῳ τὰς ἀπὸ τῶν νόμων ὑπομένει ποινάς* [71].

65. *Ὁ ὑποδεξάμενος ἀπελεύθερον καταβαλλέτω τὰς ὑπὲρ αὐτοῦ ὀπέρας, τουτέστι δουλείας καὶ καμάτους* [72].

66. *Ζητείτω ὁ ἄρχων τοὺς φεύγοντας οἰκέτας, καὶ ἀναδιδότω αὐτοὺς τοῖς οἰκείοις δεσπόταις* [73].

67. *Οὐδεὶς τὸ ἴδιον πρᾶγμα ἀπαιτεῖ διὰ τοῦ κονδικτικίου, ἀλλὰ τῇ φούρτῃ, εἰ μὴ παρὰ μόνου κλέπτου* [74].

---

[61] Dig. XLVIII, 2, 11 §. 1. [62] Dig. XLVIII, 19, 38 §. 7. [63] Dig. XLIX, 14, 3 §. 10. [64] Sequentia sunt ex Epitomae tit. XLIV. [65] Dig. XLVII, 2, 14 §. 16. [66] In Epitome sic est: *καὶ ἡ γυνὴ τὰ τοῦ ἰδίου ἀνδρὸς ὑποκλέψασα πράγματα, οὐκ ἔχει περὶ αὐτῶν ὁ ἀνὴρ τὴν φούρτη, ἀλλὰ κτλ.* [67] Cod. IV, 8, 2. [68] Dig. XXV, 2, 17 §. 3. [69] Dig. XIII, 1, 7 §. 1. XLVII, 8, 2 §. 27. [70] Dig. XLVII, 2, 52 §. 14. [71] Theod. Nov. 134 §. 34. [72] Cod. VI, 3, 13. [73] Cod. VI, 1, 2. [74] Dig. VII, 9, ult.

68. *Οὐ δύναται ὅρκον ἀντεπιφέρειν τῷ ἐνάγοντι αὐτῷ, ὅτι ὄμοσον, ὅτι κλέπτης εἰμί* [75].

69. *Ὁ ἐν δουλείᾳ κλέψας καὶ μετὰ ἐλευθερίαν ὑπόκειται τῇ κλοπῇ* [76].

70. *Ὁ ὑπονοθεύων δοῦλον ἀλλότριον ἢ κλέψαι ἢ φυγεῖν τῇ φούρτῃ καὶ τῇ σερβικορρούπτῃ ἐνάγεται* [77].

71. *Ἐὰν ὁ δεσμοφύλαξ τὸν ὀφείλοντα ἀποδοθῆναι τῷ δεσπότῃ φυγάδα δοῦλον ἀπολέσῃ, ἀπαιτεῖται τὸ τίμημα αὐτοῦ* [78].

72. *Ἐὰν φυγάδες εὑρεθῶσι παρ᾽ ἐμοὶ, μισθωσάμενοί μοι τὰς ὀπέρας αὐτῶν ἐπὶ τὸ τρέφεσθαι, οὐκ εἰμὶ ἀνδραποδιστής* [79].

73. *Τῆς β̄ διατάξεως.* — *Ὁ κοινωνός μου κλέπτων τὸ κοινὸν πρᾶγμα ὑπόκειται τῇ κλοπῇ* [80].

74. *Οἱ ἀπελεύθερον ἀνδραποδίζοντες, τυπτόμενοι καὶ κουρευόμενοι χειροκοπείσθωσαν* [81].

75. *Ἀπαγορεύει ἡ διάταξις ἀμφοτέρας τὰς χεῖρας ἢ τοὺς πόδας τέμνεσθαι* [82].

76. *Ὁ* [83] *φονεύων τὴν γυναῖκα αὐτοῦ, οὐ κερδαίνει τὴν προῖκα ὡς ἐν συνεστῶτι τῷ γάμῳ τῆς γυναικὸς τελευτώσης* [84].

77. *Ἀκινδύνως τὶς φονεύει τὸν βιασάμενον αὐτὸν ἢ τοὺς αὐτοῦ πρὸς ἀσέλγειαν ὠθοῦντα. εἰ δὲ καί τις τὴν αὐτοῦ γαμετὴν συλλαβὼν μοιχευομένην φονεύσει, εὐτελὴς μὲν [εἰς] ἐξίλιον πέμπεται· εἰ δὲ τίμιός ἐστιν, προσκαίρως ἐξορίζεται* [85].

78. *Περὶ εὐνούχων.* — *Ὁ διὰ ἡδονὴν ἢ δι᾽ ἐμπορίαν εὐνουχίσας τινὰ, ἐπὶ μὲν τῶν ἐντίμων δεπορτατίων ἐστὶν καὶ τελεία δήμευσις· ἐπὶ δὲ τῶν εὐτελῶν ξίφει καὶ θηρίοις ὑποβάλλεσθαι* [86].

79. *Ὁ συμβουλεύων παιδὶ ἢ γυναικὶ αἰσχρόν τι ἢ ὑπονοθεύων ἢ ἀφελὼν τὸν ἀκόλουθον ἢ διδοὺς ἐπὶ αἰσχρότητι δῶρα, πραχθέντος μὲν τοῦ ἁμαρτήματος, κεφαλικῶς κολάζεται· μὴ πραχθέντος, δεπορτατεύεται* [87].

---

[75] Dig. XXV, 2, 12. [76] Dig. IX, 4, 6. [77] Dig. XI, 3, 1. [78] Dig. XLVIII, 3, 14 §. 7. [79] Dig. XLVIII, 15, 6 §. 1. [80] Dig. XLVII, 2, 45. [81] Cod. IX, 20, 15. (Proch. XXXIX, 22.) [82] Nov. 134 c. 13. (Proch. XXXIX, 23.) [83] Sequentia sunt ex Epitomae tit. XLV. [84] Dig. XXIV, 3, 10 §. 1. [85] Dig. XLVIII, 8, 1 §. 4. 5. [86] Dig. XLVIII, 8, 3 §. 4. 5. [87] Dig. XLVII, 11, 1 §. 2.

[ΤΙΤΛΟΣ λη'.]

Ἐκ τοῦ βιβλίου ἀθανασίου σχολαστικοῦ ἐμεσινοῦ· τῶν ἅπερ ἐξελέξατο ἐκ τοῦ κώδικος καὶ τῶν νεαρῶν διατάξεων τοῦ μεγάλου Ἰουστινιανοῦ· ὁμοίως καὶ ἐκ τῶν παρατίτλων.

1. *Περὶ χειροτονίας ἐπισκόπων*[1]. — Ὁ χειροτονῶν ἐπίσκοπον εἰς ἐπήκοον παντὸς τοῦ λαοῦ προσαγορευέτω τῷ μέλλοντι χειροτονεῖσθαι, ὡς μαθὼν αὐτὸν πάντα ἔχειν τὰ προειρημένα ἐπιτίθησιν αὐτῷ τὴν χειροτονίαν.

2. *Βίβλος β̄ [περὶ τοῦ] μετὰ τὴν μνηστείαν ἢ μετὰ τὸ γαμῆσαι μονάσαντος*[2]. — Ὁ μονάσας ἀζημίως λύει τὴν πρὸς αὐτὸν συστᾶσαν μνηστείαν· εἰ δὲ γήμας μονάσει, τῷ ἀπὸ τελευτῆς ὑπόκειται κάσῳ· ἀμφοτέρων δὲ μονασάντων, ἀζήμιος ὁ γάμος λύεται.

3. *Περὶ ἀπὸ μοναστηρίου εἰς ἕτερον μετελθόντος μοναστήριον. τίτλος ᾱ*[3]. — Ὁ ἀπὸ μοναστηρίου εἰς ἕτερον μετελθὼν μοναστήριον, τῷ προτέρῳ τὰ οἰκεῖα παρασκευάζει προσκυρωθῆναι.

4. *Περὶ ἀποκρισιαρίων μοναστηρίων. τίτλος β̄*[4]. — Οἱ μοναχοὶ διὰ τῶν ἀποκρισιαρίων τὰ οἰκεῖα πράγματα πραττέτωσαν.

5. *Περὶ τοῦ ἀπὸ μοναχῶν γενομένου κοσμικοῦ*[5]. — Ὁ ἀπὸ μοναχῶν γενόμενος κοσμικὸς, μεθ' ὧν ἐπεκτήσατο εἰς ἕτερον ἐμβαλλέσθω μοναστήριον· εἰ δὲ πάλιν γένηται κοσμικὸς, παραδιδόσθω παιδεύεσθαι.

6. *Περὶ μεταστάντων ἀπὸ μοναστηρίου εἰς ἕτερον μοναστήριον*[6]. — Μηδεὶς προσδεχέσθω τὸν ἀπὸ μοναστηρίου εἰς ἕτερον μοναστήριον μεταβαίνοντα· ἡ γὰρ τούτου ὑπόστασις τῷ προτέρῳ δίδοται μοναστηρίῳ.

7. *Περὶ διαίτης μοναχῶν τίτλος γ̄ τοῦ κώδικος*[7]. — Ὁ αὐτὸς βασιλεὺς μηνᾷ ἐπισκόπῳ κωνσταντινουπόλεως. οὗ ἡ ἀρχή· Ὁ μονήρης βίος. Ἡ διάταξις κυροῦσα τὴν πρὸ αὐτῆς κειμένην ἐν τῷδε τῷ συντάγματι ἀκριβεστέραν ἐν τοῖς μοναχοῖς προτίθησιν δίαιτάν τε καὶ παραφυλακήν. κωλύει δὲ τοὺς ἄν-

---

[1] Athanas. I, 1. [2] Athanas. I, 2. [3] Athanas I, 2. [4] Athanas. I, 2. [5] Athanas. I, 2. [6] Athanas. I, 13. [7] Athanas. I, 14.

δρας εἰς γυναικῶν γίνεσθαι μοναστήρια, καὶ γυναῖκας ἐν ανδρείοις θάπτεσθαι, ἑκάτερον ἁμαρτημάτων πρόξενον εἶναι λέγουσα· οὐδὲ γὰρ ἄλλης ἕνεκεν αἰτίας ἐν ἀνδρείοις μοναστηρίοις ὁρᾶσθαι [γυναῖκα συγχωρεῖ ἢ ἄνδρας] γυναικῶν παραβάλλειν μοναστηρίῳ· σημείωσαι κανόνα, ὅτι συγγένεια μοναχοῖς οὐκ ἔστιν, τοῖς γε τὸν ἐν οὐρανοῖς ζηλώσασι βίον. ἐγράφη τετάρτη νόννων μαρτίων βασιλείας ἰουστινιανοῦ τῷ ιγ ὑπατείας ἀπίονος.

8. *Περὶ τοῦ ἐπιμερίζεσθαι τὴν γονὴν τῶν γεωργῶν*[8]. — Ὁ αὐτὸς βασιλεύς. Οἱ τὰ πράγματα πράττοντες τῆς ἁγιωτάτης ἐκκλησίας. Ὁ παρὼν τύπος διατάξεως ἐκφωνηθείσης μνήμην ποιεῖται βουλομένης ἐπὶ τῶν γεωργῶν τὴν γονὴν μερίζεσθαι· καὶ εἰ μὲν ἴσος ἐστὶν ὁ τῶν τεχθέντων ἀριθμὸς, εἰς δύο διαιρεῖσθαι· εἰ δὲ ἄνισος ᾖ καὶ εἷς μόνος ὁ τεχθεὶς, τηνικαῦτα τὴν γαστέρα πλέον ἔχειν, διότι καὶ μᾶλλον ἐμόχθησεν. καὶ [ἁπλῶς] εἰπεῖν εἷς μὲν ὢν παῖς ἀκολουθήσει τῇ μητρί· τριῶν δὲ ὄντων τῶν τεχθέντων, αἱ δύο τῆς μητρὸς ἔσονται, καὶ ὁ εἷς δὲ τῇ τοῦ πατρὸς ἀκολουθήσει δεσποτείᾳ· καὶ οὕτως ἀεὶ τὸ πλέον ἡ γαστὴρ ἔχει, καὶ τὸ ἐν πολλοῖς στασιαζόμενον χρόνοις τὴν προσήκουσαν τομήν.

9. *Περὶ χαμενρετῶν βρεφῶν καὶ τοῦ ἐλευθεροῦσθαι τὰ ἐκτιθέμενα βρέφη. τίτλος ιη*[9]. — Ὁ αὐτὸς βασιλεὺς ἡλίᾳ ἐπάρχῳ τοῦ ἰλλυρικοῦ. Ἔγκλημα τῆς ἀνθρωπίνης γνώμης ἀλλότριον. Τὰ παρὰ τῶν δεσποτῶν ἐκτιθέμενα βρέφη εἰς ῥύμας ἢ ἐκκλησίας ἢ ἑτέρους τόπους δουλικῆς καταστάσεως καθεστῶτα, ἐλεύθερα παραυτίκα εἶναι παρακελεύεται ὁ παρὼν πραγματικὸς τύπος, κἂν ἀκριβῶς τις σύστασις ὑπάρχει τῷ ἐνάγοντι εἰς τὸ δεῖξαι τὸ τοιοῦτον πρόσωπον διαφέρειν τῇ αὐτοῦ δεσποτείᾳ. βασιλεὺς γὰρ ἐκεῖνος ὁ νόμους δικαίους ἐκπέμπων, πρῶτον δὲ πράττων.

[ΤΙΤΛΟΣ λθ'.]

Ἐκλογαὶ τοῦ παρὰ θεοῦ διὰ τοῦ μωυσῇ δοθέντος νόμου τοῖς ἰσραηλίταις[1].

1. *Περὶ κρίματος καὶ δικαιοσύνης τῆς ἐξόδου.* — Οὐ παραλήψει ἀκοὴν ματαίαν, οὐ συγκαταθήσει μετὰ τοῦ ἀδί-

---

[8] Athanas. XVIII, 5. [9] Athanas. XVIII, 7.

[1] Sequentia sumta sunt ex Ecloga legis Mosaicae, quam edidit Jo. Bapt.

κου γενέσθαι μάρτυς ἄδικος. οὐκ ἔσῃ μετὰ πλειόνων ἐπὶ κακίαν, ὥστε ἐκκλῖναι κρίσιν, οὐ προτεθήσει μετὰ πλήθους ἐκκλῖναι. καὶ πένητα οὐκ ἐλεήσεις ἐν κρίσει. ἀπὸ παντὸς ῥήματος ἀδίκου ἀποστήσει. ἀθῶον καὶ δίκαιον οὐκ ἀποκτενεῖς, καὶ οὐ δικαιώσεις τὸν ἀσεβῆ. καὶ δῶρα οὐ λήψει· τὰ γὰρ δῶρα ἐκτυφλοῖ ὀφθαλμοὺς βλεπόντων, καὶ λυμαίνεται σοφῶν ῥήματα δίκαια [2].

2. *Τοῦ λευιτικοῦ κεφ. ϛγ.* — Οὐ ποιήσετε ἄδικον ἐν κρίσει, οὐ λήψει πρόσωπον πτωχοῦ, οὐδὲ θαυμάσῃς πρόσωπον δυνάστου. ἐν δικαιοσύνῃ κρινεῖς τὸν πλησίον σου, οὐ πορεύσῃ δόλῳ ἐν τῷ ἔθνει σου. οὐκ ἐπιστήσεις ἐφ' αἵματι τοῦ πλησίον σου· ἐγὼ κύριος ὁ θεός σου [3].

3. *Περὶ τῶν δέκα λόγων. τῆς ἐξόδου καὶ τοῦ δευτερονομίου.* — Ἐγὼ εἰμὶ κύριος ὁ θεός σου, ὁ ἐξαγαγών σε ἐκ γῆς αἰγύπτου, ἐξ οἴκου δουλείας. οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ. οὐ ποιήσεις σεαυτῷ εἴδωλον· οὐδὲ παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω καὶ ὅσα ἐν τῇ γῇ κάτω καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς. οὐ προσκυνήσεις αὐτοῖς, οὐδὲ μὴ λατρεύσεις αὐτοῖς. οὐ λήψει τὸ ὄνομα κυρίου τοῦ θεοῦ ἐπὶ ματαίῳ· οὐ γὰρ μὴ καθαρίσει κύριος τὸν λαμβάνοντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ. μνήσθητι τὴν ἡμέραν τῶν σαββάτων ἁγιάζειν αὐτήν. ἓξ ἡμέρας ἔργα καὶ ποιήσει πάντα τὰ ἔργα σου, τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ σάββατα κυρίῳ τῷ θεῷ σου· οὐ ποιήσεις ἐν αὐτῇ πᾶν ἔργον, σὺ καὶ ὁ υἱός σου καὶ ὁ προσήλυτος ὁ παροικῶν ἐν σοί. τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται, καὶ ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς. οὐ μοιχεύσεις. οὐ φονεύσεις. οἱ κλέψεις. οὐ ψευδομαρτυρήσεις κατὰ τοὺς πλησίον σου μαρτυρίαν ψευδῆ. οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου, οὐδὲ τὸν ἀγρὸν αὐτοῦ, οὐδὲ πάντα ὅσα τῷ πλησίον σου εἰσί [4].

4. *Περὶ δανείου.* — Ἐὰν δὲ ἀργύριον ἐκδανείσῃς τῷ ἀδελφῷ σου τῷ πενιχρῷ τῷ παρά σοι, οὐκ ἔσῃ αὐτῷ κατεπείγων, οὐκ ἐκποιήσεις αὐτῷ τόκον. ἐὰν δὲ ἐνεχειρίσματα ἐνεχειριάσεις τὸ ἱμάτιον τοῦ πλησίον σου, πρὸς δυσμὰς ἡλίου ἀποδώσεις αὐτῷ. ἔστι γὰρ τοῦτο περιβόλαιον αὐτοῦ τὸ ἱμάτιον

Cotelerius in libro: Ecclesiae graecae monumenta. Lut. Paris. 1677. 4. To. I. p. 1—27. Cf. etiam Appendicem Eclogae LIII. [2] Exod. 23, 1. 2. 6. 7. Deut. 16, 9. Apud Coteler. c. 1. [3] Levit. 19, 15. 16. Apud Coteler. c. 1. [4] Exod. 20, 2—17. Apud Coteler. c. 2.

ἀσχημοσύνης αὐτοῦ· ἐν τίνι κοιμηθήσεται; ἐὰν οὖν καταβοήσῃ πρός με, εἰσακούσωμαι αὐτοῦ, ἐλεήμων γάρ εἰμί [5].

5. Τοῦ λευιτικοῦ κεφ. ριθ. — Ἐὰν δὲ πένηται ὁ ἀδελφός σου ὁ μετά σου καὶ ἀδυνατήσῃ ταῖς χερσὶν αὐτοῦ παρά σοι, ἀντιλήψεις αὐτοῦ ὡς προσηλύτου καὶ παροίκου, καὶ ζήσεται ὁ ἀδελφός σου ἐν σοί [6].

6. Οὐκ ἀποστερήσεις μισθὸν μισθωτοῦ ἢ πένητος ἢ παντὸς ἐργαζομένου σοι, αὐθήμερον ἀποδώσεις τὸν μισθὸν αὐτοῦ· οὐκ ἐπιδύσεται ὁ ἥλιος, ἐπ' αὐτῷ ἔχει τὴν ἐλπίδα [7].

7. Τῆς ἐξόδου κεφ. περὶ πάσης καταθήκης. — Ἐάν τις δῷ τῷ πλησίον αὐτοῦ ἀργύριον ἢ σκεύη φυλάξαι, καὶ κλαπῇ ἐκ τῆς οἰκίας τοῦ ἀνθρώπου, ἐὰν εὑρεθῇ ὁ κλέψας, [ἀποτίσει διπλοῦν. ἐὰν δὲ μὴ εὑρεθῇ ὁ κλέψας,] προσελεύσεται ὁ κύριος τῆς οἰκίας ἐνώπιον τοῦ θεοῦ καὶ ὀμεῖται, εἰ μὴ αὐτὸς πεπονήρευται ἐφ' ὅλης τῆς παρακαταθήκης τοῦ πλησίον κατὰ πᾶν ῥητὸν ἀδίκημα, περί τε μόσχου καὶ ὑποζυγίου καὶ προβάτου καὶ ἱματίου καὶ πάσης ἀντιλογίας τῆς ἐγκαλουμένης. ὅτι ἐὰν οὖν ἐνώπιον τοῦ θεοῦ ἐλεύσεται ἡ κρίσις ἀμφοτέρων, ἦ μὴ μετασχεῖν αὐτὸν καθόλου τῆς παρακαταθήκης τοῦ πλησίον αὐτοῦ, καὶ οὕτως προσδέξεται ὁ κύριος αὐτοῦ καὶ οὐκ ἀποτίσει [8].

8. Τῆς ἐξόδου κεφ. ξη περὶ [τοῦ λαμβάνοντος] πᾶν κτῆνος [φυλάξαι]. — Ἐὰν δῷ τις τῷ πλησίον ὑποζύγιον ἢ μόσχον ἢ πρόβατον ἢ πᾶν κτῆνος φυλάξαι, καὶ συντριβῇ ἢ ἀποθάνῃ ἢ αἰχμάλωτον γένηται, καὶ μηδεὶς γνῷ, ὅρκος ἔσται τοῦ θεοῦ ἀναμέσον ἀμφοτέρων, ἦ μὴ αὐτὸν πεπονηρεῦσθαι καθ' ὅλου τῆς παρακαταθήκης τοῦ πλησίον, καὶ οὕτως προσδέξεται ὁ κύριος αὐτοῦ καὶ οὐκ ἀποτίσει. ἐὰν δὲ κλαπῇ ἀπ' αὐτοῦ, ἀποτίσει τῷ κυρίῳ. ἐὰν δὲ θηριάλωτον γένηται, ἄξει αὐτὸν ἐπὶ τὴν θήραν, καὶ οὐκ ἀποτίσει [9].

9. Περὶ τοῦ αἰτουμένου κτῆνος παρὰ τοῦ πλησίον. — Ἐὰν αἰτήσῃ τὶς παρὰ τοῦ πλησίον κτῆνος καὶ συντριβῇ ἢ ἀποθάνῃ ἢ αἰχμάλωτον γένηται, ὁ δὲ κύριος μὴ ἦν μετ' αὐτοῦ, ἀποτίσει· ἐὰν δὲ ὁ κύριος αὐτοῦ μετ' αὐτοῦ ᾖ, οὐκ ἀποτίσει· ἐὰν δὲ μισθωτὸς ᾖ, ἔστω αὐτῷ ἀντὶ τοῦ μισθοῦ αὐτοῦ [10].

---

[5] Exod. 22, 25—27. Apud Coteler. c. 3. [6] Levit. 25, 35. Apud Coteler. c. 3. [7] Deut. 24, 14. 15. Apud Coteler. c. 4. [8] Exod. 22, 7—9. Apud Coteler. c. 5. [9] Exod. 22, 10—13. Apud Coteler. c. 6. [10] Exod. 22, 14. 15. Apud Coteler. c. 7.

10. *Περὶ τοῦ μὴ κακῶσαι χήραν ἢ ὀρφανόν. τῆς ἐξόδου κεφ. ξη.* — Πᾶσαν χήραν καὶ ὀρφανὸν οὐ κακώσετε· ἐὰν κακίᾳ κακώσητε αὐτοὺς, καὶ κράξαντες καταβοήσωσιν πρός με, καὶ ἀκοῇ ἀκούσομαι τῆς βοῆς αὐτῶν, καὶ ὀργισθήσομαι θυμῷ καὶ ἀποκτενῶ ὑμᾶς μαχαίρᾳ, καὶ ἔσονται αἱ γυναῖκες ὑμῶν χῆραι καὶ τὰ τέκνα ὑμῶν ὀρφανά [11].

11. *Περὶ κληρονόμων. τῶν ἀριθμῶν.* — Εἶπεν ὁ κύριος πρὸς μωυσῆν· τοῖς υἱοῖς ἰσραὴλ λαλήσεις λέγων· ἐὰν ἄνθρωπος ἀποθάνῃ καὶ υἱὸς μὴ ᾖ αὐτῷ, περιθήσετε τὴν κληρονομίαν αὐτοῦ τῇ θυγατρὶ αὐτοῦ. ἐὰν δὲ μὴ ᾖ αὐτῷ θυγάτηρ, δώσετε τὴν κληρονομίαν αὐτοῦ τῷ ἀδελφῷ αὐτοῦ. ἐὰν δὲ μὴ ὦσιν αὐτῷ ἀδελφοὶ, δώσετε τὴν κληρονομίαν τῷ ἀδελφῷ τοῦ πατρὸς αὐτοῦ. ἐὰν δὲ μὴ ὦσιν αὐτῷ ἀδελφοὶ τοῦ πατρὸς αὐτοῦ, δώσετε τὴν κληρονομίαν τῷ οἰκείῳ ἔγγιστα αὐτοῦ, ἵνα ἐκ τῆς φυλῆς αὐτοῦ κληρονομήσῃ αὐτόν [12].

12. *Περὶ τῶν πραίδας ποιούντων. τῆς ἐξόδου.* — Ἐὰν καταβοσκήσῃ τὶς ἀγρὸν ἢ ἀμπελῶνα, καὶ ἀφῇ τὸ κτῆνος αὐτοῦ καταβοσκῆσαι ἀγρὸν ἕτερον, ἀποτίσει ἀντὶ τοῦ ἀγροῦ αὐτοῦ κατὰ τὸ γένημα αὐτοῦ. ἐὰν δὲ πάντα τὸν ἀγρὸν καταβοσκήσῃ, τὰ βέλτιστα τοῦ ἀγροῦ καὶ τοῦ ἀμπελῶνος ἀποτίσει [13].

13. *Περὶ τῶν ἐμπρησμὸν ποιούντων.* — Ἐὰν ἐξελθὸν πῦρ εὕρῃ ἀκάνθας καὶ προσεμπυρίσῃ ἅλωνας ἢ στάχυν, ἀποτίσει ὁ τὸ πῦρ ἐκκαύσας [14].

14. *Περὶ τοῦ ἀνοίξαντος λάκκον.* — Ἐάν τις ἀνοίξῃ λάκκον, ἢ λατομήσῃ καὶ οὐ καλύψῃ αὐτὸν, ἐμπέσῃ δὲ ἐκεῖ μόσχος ἢ ὄνος, ὁ κύριος τοῦ λάκκου ἀποτίσει τὸ ἀργύριον [καὶ δώσει τῷ κυρίῳ] αὐτῶν· τὸ δὲ τεθνηκὸς αὐτῷ ἔσται [15].

15. *Περὶ κλέπτων. τῆς ἐξόδου.* — Ἐάν τις κλέψῃ μόσχον ἢ πρόβατον καὶ σφάξῃ αὐτὸ, πέντε μόσχους ἀποτίσει ἀντὶ τοῦ μόσχου, καὶ τέσσαρα πρόβατα ἀντὶ τοῦ προβάτου. ἐὰν δὲ ἐν τῷ διωρύγματι εὑρεθῇ ὁ κλέπτης, καὶ πληγεὶς ἀποθάνῃ, οὐκ ἔστιν αὐτῷ φόνος· ἐὰν δὲ ἀνατελῇ ὁ ἥλιος ἐπ' αὐτὸν, ἔνοχός ἐστιν, ἀνταποθανεῖται. ἐὰν δὲ μὴ ὑπάρχῃ αὐτῷ, πραθήτω ἀντὶ τοῦ κλέμματος. ἐὰν δὲ καταληφθῇ ἐν τῇ χειρὶ αὐτοῦ τὸ κλέμμα ἀπό τε μόσχου καὶ ὄνου ἕως προβάτου, διπλᾶ αὐτῷ ἀνταποδώσει [16].

---

[11] Exod. 22, 22—24. Apud Coteler. c. 8. [12] Num. 27, 8—11. Apud Coteler. c. 11. [13] Exod. 22, 5. Apud Coteler. c. 12. [14] Exod. 22, 6. Apud Coteler. c. 13. [15] Exod. 21, 33. 34. Apud Coteler. c. 14. [16] Exod. 22, 1—4. Apud Coteler. c. 15.

16. *Περὶ ταύρου κερατίσαντος ἄνθρωπον. τῆς ἐξόδου.* — Ἐὰν κερατίσῃ ταῦρος ἄνδρα ἢ γυναῖκα καὶ ἀποθάνῃ, λίθοις λιθοβοληθήσεται ὁ ταῦρος καὶ οὐ βρωθήσεται τὰ κρέα αὐτοῦ· ὁ δὲ κύριος τοῦ ταύρου ἀθῷος ἔσται. ἐὰν δὲ ὁ ταῦρος κερατίσῃ πρὸ τῆς χθὲς ἢ τρίτης ἡμέρας, καὶ διαμαρτύρωνται τῷ κυρίῳ αὐτοῦ καὶ μὴ ἀφανίσῃ αὐτὸν, ἀνέλῃ δὲ ἄνδρα ἢ γυναῖκα, ὁ ταῦρος λιθοβοληθήσεται, ὁ δὲ κύριος αὐτοῦ προσαποθανεῖται. ἐὰν δὲ λύτρα ἐπιβληθῇ αὐτῷ, δώσει λύτρα τῆς ψυχῆς αὐτοῦ, ὅσα ἂν ἐπιβάλλωσιν αὐτῷ· ἐὰν δὲ υἱὸν κερατίσει ὁ ταῦρος ἢ θυγατέρα, κατὰ δίκαιον τοῦτο ποιήσωσιν. ἐὰν δὲ παῖδα κερατίσῃ ὁ ταῦρος ἢ παιδίσκην, ἀργυρίου λ̄ διδράχματα δώσει τῷ κυρίῳ αὐτοῦ, καὶ ὁ ταῦρος λιθοβοληθήσεται. ἐὰν κερατίσῃ ὁ ταῦρός τινος ταῦρον τοῦ πλησίον καὶ τελευτήσῃ, ἀποδώσονται τὸν ταῦρον τὸν ζῶντα, καὶ διελοῦνται τὸ ἀργύριον αὐτοῦ, καὶ τὸν ταῦρον τὸν τεθνηκότα διελοῦνται. ἐὰν δὲ γνωρίζηται ὁ ταῦρος ὅτι κερατιστὴς ἦν πρὸ τῆς χθὲς καὶ τρίτης ἡμέρας, καὶ διαμαρτυρώμενοι ὦσιν τῷ κυρίῳ αὐτοῦ, καὶ μὴ ἀφανίσῃ αὐτὸν, ἀποτίσει ταῦρον ἀντὶ τοῦ ταύρου· ὁ δὲ τετελευτηκὼς αὐτῷ ἔσται [17].

17. *Περὶ τοῦ μὴ καταδικάζεσθαι γονεῖς ὑπὲρ τέκνων ἢ τέκνα ὑπὲρ γονέων.* — Οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ τέκνων, καὶ υἱοὶ οὐκ ἀποθανοῦνται ὑπὲρ πατέρων· ἕκαστος τῇ αὐτοῦ ἁμαρτίᾳ ἀποθανεῖται [18].

18. *Περὶ πατραλοίων. κεφ. ϛ̄δ̄.* — Ἄνθρωπος ἐὰν κακῶς εἴπῃ ἢ τύπτῃ τὸν πατέρα αὐτοῦ ἢ τὴν μητέρα, θανάτῳ τελευτάτω [19].

19. *Περὶ τοῦ ἀθετοῦντος καὶ ἐνδιαβάλλοντος τὴν ἑαυτοῦ γυναῖκα.* — Ἐάν τις λάβῃ γυναῖκα συνοικῆσαι αὐτῇ, καὶ μισήσῃ αὐτὴν καὶ ἐπιθῇ ἐπ᾽ αὐτῇ προφασιστικοὺς λόγους καὶ κατενέγκῃ αὐτῇν λόγον πορνὸν λέγων· τὴν γυναῖκα ταύτην εἴληφα καὶ προσελθὼν αὐτῇ οὐχ εὕρηκα αὐτῇ παρθενίαν, καὶ λαβὼν ὁ πατὴρ τῆς παιδὸς καὶ ἡ μήτηρ ἐξοίσουσιν τὰ παρθένια τῆς παιδὸς ἐπὶ τὴν γερουσίαν, καὶ ἐρεῖ ὁ πατὴρ τῆς παιδός· τὴν θυγατέρα μου δέδωκα τῷ ἀνθρώπῳ τούτῳ γυναῖκα, καὶ μισήσας αὐτὴν νῦν ἐπιτίθησιν προφασιστικοὺς λόγους, λέγων· οὐχ εὕρηκα τῇ θυγατρί σου παρθενίαν, καὶ ταῦτα τὰ παρθένια τῆς θυγατρός μου· καὶ αναπτύξουσιν τὸ ἱμάτιον

---

[17] Exod. 21, 28 sqq. Apud Coteler. c. 16. [18] Deut. 24, 16. Apud Coteler. c. 18. [19] Levit. 20, 9. Exod. 21, 15 Apud Coteler. c. 19.

ἔναντι τῆς γερουσίας τῆς πόλεως, καὶ λήψεται ἡ γερουσία τὸν ἄνθρωπον ἐκεῖνον, καὶ παιδεύσουσιν αὐτὸν καὶ ζημιώσουσιν αὐτὸν ρ̄ σίκλους καὶ δώσουσιν αὐτοὺς τῷ πατρὶ τῆς νεάνιδος, ὅτι ἐξήνεγκεν ὄνομα πορνὸν ἐπὶ παρθένον ἰσραηλῖτιν· καὶ αὐτῷ ἔσται γυνὴ, οὐ δυνήσεται ἐξαποστεῖλαι αὐτὴν τὸν ἅπαντα χρόνον τῆς ζωῆς αὐτοῦ. ἐὰν δὲ ἐπ' ἀληθείας γένηται ὁ λόγος οὗτος καὶ μὴ εὑρεθῇ παρθενία τῇ νεάνιδι, ἐξάξουσιν τὴν νεάνιδα ἐπὶ τὰς θύρας τοῦ οἴκου τοῦ πατρὸς αὐτῆς, καὶ λιθοβολήσουσιν αὐτὴν οἱ ἄνδρες τῆς πόλεως αὐτῆς ἐν λίθοις καὶ ἀποθανεῖται· ὅτι ἐποίησεν ἀφροσύνην ἐν υἱοῖς ἰσραὴλ ἐκπορνεύσασα τὸν οἶκον τοῦ πατρὸς αὐτῆς [20].

20. *Περὶ γυναικὸς ἀμβλώσης ὑπό τινων διαμαχομένων.* — Ἐὰν μάχωνται δύο ἄνδρες καὶ πατάξωσιν γυναῖκα ἐν γαστρὶ ἔχουσαν καὶ ἐξέλθῃ τὸ παιδίον αὐτῆς μὴ ἐξεικονισμένον, ἐπιζήμιον ζημιωθήσεται, καθ' ὅτι ἂν ἐπιβάλῃ ὁ ἀνὴρ τῇ γυναικὶ δώσει μετὰ ζημιώματος. ἐὰν δὲ ἐξεικονισμένον ᾖ, δώσει ψυχὴν ἀντὶ ψυχῆς [21].

21. *Περὶ γυναικὸς ἐν μάχῃ τὰ αἰδοῖα τοῦ ἀντιδίκου δρασσομένης.* — Ἐὰν μάχωνται ἄνθρωποι ἐπὶ τῷ αὐτῷ, καὶ προσέλθῃ ἡ γυνὴ ἑνὸς αὐτῶν ἐξελέσθαι τὸν ἄνδρα αὐτῆς ἐκ χειρὸς τοῦ τύπτοντος αὐτὸν, καὶ τείνασα τὴν χεῖρα αὐτῆς ἐπιλάβηται τῶν διδύμων αὐτοῦ, ἀποκόψεις τὴν χεῖρα αὐτῆς· οὐ φείσεται ὁ ὀφθαλμός σου ἐπ' αὐτῆς [22].

22. *Περὶ μοιχῶν. τοῦ δευτερονομίου.* — Ἐὰν εὑρεθῇ ἄνθρωπος κοιμώμενος μετὰ γυναικὸς συνῳκισμένης ἀνδρὶ, ἀποκτείνετε ἀμφοτέρους [23].

23. *Περὶ φθορέων. τοῦ δευτερονομίου.* — Ἐάν τις εὕρῃ τὴν παῖδα τὴν παρθένον, ἥτις οὐ μεμνήστευται ἀνδρὶ, καὶ βιασάμενος κοιμηθῇ μετ' αὐτῆς καὶ εὑρεθῇ, δώσει ὁ ἄνθρωπος ὁ κοιμηθεὶς μετ' αὐτῆς τῷ πατρὶ αὐτῆς ν̄ δίδραχμα ἀργυρίου, καὶ αὐτοῦ ἔσται γυνὴ, ἀνθ' ὧν ἐταπείνωσεν αὐτήν· οὐ δυνήσεται ἐξαποστεῖλαι αὐτὴν τὸν ἅπαντα χρόνον τῆς ζωῆς αὐτοῦ. ἐὰν εὕρῃ τὶς ἐν πόλει παρθένον μεμνηστευμένην ἀνδρὶ, καὶ κοιμηθῇ μετ' αὐτῆς, ἐξάγετε ἀμφοτέρους ἐπὶ τὸν πύλον τῆς πόλεως αὐτῶν, καὶ λιθοβοληθήσονται ἐν λίθοις καὶ ἀποθανοῦνται· τὴν νεᾶνιν, ὅτι οὐκ ἐβόησεν ἐν τῇ πόλει, καὶ

---

[20] Deut. 22, 13 sqq. Apud Coteler. c. 23. [21] Exod. 21, 22. 23. Apud Coteler. c. 24. [22] Deut. 25, 11. 12. Apud Coteler. c. 25. [23] Deut. 22, 22. Apud Coteler. c. 26.

τὸν ἄνθρωπον, ὅτι ἐταπείνωσεν τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ· καὶ ἐξαρεῖτε τὸ πορνὸν ἐξ ὑμῶν αὐτῶν· ἐὰν ἐν πεδίῳ εὕρῃ ὁ ἄνθρωπος τὴν παῖδα τὴν μεμνηστευμένην, καὶ βιασάμενος κοιμηθῇ μετ᾽ αὐτῆς, ἀποκτενεῖτε τὸν ἄνθρωπον τὸν κοιμώμενον μετ᾽ αὐτῆς μόνον· τῇ δὲ νεάνιδι οὐ ποιήσετε οὐδέν. οὐκ ἔστιν αὐτῇ ἁμαρτία θανάτου, ὅτι ὥσπερ ἐπανέστη ἄνθρωπος ἐπὶ τὸν πλησίον αὐτοῦ καὶ φονεύσει τὴν αὐτοῦ ψυχήν, οὕτως καὶ τὸ πρᾶγμα τοῦτο· ὅτι ἐν τῷ ἀγρῷ εὗρεν αὐτὴν καὶ ἐβόησεν ἡ νεᾶνις ἡ μεμνηστευμένη, καὶ ὁ βοηθήσων οὐκ ἔστιν αὐτῇ [24].

24. *Περὶ γυναικὸς ἀλογευομένης.* — Γυνὴ ἥτις προσελεύσεται πρὸς πᾶν κτῆνος, βιβασθῆναι αὐτὴν ὑπ᾽ αὐτοῦ, ἀποκτενεῖτε τὴν γυναῖκα καὶ τὸ κτῆνος [25].

25. Πᾶν κοιμώμενον μετὰ κτήνους θανάτῳ ἀποθανεῖται [26].

26. *Περὶ ἀσελγῶν. τοῦ αὐτοῦ.* — Ὃς ἂν κοιμηθῇ μετὰ ἄῤῥενος κοίτην γυναικός, βδέλυγμα ἐποίησεν· ἀμφότεροι θανατούσθωσαν [27].

27. *Περὶ τοῦ φονεύοντος ἢ παραμέλους ποιοῦντος τὸν ἴδιον οἰκέτην. τῆς ἐξόδου.* — Ἐάν τις πατάξῃ τὸν παῖδα αὐτοῦ ἢ τὴν παιδίσκην αὐτοῦ ἐν ῥάβδῳ, καὶ ἀποθάνῃ ὑπὸ τὰς χεῖρας αὐτοῦ, δίκῃ ἐκδικηθήσεται. ἐὰν δὲ διαβιώσῃ ἡμέραν μίαν ἢ δύο, οὐκ ἐκδικηθήσεται· τὸ ἀργύριον αὐτοῦ ἐστιν. ἐάν τις πατάξῃ τὸν ὀφθαλμὸν τοῦ οἰκέτου αὐτοῦ ἢ τῆς θεραπαίνης αὐτοῦ, καὶ ἐκτυφλώσῃ, ἐλευθέρους ἐξαποστελεῖ αὐτοὺς ἀντὶ τοῦ ὀφθαλμοῦ αὐτῶν. ἐὰν δὲ τὸν ὀδόντα αὐτοῦ ἐκκόψῃ, ὡσαύτως ποιείτω [28].

28. *Περὶ τοῦ ἐν μάχῃ τύπτοντος τὸν πλησίον.* — Ἐὰν λοιδορῶνται δύο ἄνδρες καὶ πατάξωσι τὸν πλησίον ἐν λίθῳ ἢ ἐν πυγμῇ, καὶ μὴ ἀποθάνῃ, κατακλιθῇ δὲ ἐπὶ κοίτην· ἐὰν ἐξαναστὰς ὁ ἄνθρωπος περιπατήσῃ ἔξω ἐπὶ ῥάβδῳ, ἀθῷος ἔσται ὁ πατάξας. πλὴν τὰς ἀργίας αὐτοῦ ἀποτίσει καὶ τὰς ἰατρείας [29].

29. *Περὶ φόνων ἑκουσίων καὶ ἀκουσίων.* — Ἐὰν πατάξῃ τίς τινα καὶ ἀποθάνῃ, θανάτῳ θανατούσθω. ὁ δὲ οὐχ ἑκών, ἀλλ᾽ ὁ θεὸς παρέδωκεν αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ, δώ-

---

[24] Deut. 22, 23 sqq. Apud Coteler. c. 27. [25] Levit. 20, 16. Apud Coteler. c. 41. [26] Exod. 22, 19. Apud Coteler. c. 42. [27] Levit. 20, 13. Apud Coteler. c. 43. [28] Exod. 21, 20. 21. 26. 27. Apud Coteler. c. 44. [29] Exod. 21, 18. 19. Apud Coteler. c. 45.

σουσι τόπον, οὗ φεύξεται ἐκεῖ ὁ φονεύσας. ἐὰν δέ τις ἐπιθῆται τῷ πλησίον αὐτοῦ κτεῖναι αὐτὸν δόλῳ, καὶ καταφυγὴν ἐπὶ τοῦ θυσιαστηρίου οὐ λήψει αὐτὸν θανατῶσαι [30].

30. Ἐὰν δὲ ἐν σκεύει σιδήρου πατάξῃ τὶς τὸν πλησίον, καὶ τελευτήσῃ, φονευτής ἐστιν· θανάτῳ θανατούσθω ὁ φονεύσας. ἐὰν δὲ ἐν λίθῳ ἐκ χειρὸς, ἐν ᾧ ἀποθανεῖται ἐν αὐτῷ, πατάξῃ αὐτὸν, καὶ ἀποθάνῃ, φονευτής ἐστιν· θανατούσθω ὁ φονεύσας [31].

31. Ἐὰν δέ τις εἰσέλθῃ μετὰ τοῦ πλησίον αὐτοῦ εἰς τὸν δρυμὸν καὶ συνάγῃ ξύλα, καὶ ἐκκρουσθῇ ἡ χεὶρ αὐτοῦ τῇ ἀξίνῃ κόπτων τὸ ξύλον, καὶ ἐκπεσὸν τὸ σιδήριον ἀπὸ τοῦ ξύλου τύχῃ τοῦ πλησίον καὶ ἀποθάνῃ, οὗτος καταφεύξεται ἐπὶ μίαν τῶν πόλεων καὶ ζήσεται, ὡς ἀκουσίως καὶ οὐ μισῶν αὐτὸν πρὸ τῆς χθὲς καὶ πρὸ τῆς τρίτης [32].

32. Καὶ ὃς ἂν πατάξῃ κτῆνος καὶ ἀποθάνῃ, ἀποτισάτω ψυχὴν ἀντὶ ψυχῆς [33].

33. Περὶ μαρτύρων καὶ παροράσεων. τῶν ἀριθμῶν. — Μάρτυς εἷς οὐ μαρτυρήσει ἐπὶ ψυχὴν ἀποθανεῖν. καὶ οὐ λήψεσθε λύτρα ἐπὶ ψυχῆς παρὰ τοῦ φονεύσαντος τοῦ ἐνόχου ὄντος ἀναιρεθῆναι. θανάτῳ γὰρ θανατωθήσεται [34].

34. Ἐπὶ δυσὶ μάρτυσιν ἢ τρισὶν ἀποθανεῖται ὁ ἀποθνήσκων· οὐκ ἀποθανεῖται ἐφ᾽ ἑνὶ μάρτυρι· καὶ ἡ χεὶρ τῶν μαρτύρων ἔσται ἐπ᾽ αὐτῷ ἐν πρώτοις θανατῶσαι αὐτὸν, καὶ ἡ χεὶρ παντὸς τοῦ λαοῦ ἔσται ἐπ᾽ ἐσχάτων· καὶ ἐξαρεῖτε τὸν πορνὸν ἐξ ὑμῶν αὐτῶν [35].

35. Κατὰ πᾶσαν ἁμαρτίαν καὶ ἀδικίαν, ἣν ποιήσει ἄνθρωπος, οὐκ ἐμμενεῖ μάρτυς εἷς μαρτυρῆσαι· ἐπὶ στόματος δὲ δύο μαρτύρων καὶ τριῶν σταθήσεται πᾶν ῥῆμα [36].

36. Περὶ ἐγγαστριμύθων καὶ ἐπαοιδῶν. — Οὐκ ἐπακολουθήσετε ἐγγαστριμύθοις καὶ ἐπαοιδοῖς, οὐ κολληθήσεσθε ἐκμιανθῆναι εἰς αὐτούς, ἐγὼ κύριος ὁ θεὸς ὑμῶν. ψυχὴ ἣ ἂν ἐπακολουθήσει ἐγγαστριμύθοις καὶ ἐπαοιδοῖς, ὥστε ἐκπορεῦσαι ὀπίσω αὐτῶν, ἐπιστρέψω τὸ πρόσωπόν μου ἀπὸ τὴν ψυχὴν ἐκείνην καὶ ἀπολῶ αὐτὴν ἀπὸ τοῦ λαοῦ αὐτῆς. κἂν ἀνὴρ ἢ γυνὴ, ὃς ἂν γένηται αὐτῷ ἐγγαστρίμυθος ἢ ἐπαοιδὸς, θανάτῳ θανατούσθωσαν· λίθοις λιθάσατε αὐτοὺς, ἔνοχοί εἰσιν [37].

---

[30] Exod. 21, 12—14. Apud Coteler. c. 46. [31] Num. 35, 16. 17. Apud Coteler. c. 46. [32] Deut. 19, 5. 6. Apud Coteler. c. 46. [33] Levit. 24, 18. Apud Coteler. c. 47. [34] Num. 36, 30. 31. Apud Coteler. c. 48. [35] Deut. 17, 6. 7. Apud Coteler. c. 49. [36] Deut. 19, 15 sqq. Apud Coteler. c. 49. [37] Levit. 19, 31. 20, 6. 27. Apud Coteler. c. ult.

ΤΙΤΛΟΣ μ'.

1. *Πρόλογος ῥοδίου νόμου ἐκτεθέντος ὑπὸ τιβερίου βασιλέως.* — Τιβέριος καῖσαρ, σεβαστὸς, ἀρχιερεὺς μέγιστος, δημαρχικῆς ἐξουσίας, τοῦ τριακοστοῦ δευτέρου λόγου. ἐντυγχανόντων μοι τῶν ναυκλήρων, ἵνα τὰ ἐν τῇ θαλάσσῃ ζάλης συμβαίνοντα εἰς συμβολὴν ἔρχεσθαι, ἀποκριθεὶς ὁ νέρων εἶπεν· μέγιστε σοφῶν καὶ ἀνδρειώτατε τιβέριε καῖσαρ, τὰ ὑπὸ τοῦ σοῦ μεγέθους καθιστάμενα ἀναγκαῖον ἡγοῦμαι ἐνδείξασθαι. οὐδὲ διήγημα τῶν ἐμπλεόντων ἐν ῥόδῳ παρεπέμψατο, ἀλλ' ἀκριβῶς ἐπιζητήσας καὶ ἀναθέμενος τὰς πράξεις τῶν ἐμπλεόντων ναυκλήρων τε καὶ ἐμπόρων καὶ ἐπιβατῶν, ἐνθηκῶν τε καὶ κοινωνιῶν, καὶ πλοίων πράσεών τε καὶ ἀγοράσεων, ναυπηγίας καὶ ναυτῶν ἐργασίας, παραθηκῶν τε χρυσίου καὶ ἀργυρίου καὶ εἰδῶν διαφόρων, αὐτὰ πάντα τῇ ψήφῳ θεματίσας τιβέριος καῖσαρ σφραγίσας παρέδωκεν ἀνθρωπίνῳ[1] φαιδροτάτῳ ὑπάτῳ. ὑπάτοις τοῦτο προσφέρουσιν ἐν τῇ πανευδαίμονι καὶ κορυφῇ τῶν πόλεων ῥώμῃ, ἐπὶ ὑπάτων κλαύρου καὶ ἀγριππίνου φαιδροτάτων. οὗτοι προσήγαγον τῷ μεγίστῳ καὶ αὐτοκράτορι οὐεσπασιανῷ βασιλεῖ, καὶ σφραγίσας ἐπὶ τῆς λαμπροτάτης συγκλήτου ἀπέλυσεν. οὔλπιος τραϊανὸς ὁ βασιλεὺς ἅμα καὶ τῇ φαιδροτάτῃ συγκλήτῳ σφραγίσαντες ἀπέλυσαν. νιρεὺς ὁ βασιλεὺς σφραγίσας ἀπέλυσεν. αὐτοκράτωρ ἀδριανὸς ἐπὶ ὑπάτων κλαύρου καὶ ἀλεξάνδρου σφραγίσας ἀπέλυσεν, εἶναι τὸν ῥόδιον νόμον δίκαιον καὶ ἐπίκρισιν ἔχοντα. τιβέριος καῖσαρ, οὐδένα μείζονα κίνδυνον εἶναι λέγω· τῆς καταρτίου αὐτομάτως ἐκβεβλημένης, εἰς συμβολὴν ἔρχεσθαι. ἐὰν δὲ καὶ ἀνάγκη, ὁ πρωρεὺς καὶ ὁ ναυπηγὸς τὰ σίδηρα προσφερέτωσαν, καὶ κοπτέτωσαν τὸν κατάρτιον, ἵνα μὴ τὸ πλοῖον καταποντισθῇ· καὶ ταῦτα εἰς συμβολὴν ἐρχέσθωσαν.

2. *Νόμος ναυτικὸς ῥοδίωνος.* — Ναυκλήρου μισθὸς μέρη δύο. κυβερνήτου μέρος ᾱ. πρωρέως μισθὸς μέρος ᾱ. ναυπηγοῦ μισθὸς μέρος ᾱ. ναύτου μισθὸς μέρος ᾱ. καράβου μισθὸς [μέρος ἕν]. παρασχαρίτου μισθὸς μέρος ϛ̄. ἐμπόρῳ ἔχειν ἐξὸν εἰς πλοῖον [πόδας] δύο· τὸν δὲ ναῦλον ἀποδιδότω. ἐπιβάτου τόπος ἐν πλοίῳ μῆκος πηχέων τριῶν, πλάτος πήχεως μιᾶς. γυναικὸς τόπος ἐν πλοίῳ πῆχυς μία· τοῦ δὲ παιδὸς τοῦ τελείου πήχεως τὸ ἥμισυ. ἐπιβάτης ἐν πλοίῳ μὴ τηγανιζέτω

[1] Lege ἀντωνίνῳ.

ἰχθύν· ὁ ναύκληρος αὐτῷ μὴ συγχωρείτω. ἐπιβάτης ἐν πλοίῳ ξύλα μὴ σχιζέτω. ἐπιβάτης ἐν πλοίῳ ὕδωρ μέτρῳ λαμβανέτω οὐγκίας β̄. ἐὰν εἰσέλθῃ ἐπιβάτης ἐν πλοίῳ καὶ ἔχῃ χρυσίον, παραθέσθω αὐτὸ τῷ ναυκλήρῳ· εἰ δὲ μὴ παραθέμενος εἴποι, ὅτι χρυσίον ἀπώλεσα ἢ ἀργύριον, ἄκυρα ἤτω ἐπὶ τῷ ναυκλήρῳ ὃ οὐ παρέθετο· ὁ δὲ ναύκληρος καὶ οἱ ἐπιβάται καὶ οἱ ναῦται ὅρκον εὐαγγελίου παρεχέτωσαν αὐτῷ. εἶναι τὴν χιλιάδα τοῦ μοδισμοῦ χρυσίων ν̄, μετὰ πάσης τῆς ἐξαρτίας αὐτῶν, καὶ εἰς συμβολὴν ἐρχέσθω. ὁ νόμος κελεύει· τὰ ἐν τῇ θαλάσσῃ δανειζόμενα ἔγγυα καὶ ἀκίνδυνα μὴ γραφέτωσαν κατὰ τὸν ῥόδιον νόμον.

3. Νόμος ναυτικὸς ῥοδίωνος, ὃν ἐθέσπισαν οἱ θειότατοι αὐτοκράτορες ἀδριανὸς, ἀντώνιος, τιβέριος, σεπτίμιος σευῆρος, οὐεσπασιανὸς, περτίναξ ἀεισέβαστοί τε καὶ λόγιοι. — Ἐὰν πλοῖον ὁρμᾷ ἐπὶ λιμένα ἢ ἐν ἀκτῇ, καὶ σύλα πάθῃ τῶν ἀγκύρων, καὶ κατασχεθῇ ὁ κλέπτης καὶ ὁμολογήσῃ, τοῦτον κελεύει ὁ νόμος βασανίζεσθαι καὶ τὴν προσγινομένην ζημίαν ἀπολογεῖσθαι κατὰ τὸ διπλάσιον.

4. Ἐὰν βουλήσει τοῦ ναυκλήρου οἱ ναῦται σύλα ποιήσωσιν ἀγκύρων πλοίου ἑτέρου ὁρμῶντος ἐν λιμένι ἢ ἐν ἀκτῇ, καὶ συμβῇ ἐντεῦθεν ἀπώλειαν γενέσθαι τοῦ πλοίου τοῦ τὰς ἀγκύρας συληθέντος, καὶ τούτων οὕτως ἐν ἀκριβείᾳ ἀποδεικνυμένων, πᾶσαν τὴν προσγινομένην ζημίαν ἐν τῷ πλοίῳ σῶαν ἀποδιδότω ὁ ναύκληρος ὁ τὰ σύλα ἐπιτρέψας γενέσθαι.

5. Ἐάν τις κλέψῃ σκεύη πλοίου ἤ τι τῶν ἐν τῷ πλοίῳ χρηματιζόντων, τουτέστι σχοινίον ἢ ἄρμενον ἢ διφθέραν καὶ πλοίων καὶ καράβων, διπλὰ ἀποδιδότω ὁ τὰ σύλα ποιήσας.

6. Ἐὰν ναύτης κελεύσει τοῦ ναυκλήρου κλοπὴν ποιήσῃ ἐμπόρου ἢ ἐπιβάτου καὶ καταληφθεὶς κατασχεθῇ, ὁ ναύκληρος διπλὰ ἀποδιδότω τοῖς τὰ σύλα παθοῦσιν, ὁ δὲ ναύτης λαμβανέτω ξυλαγώγια ρ̄. εἰ δὲ αὐτοβουλήτως τοῦτο ποιήσῃ καὶ κατασχεθῇ ἢ ὑπὸ μαρτύρων ἐλεγχθῇ, σφοδρῶς βασανιζέσθω καὶ τὴν ἀποκατάστασιν τῶν συληθέντων ποιείτω.

7. Ἐὰν ἐν τόπῳ συλουμένῳ ἢ ληστευομένῳ κατάξῃ πλοῖον, μαρτυρουμένων τῶν ἐπιβατῶν τῷ ναυκλήρῳ τὴν τοῦ τόπου αἰτίαν, καὶ συμβῇ συληθῆναι, ἐπιδιδότω ὁ ναύκληρος τοῖς συληθεῖσιν· εἰ δὲ τοῦ ναυκλήρου ἐπιμαρτυρουμένου καταγάγωσιν οἱ ἐπιβάται τὸ πλοῖον καὶ συμβῇ τι, ὑποκείσθωσαν.

8. Ἐὰν ναῦται μάχην ποιήσωσι, λόγοις ποιείτωσαν, καὶ μηδεὶς κρουέτω τὸν ἕτερον· εἰ δέ τις κρούσῃ κατὰ κεφαλῆς καὶ

ἀνοίξῃ ἢ ἑτέρως πῶς κηλώσῃ, παρεχέτω ὁ κρούσας τὸν μισθὸν τοῖς ἰατροῖς καὶ τὰ ἀναλώματα τῷ ἀδικηθέντι καὶ τὸν μισθὸν ὅλου τοῦ χρόνου τῆς ἀργίας καὶ ἐπιμελείας.

9. Ἐάν τις τῶν ναυκλήρων ἢ ἐμπόρων ἢ ναυτῶν κρούσῃ τινὰ γρόνθῳ καὶ πηρώσῃ, ἢ λὰξ δώσας κηλητώσῃ, δώσει ὁ κρούσας τὰς ἰατρείας· καὶ ὑπὲρ μὲν τοῦ ὀφθαλμοῦ δώσει χρυσίνους δώδεκα· ὑπὲρ δὲ τῆς κήλης δέκα. εἰ δὲ ὁ τὸ λὰξ κρουσθεὶς εἰς θάνατόν ἐστιν, ἔνοχος ἔσται ὁ κρούσας τῆς δίκης τοῦ θανάτου.

10. Ἐὰν ναῦται μάχην ποιήσουσι καὶ κρούσῃ τὶς ξύλῳ ἢ λίθῳ, πάλιν δὲ ὁ κρουσθεὶς πατάξῃ τὸν πρῶτον κρούσαντα, ὡς βιασθεὶς [ἐποίησεν. εἰ δὲ] καὶ ἀποθάνῃ καὶ μαρτυρηθῇ, ὅτι πρῶτον ἔκρουσεν, ἀκίνδυνος ἔστω ὁ θανατώσας αὐτόν. ὃ γὰρ ἤθελε ποιῆσαι, ἔπαθεν.

11. Ἐὰν ὁ ναύκληρος πιστευθῇ τὸ πλοῖον καὶ ἀποδράσῃ μετὰ χρυσίου βουλήσει τῶν ναυτῶν, τὰ μὲν οἰκεῖα αὐτῶν ἅπαντα, κινητὰ καὶ ἀκίνητα ὅσα ὑπάρχει αὐτοῖς καὶ αὐτοκίνητα, κατασχεθήσονται. καὶ ἂν μὴ ἡ τούτων ἐκτίμησις ἱκανοποιήσει τὸ πλοῖον καὶ τὴν ἐργασίαν τοῦ χρόνου ἐν τῷ πιπράσκεσθαι αὐτὰ, οἱ ναῦται ἅμα τῷ πρωτοναυκλήρῳ μισθούσθωσαν καὶ τὴν ἀποπλήρωσιν τῆς ζημίας ποιείτωσαν.

12. Ἐὰν περὶ ἐκβολῆς βουλεύσεται ὁ ναύκληρος, ἐπερωτάτω τοὺς ἐπιβάτας, οἷς τὰ χρήματά ἐστιν ἐν τῷ πλοίῳ· ὅτι δὲ ἐὰν γένηται τοῦτο, ψῆφον ποιείτωσαν· συμβαλλέσθωσαν δὲ εἰς συμβολὴν καὶ τὰ χρήματα· στρώματα δὲ καὶ ἱμάτια καὶ σκεύη πάντα ἐκτιμάσθω· καὶ ἐὰν γένηται ἐκβολὴ τῷ ναυκλήρῳ καὶ τοῖς ἐπιβάταις μὴ πλείονος μιᾶς λίτρας, κυβερνήτῃ δὲ καὶ πρωρεῖ μὴ πλείονος ἡμιλίτρου, ναύτῃ γράμματα γ̄. παῖδες καὶ εἴ τις ἄλλος συμπλέει μὴ ἐπὶ πράσει ἀγόμενος, κατὰ τιμὴν ὤν [2]. ἐὰν δέ τις ἐπὶ πράσει ἄγεται καὶ κατὰ δύο μῆνας. κατὰ τοῦτο δὲ, ἐὰν χρήματα ἀφαρπαγῇ ὑπὸ πολεμίων [ἢ] λῃστῶν ἢ στρατείᾳ κοινῇ σὺν τῶν διαφερόντων τοῖς ναύταις, καὶ ταῦτα εἰς τὸν συμψηφισμὸν εἰσερχέσθωσαν. εἰ δὲ σύμφωνον [ἐπὶ] κέρδει κοινωνίας ἐστὶν μετὰ [τὸ] ἅπαντα συμψηφισθῆναι τὰ ἐν τῷ πλοίῳ, κατὰ τὸ κέρδος ἕκαστος ἐπιγινωσκέτω καὶ τὴν προσγινομένην ζημίαν.

13. Ἐὰν ναύκληρος ἅμα τοῖς ναύταις ἀμελήσῃ, καὶ συμβῇ ζημία ἢ ναυάγιον, ὁ ναύκληρος καὶ οἱ ναῦται ὑποκείσθωσαν

---

[2] Forte τρίμηνον.

τῷ ἐμπόρῳ εἰς τὴν ἀπόδοσιν τῆς ζημίας. εἰ δὲ ἀπὸ ἀμελείας τοῦ ἐμπόρου συμβῇ ἀπώλειαν τοῦ πλοίου καὶ τοῦ γόμου γενέσθαι, ὑποκείσθω ὁ ἔμπορος ἐν τῇ ζημίᾳ τοῦ ναυαγίου καὶ τοῦ πλοίου. εἰ δὲ τοῦ ναυκλήρου μὴ ἐμποδίσαντος μηδὲ τῶν ναυτῶν μηδὲ τοῦ ἐμπόρου συμβῇ ζημία ἢ ναυάγιον, τὰ σωζόμενα μέρη τοῦ πλοίου καὶ φορτίων εἰς συμβολὴν ἐρχέσθωσαν.

14. *Φορτία μεγάλα καὶ πολύτιμα μὴ ἐμβαλλέσθωσαν οἱ ἔμποροι καὶ οἱ ἐπιβάται εἰς πλοῖον παλαιόν. εἰ δὲ ἐμβάλλωσι [καὶ] τοῦ πλοίου ἀρμενίζοντος πάθῃ τὶ ἢ διαφθαρῇ, ὁ φορτώσας τὸ παλαιὸν πλοῖον ἑαυτὸν ἀπὸ τῆς γῆς ἀπώλεσεν. ὅταν δὲ οἱ ἔμποροι ναυλοῦνται, ἐρωτάτωσαν ἀκριβῶς παρὰ τῶν ἄλλων ἐμπόρων τῶν πρὸ αὐτῶν ἀποπλευσάντων, καὶ οὕτως ἐπιβαλλέτωσαν ἐνθήκας. ἐὰν δὲ ἔχῃ τὸ πλοῖον πᾶσαν ἐπιχειρίαν τελείως, ἱστὸν, κεραίαν ἰσχυρὰν, ἄρμενά τε καὶ διφθέρας, ἀγκύρας τε καὶ σχοινία κανναβικὰ διάφορα καὶ καράβους ἐξηρτισμένους, αὐχένας τε ἐπιτηδείους, καὶ ναύτας τοὺς ἀρκοῦντας, γοργοὺς γρηγοροῦντας, τὰ πλάγια μὴ παραλελυμμένα· καὶ ἁπλῶς οἱ ἔμποροι τὰ πάντα ἐπιζητείτωσαν, καὶ οὕτως ἐμβαλλέτωσαν.*

15. *Ἐάν τις παραθῇ ἐν πλοίῳ ἢ ἐν οἴκῳ, γνωστῷ καὶ πιστικῷ παραθέσθω ἐπὶ μαρτύρων τριῶν. ἐὰν δὲ ᾖ τὸ θέμα βαρὺ, ἐγγράφως τὴν παραθήκην παραδιδότω. ἐὰν δὲ εἴπῃ ὁ φυλάσσων ταύτην, ὅτι ἀπώλετο, δεῖ δειχθῆναι τὴν διωρυγὴν ἢ τὰ σύλα τὸ πόθεν ὑπέστη, καὶ ὀμνύειν, ὅτι αὐτὸς οὐκ ἐδολιεύσατο. ἐὰν δὲ μὴ δείξῃ, καθὼς παρέλαβεν, ἀποδότω σῶα.*

16. *Ἐὰν δὲ ὁ δεξάμενος τὴν παραθήκην ἀρνῆται ταύτην, καὶ ἐν καιρῷ εὑρεθῇ ἐν αὐτῷ τῷ ὀμόσαντι ἢ ἐγγράφως ἀποταξαμένῳ, διπλῆν ταύτην ἐπιτελέσει· τῆς δὲ ἐπιορκίας τὴν τιμωρίαν ὑπομενέτω.*

17. *Ἐὰν πλοῖον φέρῃ ἐπιβάτας ἢ ἐμπόρους, ἢ δούλους παραθήκην λαβὼν ὁ ναύκληρος ἔλθῃ ἐν πόλει τινὶ ἢ ἐν λιμένι ἢ ἐν ἀκτῇ, ἐὰν ἐξελθόντων τινῶν ἐκ τοῦ πλοίου καὶ συμβῇ διωγμὸν ἢ πειρατῶν ἐπιδρομὴν γενέσθαι, καὶ κελεύσας ὁ ναύκληρος ἐξειλήσῃ, σωθῇ δὲ τὸ πλοῖον καὶ τὰ τῶν ἐπιβατῶν καὶ ἐμπόρων κομιζόμενα, ἀπολαμβανέτω ἕκαστος τὰ ἴδια αὐτοῦ, καὶ οἱ ἐξελθόντες ἀπολαμβανέτωσαν. εἰ δὲ θελήσει τὶς τῷ ναυκλήρῳ ἀμφισβητῆσαι, ὅτι ἐν ἀκτῇ εἴασάς με ἐν τόπῳ ληστρικῷ, ἄκυρα ἔστω τὰ παρ᾽ αὐτοῦ λεγόμενα· ὅτι διωκόμενος ὁ ναύκληρος καὶ οἱ ναῦται ἔφυγον.*

18. *Ἐὰν ἔμποροι ἢ ἐπιβάται δοῦλον ἐν παραθήκῃ ὄντα*

ἀλλότριον ἐάσονται οἱῳδήποτε τρόπῳ, τὴν ἀποκατάστασιν τῷ κυρίῳ τούτου ποιείτωσαν.

19. *Ἐάν τις δώσῃ ἐπὶ χρείᾳ κοινωνίας χρυσίον ἢ ἀργύριον καὶ ταῦτα κατὰ πλοῦν, καὶ ἐγγράψωνται καθὼς ἀρέσει ἕως πόσου ᾖ χρεωκοινωνία· ἐὰν ὁ λαμβάνων τὸ χρυσίον ἢ τὸ ἀργύριον πληρωθέντος τοῦ χρόνου μὴ ἀποστρέψῃ αὐτὸ τῷ κυρίῳ αὐτοῦ, καὶ συμβῇ ἀπὸ πυρὸς ἢ λῃστῶν ἢ ναυαγίου παραπεσεῖν, ἀζήμιον εἶναι τὸν κύριον τοῦ χρυσίου καὶ σῶα τὰ ἴδια ἀπολαμβάνειν. εἰ δὲ τοῦ χρόνου τῶν συνθηκῶν μὴ πληρωθέντος συμβῇ τῷ κατὰ θάλασσαν κινδύνῳ ἀπώλειαν γενέσθαι, καθάπερ τοῦ κέρδους ἔδοξεν, καὶ τὰς ζημίας πρὸς τὰ μέρη καὶ τὰς συνθήκας ἀναδέχεσθαι.*

20. *Ἐάν τις χρήματα χρησάμενος ἀποδημήσῃ, ἐξελθόντος τοῦ χρόνου οὗ ἂν συνθῶνται, κομιζέσθωσαν ἐκ τῶν ἐγγύων κατὰ τὸν νόμον· ἐὰν δὲ μὴ ἔχωσι πῶς κομίσονται, ἔστω αὐτοῖς τὰ μὲν χρήματα ἔγγυα. οἱ δὲ τόκοι ναυτικοὶ παντὸς τοῦ χρόνου ὅσον ἀποδημεῖ, [καταβάλλονται].*

21. *Ἐὰν πλοῖον ναυλώσηταί τις, δώσῃ ἀῤῥαβῶνα· εἰ δὲ ὁ ναύκληρος ἄλλως ποιήσει, ἀποδιδότω διπλοῦν τὸν ἀῤῥαβῶνα.*

22. *Ἐάν τις ναυλώσηται πλοῖον, συνεσφραγισμένα κύρια ἔστω· εἰ δὲ μή, ἄκυρα. γραφέτωσαν δὲ καὶ ἐπιτίμια ἐὰν θέλωσιν. ἐὰν δὲ συγγράψωνται καὶ ψεύσωνται, εἰ μὲν ὁ ναυλούμενος ψεύσηται, παρέχει τὰ χρήματα οὐ τότε τοῦ ἐπὶ φόρτου*[3], *ἀποδότω τὸ ἥμισυ τοῦ ναύλου τῷ ναυκλήρῳ· εἰ δὲ ὁ ναύκληρος ψεύσηται, ἀποδότω τὸ ἥμισυ ναῦλον τῷ ἐμπόρῳ. ἐὰν δὲ θελήσῃ ὁ ἔμπορος ἐξελέσθαι τὰ φορτία, ἀποδώσει τὸ πᾶν ναῦλον τῷ ναυκλήρῳ· ἡ δὲ πράξις ἔσται τούτων τῶν ἐπιτιμίων, καθάπερ ἠδικήσατο.*

23. *Ἐὰν κοινωνίαν ποιήσωσιν ἀγράφως δύο ναύκληροι, καὶ ἀμφότερα τὰ μέρη καθομολογήσωσιν, ὅτι κοινωνίαν καὶ ἄλλου καιροῦ ἐποιήσαμεν ἀγράφως καὶ πίστιν ἑαυτοῖς ἐφυλάξαμεν καὶ τὸ τέλος πάντοτε περὶ μιᾶς ἐνθήκης ἐτελέσαμεν· ἐὰν τὸ ἑνὶ πλοίῳ συμβῇ τι παθεῖν, εἴτε σάβορον εἴτε φορτώμενον, τὰ σωθέντα τῷ παθόντι τέταρτον μέρος ἐπιφερέτω. ἐπειδὴ ἐγγραφὰς οὐ προσφέρουσιν, ἀλλὰ λόγους μόνον κοινωνίας συνετάξαντο. τὰ δὲ ἐγγράφως σφραγιζόμενα βέβαια καὶ*

---

[3] Difficillimum hunc locum ex aliis legum navalium editionibus sanare non sum ausus.

ἰσχυρὰ ἔστωσαν [καὶ] τὰ σωζόμενα τοῖς ἀπολλυμένοις συνεισερχέσθωσαν.

24. Ὁ ναύκληρος μὴ ἀγέτω πλὴν ὕδατος καὶ ἐφοδίων ἀφ' ὧν χρῶνται σχοινίων τὰ πλοῖα, ἐὰν ὁ ἔμπορος ἐμβάλληται τὸν γόμον ὅλον κατὰ συνθήκας τῶν ἐγγράφων. καὶ ἐὰν θελήσῃ ὁ ναύκληρος φορτία μεγάλα ἐπιφέρειν μετὰ ταῦτα, ἐὰν χωρεῖ τὸ πλοῖον, βαλλέτω· εἰ δὲ μὴ χωρεῖ, ὁ ἔμπορος ἐπὶ τριῶν μαρτύρων ἀντιτασσέτω τῷ ναυκλήρῳ καὶ τοῖς ναύταις, καὶ ἐὰν ἐκβολὴ γένηται, τῷ ναυκλήρῳ ἔσται· ἐὰν δὲ μὴ κωλύσῃ ὁ ἔμπορος, εἰς συμβολὴν ἐρχέσθω.

25. Ἐὰν δὲ ὁ ἔμπορος μὴ παρέχῃ τὸν γόμον ὅλον, τῶν λοιπαζομένων παρεχέτω τὰ ναῦλα καθὼς συνεγράψαντο.

26. Ἐὰν ὁ ναύκληρος λαβὼν τὰ ἡμίναυλα πλεύσῃ, καὶ βουληθῇ ὁ ἔμπορος ὑποστρέψαι, ἔγγραφα δὲ συνεσφραγίσαντο, διὰ τὴν ἐμπόδιον ἀπόλλειν τὸν ἔμπορον τὰ ἡμίναυλα. ἐὰν δὲ ὁ ναύκληρος τῶν ἐγγράφων γενομένων ἄλλως ποιήσῃ, διπλὰ ἀποδιδότω τὰ ἡμίναυλα.

27. Ἐὰν ἡ προθεσμία τῶν ἐγγραφομένων ἡμερῶν παρέλθῃ ὡς ἡμερῶν δέκα, παρεχέτω ὁ ἔμπορος τὰς σιταρκίας τῶν ναυτῶν· ἐὰν δὲ παρέλθῃ ἡ δευτέρα προθεσμία, πρὸ πάντων πληρώσας τὸ ναῦλον ὁ ἔμπορος κατερχέσθω· εἰ δὲ θελήσει προσθεῖναι ποσότητα τοῦ ναύλου, ἐμπλεέτω καθὼς ἂν δόξει.

28. Ἐάν τινος τῶν ναυτῶν ἢ ναυκλήρων ἐξωκοιτοῦντος ἐκ τοῦ πλοίου [συμβῇ ἀπώλειαν γενέσθαι τοῦ πλοίου] νυκτὸς ἢ ἡμέρας, πᾶσαν τὴν ζημίαν ἐφορᾶν τοὺς ἐξωκοιτοῦντας, τοὺς δὲ εἰς τὸ πλοῖον μείναντας ἀζημίους μένειν.

29. Ἐὰν πλοῖον ἀπερχόμενον εἰς γόμον ἐμπόρου ἢ κοινωνίας συμβῇ παθεῖν ἢ διαφθαρῆναι κατὰ ἀμέλειαν τῶν ναυτῶν ἢ τοῦ ναυκλήρου, ἀκίνδυνα ἢ τὰ φορτία τὰ ἐνόρια κείμενα· εἰ δὲ μαρτυρηθῇ, ὅτι ζάλης γενομένης ἀπώλετο, εἰς συμβολὴν ἐρχέσθωσαν τὰ σωζόμενα τοῦ πλοίου ἅμα καὶ φορτίοις, τὰ δὲ ἡμίναυλα κατεχέτω ὁ ναύκληρος. ἐὰν δέ τις ἀρνήσηται τὴν κοινωνίαν καὶ ἐλεγχθῇ ὑπὸ τριῶν μαρτύρων, τὴν μὲν κοινωνίαν ἀποδότω, τῆς δὲ ἀρνήσεως τὴν τιμωρίαν ὑπομενέτω.

30. Ἐὰν πλοῖον ἐν τῇ ἐκβολῇ ἐμποδισθῇ ὑπὸ ἐμπόρου ἢ τοῦ κοινωνοῦ πληρωθείσης τῆς προθεσμίας, καὶ συμβῇ ἀπώλειαν τὴν οἱανοῦν γενέσθαι τοῦ πλοίου, ὁ τὴν ἐμπόδιον ποιήσας ἐμφερέτω τὰς ζημίας τοῦ ναυαγίου.

31. Εἰ δὲ ὁ ἔμπορος ἐν τῷ τόπῳ ὅθεν συγγράψωνται μὴ παράσχῃ τὰ φορτία πληρωθείσης τῆς προθεσμίας, καὶ συμβῇ

τοῦ πλοίου γενέσθαι [ἀπώλειαν], ἐφορᾶν πᾶσαν τὴν ζημίαν τὸν ἔμπορον. ἐὰν δὲ μὴ πληρωθέντων τῶν ἡμερῶν τῆς προθεσμίας συμβῇ τι, εἰς συμβολὴν ἐρχέσθωσαν.

32. *Ἐὰν πλοῖον ἀρμενίζον ἔλθῃ ἐπάνω ἑτέρου πλοίου ὁρμῶντος ἢ χαλάσαντος τὰ ἄρμενα, ἡμέρας οὔσης, πᾶσαν τὴν συντριβὴν καὶ τὴν ἀπώλειαν ἐφορᾶν τόν τε ναύκληρον καὶ τοὺς ἐμπλέοντας· λοιπὸν δὲ καὶ τὸ φορτίον εἰς συμβολὴν ἐρχέσθω. εἰ δὲ ταῦτα νυκτὸς οὔσης συμβῇ, ὁ τὰ ἄρμενα χαλάσας πῦρ ἁπτέτω· εἰ δὲ πῦρ οὐκ ἔχει, κραυγὰς παρεχέτω. εἰ δὲ ἀμελήσας ὁ βιγλιοφόρος ἀποκοιμηθεὶς ὡς εἰς βράχος ᾤχετο ποιῆσαι, συμβῇ ἀπώλειαν [γενέσθαι], ἑαυτὸν ἀπώλεσεν, εἰ ταῦτα οὕτως μαρτυρηθῶσι. εἰ δὲ ὁ ἀρμενιστὴς ἀμελήσας καὶ ὁ βιγλιοφόρος ἀποκοιμηθῇ, ὡς εἰς βράχη ἀπώλετο ὁ ἀρμενίζων καὶ ὃν κρούσῃ ἀζήμιον φυλαττέσθω.*

33. *Ἐὰν τὸ πλοῖόν τι πάθῃ, καὶ σωθῇ τὰ τῶν ἐμπόρων ἢ ἐπιβατῶν, τὸ δὲ πλοῖον ἀπόληται, τὰ μὲν ἐξάρτια σωζόμενα πέντε καὶ δεκάτας παρεχέτωσαν, ὁ δὲ ἔμπορος καὶ οἱ ἐπιβάται μὴ δότωσαν τῷ ναυκλήρῳ τὶ πλεῖον.*

34. *Ἐὰν πλοῖον φορτώμενον σῖτον ἐν ζάλῃ καταληφθῇ, ὁ ναύκληρος διφθέρας παρεχέτω καὶ οἱ ναῦται ἀντλήτωσαν. εἰ δὲ ἀμελήσῃ καὶ βραχῇ ὁ φόρτος ἐκ τῆς ἀντλείας, οἱ ναῦται ζημιούσθωσαν. εἰ δὲ ἀπὸ τῆς ζάλης ὁ φόρτος ἀδικηθῇ, ἐπιγινωσκέτωσαν τὴν ζημίαν ὅ τε ναύκληρος καὶ οἱ ἐπιβάται καὶ ὁ ἔμπορος, τὰς δεκάτας δὲ τῶν σωζομένων κομίζεσθαι ὁ ναύκληρος ἅμα τῷ πλοίῳ καὶ τοῖς ναύταις. ἀπωλείας δὲ εἰς θάλασσαν γινομένης, ὁ ἔμπορος πρῶτον ῥιπτέτω καὶ οὕτως οἱ ναῦται ἐπιχειρήτωσαν.*

35. *Ἐὰν πλοῖον συμβῇ ναυάγιον παθεῖν, καὶ σωθῇ μέρος τοῦ γόμου καὶ τοῦ πλοίου, ἐὰν οἱ ἐπιβάται βαστάζωσιν μεθ' ἑαυτῶν χρυσίον ἢ ἀργύριον ἢ μαργαρίτας ἢ ὁλοσηρικὰ, τὸ μὲν χρυσίον σωζόμενον δεκάτας παρεχέτω, τὸ δὲ ἀργύριον πέμπτας παρεχέτω· τὰ δὲ ὁλοσηρικὰ, ἐὰν ἄβροχα σωθῶσιν, δεκάτας ἐπιφερέτωσαν· εἰ δὲ βραχῶσιν, κουφιζέσθωσαν τὴν ὑποτριβὴν καὶ τὴν ὑποβροχὴν, καὶ οὕτως εἰς συμβολὴν ἐρχέσθωσαν· εἰ δὲ μαργαρῖται, καθὼς ἐκτιμηθῶσιν, χρυσίου φόρτον τελείτωσαν ἀπώλειαν.*

36. *Ἐὰν δὲ τὸ πλοῖον ἀπόληται, τὰ δὲ τῶν ἐπιβατῶν σωθῇ, ἐπιφερέτωσαν οἱ ἐπιβάται εἰς τὴν ἀπώλειαν τοῦ πλοίου. ἐὰν δὲ δύο ἐπιβάται ἢ τρεῖς ἀπολέσωσι τὸ χρυσίον αὐτῶν ἢ*

τὰ ἴδια, ἀπὸ πάντων λαμβανέτωσαν κατὰ τὴν δύναμιν πρὸς τὴν ἀπώλειαν ἅμα τῆς συμβολῆς τοῦ πλοίου.

37. Ἐὰν ἐν πελάγει πλοῖον στραφῇ ἢ διαφθαρῇ, ὁ ἀποσώζων τὶ ἐξ αὐτοῦ ἐπὶ τὴν γῆν λαμβανέτω πέμπτον μέρος.

38. Εἰ δὲ χρυσίον ἢ ἀργύριον ἢ ἕτερόν τι ἐκ βυθοῦ ἐπαρθῇ ἀπὸ οὐργιῶν ὀκτὼ, λαμβανέτω ὁ ἀποσώζων τὸ τρίτον μέρος· ἀπὸ δὲ οὐργιῶν δεκαπέντε, λαμβανέτω τὸ ἥμισυ διὰ τὸν κίνδυνον τοῦ βυθοῦ. τῶν δὲ ἐκριπτομένων ἀπὸ θαλάσσης εἰς γῆν καὶ εὑρισκομένων ἢ ἐπιφερομένων ἐπὶ πῆχυν μίαν λαμβανέτω ὁ ἀποσώζων τὸ δέκατον μέρος.

39. Εἰ δὲ κάραβος ἀπὸ ἰδίου πλοίου τοῦ σχοινίου διαῤῥήξας ἀπόληται ἅμα καὶ τοῖς ἐμπλέουσιν ἐν αὐτῷ, ἐὰν ἀπόλωνται ἢ ἀποθάνωσιν, τὸν μισθὸν τὸν ἐνιαυσιαῖον ἀποδότω ὁ ναύκληρος εἰς πλῆρες τοῦ ἐνιαυτοῦ τοῖς τούτων κληρονόμοις. ἐάν τις κάραβον ἀποσώσῃ σὺν τῶν ἐφολκιῶν, καθὼς ἐν ἀληθείᾳ εὑρίσκει πάντα ἀποδώσας, λαμβανέτω τὸ πέμπτον μέρος.

40. Ἐὰν ναύτης ἀποτακτάρις ἢ μερίτης[1], δεξάμενος μετὰ συνθηκῶν μέρος, πᾶσαν ἐπιταγὴν τοῦ πλοίου ποιεῖ καὶ τοῦ καιροῦ πληρουμένου ἐξὸν κατέρχεσθαι. ἐὰν δὲ θελήσῃ τοῦ καιροῦ μὴ πληρωθέντος ἐξελθεῖν, λαμβανέτω ξυλαγώγια ͞ο καὶ οὕτως αὐτὸν πλέειν· εἰ δὲ εὑρεθῇ κλέπτων, λαμβάνειν αὐτὸν ξυλαγώγια ͞ρ. καὶ τὸ μέρος ἀπολείτω.

41. Ἐὰν ναύτης πεμφθῇ παρὰ τοῦ ναυκλήρου ἐπὶ ξύλα ἢ ἀλλαχοῦ, ὅπου ἂν, συνερχέσθω, καὶ παρελήφθη, ὁ ναύκληρος διαλυέσθω. ἐὰν μὴ συνέρχεται, ἐὰν νεώτερος γένηται κατὰ τοῦ πεμφθέντος, ὁ ναύκληρος διαλυέσθω.

42. Ἐὰν ναύτης ἑαυτομίσθωτος γενόμενος γινώσκῃ τὸ ἑαυτὸν δοῦλον εἶναι καὶ ἑαυτὸν πεπρακέναι, πᾶσαν δὲ ἐπιταγὴν αὐτὸν ποιεῖν· καὶ πιστῶς ἐκπεμπόμενος ἐκτελείτω ἀκλόπως, ἀκακουργήτως, καὶ πάσῃ σπουδῇ εὐνοῶν ἀξίως, εἰς πλῆρες τὰς ἐπιμισθίας κομιζόμενος. ἐὰν δὲ σύλα ποιήσῃ, χρυσίον ἢ ἀργύριον ἀπολέσας, ἀντὶ τὴν ἐλευθερίαν μίσθωσιν δοῦλος γενέσθω ἑαυτὸν παραδόσας εἰς τιμωρίαν.

43. Ἐὰν δοῦλος ὑπὸ τοῦ ἰδίου δεσπότου μισθωθῇ εἰς ἐργαστήριον, λεγέτω ὁ κύριος αὐτοῦ τὰ τῆς πίστεως αὐτοῦ· ἐὰν δὲ μὴ, εἴπερ ὁ δοῦλος σύλα ποιήσει καὶ ἀποδράσει τῷ ἰδίῳ

---

[1] Forte supplendum γένηται. — Caeterum §§. 40 — 43 unde sumtae sint nescio. Eaedem ita barbare conceptae sunt, ut critica arte sanari non possint.

δεσπότῃ καὶ αὐτὰ τὰ σύλα καὶ ἡ φυγὴ καὶ ὁ θάνατος διὰ τοῦ μισθώσαντος αὐτὸν ἐκδιδόσθω.

44. Ὁ ἁρπάζων τὶ ἐκ τῶν ναυκλήρων, τὸ τετραπλάσιον ἀποδώσει.

45. Οἱ ἐκ τῆς ἐλεεινοτάτης τῶν ναυαγησάντων ὑποστάσεως ἁρπάζοντες τὸ οἱονοῦν ἢ κερδαίνοντες κατὰ δόλον πονηρὸν, τὸ τετραπλοῦν τοῖς ἀδικηθεῖσιν παρεχέτωσαν.

46. Ὁ δὲ βραδυτέρᾳ[5] πραίδᾳ καὶ βίᾳ [ἀφελόμενος πράγματα] ἀπὸ ναυαγίου, μετὰ τὴν τούτων ἀποκατάστασιν, εἰ μὲν ἐλεύθερός ἐστιν, ἐπὶ τριετῆ χρόνον ἐξοριζέσθω· εἰ δὲ ῥυπαροί εἰσιν, εἰς ἔργον δημόσιον ἐμβάλλονται τὴν αὐτὴν ἐγχρονίαν· εἰ δὲ δοῦλοί εἰσιν, εἰς βαρύτερον ἔργον τοῦ φίσκου ὁμοίως ἐκπέμπονται[6].

---

[5] An βαρυτέρᾳ?   [6] Omitto Canones SS. Apostolorum, quorum epitomen, ut ex indice supra edito apparet, Ecloga ad Prochiron mutata in fine operis appositam habet.

EPANAGOGE AUCTA.

PROLEGOMENA.

§. 1. Codices MSS.

Epanagoge aucta, quam ita appellavi, ut ab aliis enchiridiis juris privatorum opera compositis facilius distingui posset, servata nobis est in octo Codicibus MSS., quos praeter Monacensem omnes vidi atque examinavi.

Sunt autem hi:

1. Cod. Paris. gr. 1383, membranaceus, saec. XI secundum auctores catalogi bibliothecae regiae. Is Codex ob foliorum quatuor jacturam lacunas habet; praeterea foliorum 50—63 ligatura olim perversa fuit, eorumque foliorum genuinus ordo Francisci I. temporibus demum restitutus est. Ante haec tempora ex eo descriptus est
2. Cod. Bienerianus B (olim Meerman. 171, nunc Lipsiae), qui iisdem plane lacunis eademque quae in illo olim fuerat ordinis perturbatione conspicuus est.
3. Cod. Paris. gr. 1381. A, membranaceus, saec. XII et XIII duabus manibus exaratus, et
4. Cod. Monacensis gr. 203 membranaceus saec. XIII; inter hunc et illum arctum quoddam cognationis vinculum intercedere crediderim, quatenus hoc ex Hardtii descriptione in Catal. MSS. bibl. reg. Bavaricae diiudicare possum.
5. Cod. Bodlejanus 264 (Roe. 18), bombycinus de anno 1349. Hic Codex fol. 172 sqq. excerpta ex Epanagogae titulis praestat, de quo dixi in libro: Ὁ πρόχειρος νόμος p. 320.
6. Cod. Bodlejanus 716 (Laud. 64), chartaceus saec. XVI, et qui cum eo in omnibus consentiat
7. Cod. Bienerianus A (olim Meerman. 170, hodie Lipsiae), chartaceus saec. XVI.
8. Cod. Paris. gr. 1357, chartaceus saec. XVI. De hoc Codice

P. Faber in Semestribus: „penes me manuscriptus est ad exemplar Strossianae bibliothecae (quae hodie Reginae matris est apud Lutetiam) olim a me comparatus cum essem Romae.“ Nec tamen ideo ipse hoc apographum exarasse putandus est: nec enim quadrant in P. Fabrum, quae ad tit. XXXVIII c. 1 in margine librarius adnotavit: *περὶ τῶν αὐτῶν κεφαλαίων ἔγραψα ὅταν ἤμουν νέος κτλ.*, et eo tempore, quo P. Faber Romam iter fecit, Strossiana bibliotheca in Galliam jam translata fuisse videtur.

Strossianum exemplar ubi nunc lateat in obscuro est. Mediolani autem in Ambrosiana Codicem MS. Epanagogae auctae servari, in Montefalconii Bibl. Bibl. p. 500 verbis „Leonis Philos. de lege et justitia. bombyc.“ indicari videtur.

Haec de Codicibus MSS. dicta sufficiant. Plura in libro *Ὁ πρόχειρος νόμος* de iis notata reperies, quae tamen ex supra dictis quodammodo emendanda sunt.

§. 2. Fontes.

Fontes, ex quibus Epanagoge aucta compilata sit, paulo accuratius exponam, quam in libro *Ὁ πρόχειρος νόμος* in Proleg. Cap. VI factum est. Sunt autem hi:

1. Epanagoges tituli I—XIX cum suis scholiis. — In tit. XIX Codex, quo auctor usus est, mutilatus fuisse videtur. (Cf. tit. XVII not. 5.) — Hos titulos integros auctor exhibet, nisi quod desunt tit. VIII c. 13, tit. IX c. 7—10. 13, tit. X c. 8, tit. XII c. 23, tit. XIII c. 15, tit. XV c. 15—17 (quae capita ipse in editione mea dubitavi an genuina sint), tit. XVII c. 14. 18, tit. XIX c. 1—3. 5—11.
2. Prochiri tituli X—XIV. XVI—XXVI. XXIX—XL. Titulos XV, XXVII et XXVIII consulto auctor praeteriit, propterea quod omnino convenirent cum Epanagoges titulis X. XII et VIII, quos jam descripserat. Ex reliquis titulis Prochiri modo laudatis auctor omisit tit. XVII, 6—8: tit. XVIII, 7: tit. XXXI, 5: tit. XXXIII, 11. 17.
3. Ecloga cum Appendice. Videtur autem usus esse Ecloga non genuina, sed privata aucta, quam initio hujus voluminis edidi; Appendix autem ejus vel locupletior fuisse videtur ea, quam *Ἀνεκδότων* volumine pridem edidi. Ex Ecloga privata aucta

potissimum sumsit tit. IX c. 5—7, tit. XI c. 3—5. 8. 11. 12, tit. XVI c. 4—6: ex Appendice capp. II, III, IV, XX, XXII, XXIII, XXVII—XXXI, XXXIII, XXXVI, XXXVIII—XLIV, XLVI, XLVII, L, LI, τὰς ῥοπὰς, leges rusticas, militares, navales, et praeterea triginta circiter Institutionum, Digestorum, Codicis et Novellarum fragmenta, quorum fontem alibi non inveni.

4. Athanasii Emiseni Epitome Novellarum. Praestat enim auctor locos ex ejus operis titt. I. II. IV. V. VIII. X. XVI. XVIII. XX eorumque paratitlis exceptos. Nisi forte et hi loci Appendicis modo dictae partem efficiebant.

5. Basilica. Reperiuntur scilicet in Epanagoge aucta Basilicorum loci hi:

Lib.	II	tit.	3	cap.	49. 70. 73. 107. 108. 124. 156.
„	—	„	4	„	5.
„	III	„	1	„	35.
„	VI	„	1	„	19.
„	VII	„	3	„	12.
„	—	„	5	„	88.
„	—	„	17	„	1.
„	—	„	19	„	4.
„	VIII	„	1	„	1. 40.
„	IX	„	3	„	6. 10.
„	—	„	7	„	16. 36. 37.
„	—	„	9	„	5.
„	X	„	1	„	1. 2.
„	—	„	2	„	1. 2. 7. 8. 13.
„	—	„	3	„	1. 7. 9.
„	—	„	4	„	48. 62.
„	XI	„	1	„	67.
„	—	„	2	„	9. 24. 29. 35. 55.
„	XIX	„	7	„	12. 21.
„	—	„	10	„	1. 4. 6—14. 17. 40—42.
„	XXI	„	2	„	4. 11.
„	—	„	3	„	12. 15. 17. 19. 21.
„	XXII	„	1	„	2. 4. 5. 7. 8. 11. 13. 14. 16. 17—20. 23. 24. 28. 29. 31. 34—36. 38. 40—44. 46—48. 50—52. 54. 57—59, 61. 62. 64. 68—70. 73. 75.
„	XXVIII	„	3	„	13. 16.
„	—	„	4	„	6. 9. 10. 12. 13. 24. 27.

Lib.	XXVIII	tit.	5	cap.	29—32.
„	—	„	7	„	7—11. 14—16. 18.
„	—	„	8	„	4. 7. 10—17. 19. 22. 24. 45. 49. 58—60. 63. 67. 69.
„	—	„	9	„	2. 3.
„	—	„	10	„	1—3. 5. 6. 9—11.
„	—	„	11	„	1. 3. 11—13. 16. 17. 19—22. 27. 28. 31—33.
„	XXIX	„	1	„	30. 35. 36. 42. 51. 60. 61. 63. 69. 73. 78. 81. 82. 90. 91. 100—102. 110. 111. 116. 117. 119.
„	—	„	5	„	1. 8. 9. 11. 27. 32.
„	XXX	„	1	„	7. 38—41. 55. 56. 64. 65. 73. 74. 85. 87. 89.
„	XXXI	„	1	„	2. 8.
„	—	„	2	„	1. 5. 7. 9. 10.
„	—	„	6	„	4—7.
„	—	„	7	„	1.
„	—	„	9	„	1.
„	XXXIII	„	1	„	1. 2. 5—7.
„	—	„	2	„	1—4. 12. 17. 21—23. 26. 30. 31. 33—35. 40. 43. 44. 51. 52.
„	XXXIV	„	1	„	1. 3. 4. 8. 12—21. 23. 27.
„	—	„	2	„	2. 6. 7. 10. 11. 13. 16.
„	XXXV	„	1	„	9. 10. 13. 14. 21. 23. 24. 29. 30. 72. 74.
„	—	„	2	„	1. 6. 22. ult.
„	—	„	4	„	4—6.
„	—	„	8	„	2. 27. 28. 34.
„	—	„	12	„	37.
„	—	„	13	„	14.
„	—	„	16	„	1. 3. 6. 23.
„	—	„	17	„	1.
„	—	„	21	„	1. 4. 11. 33.
„	XLV	„	1	„	42. 54.
„	XLVI	„	1	„	11. 14. 15.
„	—	„	3	„	7. 9.
„	XLVIII	„	1	„	1. 4. 8.
„	—	„	2	„	4. 6—9.
„	—	„	3	„	47.

Lib.	XLVIII	tit.	18	cap.	2.
„	—	„	19	„	3.
„	XLIX	„	3	„	25. 39. 44. 51.
„	—	„	4	„	3. 14. 24.
„	L	„	1	„	59.
„	LIII	„	8	„	14.
„	LVIII	„	3	„	7. 8. 12. 21. 22. ult.
„	—	„	9	„	14.
„	—	„	13	„	1.
„	LX	„	1	„	1. 3. 13. 15. 20. 24. 28. 29. 31—33.
„	—	„	3	„	3—5. 7. 9. 11. 19. 21. 23. 27.
„	—	„	17	„	3.
„	—	„	21	„	15.
„	—	„	41	„	1. 2.
„	—	„	48	„	4.
„	—	„	51	„	3. 8. 24—26. 38. 45.

In quibus multa esse quae ad restitutionem Basilicorum faciant, nemo est quin videat.

6. Novellae constitutiones Imp. Leonis Sapientis. Praestat auctor epitomas Novellarum 5. 6. 7. 9. 10. 18. 19. 22. 26. 27. 32. 34. 40. 42. 50. 66. 67. 68. 69. 72. 77. 82. 92. 98. 99. 100. 101. 106. 108. Quae Novellae quum omnes in Ecloga Novellarum Leonis extent, in dubio relinquendum est, utrum hac fuerit auctor usus an integra Novellarum Leonis collectione.

§. 3. **Historia.**

Epanagogen auctam post tempora Leonis Sapientis, et ante saec. XII compositam esse, in aprico est. Illud demonstrat usus Novellarum Leonis, hoc vero vel eo comprobatur, quod Codex MS. enchiridii nostri saec. XI exaratus (Paris. 1383) hodiedum extat. Auctor si non integris Novellis Leonis sed Ecloga earum usus est, quae ab auctore Synopseos Basilicorum circa annum 950 confecta est, profecto post hoc tempus scripsisse dicendus est. Et saeculo X medio vel exeunti assignare eum vel hoc videtur, quod Basilicorum capita ab ipso exscripta aliquando secundum libros et titulos non Basilicorum, sed potius Digestorum vel Codicis laudantur, unde in Basilica fuerant translata: studiosi enim juris tum temporis ad fontes Basilicorum referre sese amabant. Quod in libro Ὁ πρόχειρος νόμος p. CXXXII auctorem Epanagoges auctae sub Con-

stantino Porphyrogenito, Leonis filio, vixisse arbitratus sum, in eo fortasse nimis antiquitatis studiosus fui.

§. 4. Editionis ratio.

Postquam titulorum indicem et tit. XII Epanagogae auctae in Prolegomenis ad Prochiron a me editum primus typis evulgavi, nunc tandem integram edo, suadentibus id fautoribus horum studiorum et bibliopola honestissimo annuente.

Fundamentum editionis est Codex Bienerianus A, quem anno 1831 Berolini a viro celeberrimo F. A. Bienero liberaliter mihi commodatum integrum descripsi, quemque postea Parisiis et Oxonii cum Codicibus MSS. illic extantibus obiter saltem contuli. Praeterea ex fontibus, ex quibus Epanagoge aucta compilata est, textum castigavi et emendavi: fontes autem diligenter in notis excitavi.

Appendicem *τῶν ῥοπῶν*, legum rusticarum, militarium et navalium, quam in fine enchiridii auctor ipse adjecisse videtur, huic editioni inserere nolui. *Τὰς ῥοπὰς* peculiari libello edidi: leges rusticas, militares et navales *ὡς ἐν παρόδῳ* hoc loco repetere non juvat, quum dignae sint quae per se aliquando diligentius tractentur et typis edantur. Quae post absolutas leges navales in Codicibus MSS., qui quidem in fine non sint mutilati, appendici accedunt fragmenta, haec sunt:

Ἐκ τῶν περὶ ὕβρεων καὶ τῶν ἁμαρτημάτων ἐλευθέρων τε καὶ δούλων. (Epitome tit. cit.)

α΄. Ὁ ἐλεύθερος ὑβρίζων εἰς χρήματα καταδικάζεται· ὁ δὲ οἰκέτης μαστιγοῦται.

β΄. Ἐπὶ τῆς ὕβρεως τὴν καταφρόνησιν δηλοῖ, οὐ τὴν ἀδικίαν. καὶ ὅτι διατίμησις γίνεται ὕβρεως.

γ΄. Ἡ ὕβρις τῇ συγχωρήσει τῶν ὑβρισθέντων σβέννυται.

δ΄. Δούλου πληγέντος πρὸς τῇ ὕβρει καὶ ὁ ἀκουΐλιος κινεῖται, ἤγουν ἡ ποινή.

ε΄. Τὸν ἐν εἰδήσει μου ἁμαρτάνοντα δοῦλόν μου οὐ δύναμαι ἐκδιδόναι εἰς νόξαν, ἀλλ' εἰς θεραπείαν τῆς ζημίας πάντως ἀπαιτοῦμαι τὰ ἀργύρια.

*ς΄. Ἐναγόμενος τὴν νοξαλίαν ὁ δεσπότης ἢ τὴν διατίμησιν τοῦ ἐπιζητουμένου πράγματος ἢ τὸν οἰκέτην ἐκδίδωσιν. ἐὰν δὲ πολλοὶ οἰκέται τὸ αὐτὸ ἁμαρτάνωσιν κλοπὴν, τοσοῦτον ὑπὲρ ὅλων δίδοται τῶν οἰκετῶν, ὅσον ἐλεύθερος κλέψας παρέχει, ἐὰν

τὸ ἁμάρτημα ἠγνόει ὁ δεσπότης. εἰ γὰρ ἠπίστατο, ὑπὲρ ἑκάστου οἰκέτου ἐνάγεται, καὶ οὐ δίδωσι μίαν ποινήν.

Περὶ ἀνατροπῆς δωρεῶν. (Proch. XIII, 1.)

Ἐάν τις μὴ ἔχων υἱὸν πᾶσαν αὐτοῦ τὴν οὐσίαν ἢ μέρος αὐτῆς ἰδίῳ ἀπελευθέρῳ δωρήσηται, σχοίη δὲ παῖδας μετὰ ταῦτα, πᾶσα ἀκυρούσθω ἡ δωρεά, καὶ παλινδρομεῖται πάντα πρὸς τὸν δωρούμενον ἔχοντα πάλιν ἐξουσίαν ὡς βούλεται ταῦτα διοικεῖν.

Caeterum hoc *περὶ ἀνατροπῆς δωρεῶν* fragmentum Bienerianus A et Bodlejanus 716 soli praestant: ejus loco Paris. 1383 et Bienerianus B quinque fragmenta habent *ἐκ τοῦ νγ΄ βι. τῶν βασιλικῶν*, et quidem haec:

Ἐὰν τοῦ πλοίου μὴ δυναμένου μετὰ τοῦ γόμου — (Basil. LIII, 3 ex Dig. XIV, 2, 4 pr. Lex restituenda).

Ἐὰν τὰ σωθέντα φορτία χείρονα — (Basil. LIII, 3 ex Dig. XIV, 2, 4 §. 2. Lex restituenda).

Ἀπολομένου τοῦ πλοίου οἱ σώσαντες — (Bas. LIII, 3 ex Dig. XIV, 2, 5 pr.).

Ναυαγήσαντος τοῦ πλοίου ὅπερ ἄν τις ἐκ — (Bas. LIII, 3 ex Dig. XIV, 2, 7).

Ἐὰν πλοῖον μεστὸν σίτου — (Bas. LIII, 8, 39).

ΛΕΩΝ ΒΑΣΙΛΕΥΣ.

Ἀπὸ τοῦ α' βι. τῶν διγ. γ' τί. περὶ νόμου καὶ δικαιοσύνης.

1. *Νόμος ἐστὶ κοινὸν παράγγελμα, φρονίμων ἀνδρῶν δόγμα, ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων ἐπιστροφὴ, πόλεως συνθήκη κοινή· ἐστὶ δὲ καὶ θεῖον εὕρημα* [1].

2. *Τοὺς νόμους ἀπὸ τῶν ὡς ἐπὶ τὸ πλεῖστον συμβαινόντων, οὐ μὴν τῶν σπανίως εἰσάγεσθαι δεῖ, οὐδὲ ἀπὸ τῶν δυναμένων ἐνὶ συμβῆναι θέματι. παρορῶσι γὰρ οἱ νομοθέται τὸ ἅπαξ ἢ δίς* [2].

3. *Ἀρετὴ νόμου τὸ κελεύειν, τὸ κωλύειν, τὸ ἐπιτρέπειν, τὸ τιμωρεῖσθαι* [3].

4. *Τὸ νόμιμον διαιρεῖται εἰς δύο, εἰς πούβλικον καὶ πριβάτον. πούβλικόν ἐστι νόμιμον, τὸ εἰς σύστασιν τῆς πολιτείας συντεῖνον· ἐστὶ δὲ ἐν ἱεροῖς, ἐν ἱερεῦσιν, ἐν ἄρχουσι. τὸ δὲ πριβάτον διαιρεῖται εἰς φυσικὸν, εἰς ἐθνικὸν καὶ εἰς πολιτικόν. φυσικὸν νόμιμόν ἐστι τὸ πάντων τῶν [ζώων κοινόν· οἷον ἡ μίξις, ὁ τοκετὸς, ἡ ἀναιροφὴ καὶ τὰ ὅμοια. ἐθνικὸν δὲ νόμιμόν ἐστι τὸ πάντων τῶν] ἀνθρώπων κοινόν· οἷον ὁ φυσικὸς λογισμὸς, ἡ περὶ θεοῦ θρησκεία, τὸ γονεῦσι καὶ πατρίδι πείθεσθαι* [4].

5. *Δικαιοσύνη ἐστὶ σταθηρὰ καὶ διηνεκὴς βούλησις, ἑκάστῳ τὸ ἴδιον ἀπονέμουσα δίκαιον* [5].

6. *Ἴδια δικαιοσύνης τὸ κοσμίως ζῆν καὶ ἑκάστῳ τὸ ἴδιον ἀπονέμειν* [6].

7. *Σοφία δικαιοσύνης τὸ εἰδέναι τὰ θεῖα καὶ ἀνθρώπινα πράγματα καὶ τὸ δίκαιον καὶ τὸ ἄδικον* [7].

---

[1] Dig. I, 3, 1. 2 ex Epan. I, 1. [2] Dig. ib. 3. 4. 6 ex Epan. I, 2. [3] Dig. ib. 7 ex Epan. I, 3. [4] Dig. I, 1, 1 §. 2 et l. 2 ex App. Ecl. LI. [5] Dig. I, 1, 10 ex Epan. I, 4. [6] Dig. l. l. ex Epan. I, 5. [7] Dig. l. l. ex Epan. I, 6.

ΤΙΤΛΟΣ α'.

Περὶ βασιλέως. Τί ἐστι βασιλεύς;

1. Βασιλεύς ἐστιν ἔννομος ἐπιστασία, κοινὸν ἀγαθὸν πᾶσι τοῖς ὑπηκόοις, μήτε κατὰ ἀντιπάθειαν τιμωρῶν, μήτε κατὰ προσπάθειαν ἀγαθοποιῶν, ἀλλὰ ἀναλόγως τοῖς ἀγωνοθέταις παρεχόμενος [1].

2. Σκοπὸς τῷ βασιλεῖ τῶν τε ὄντων* [καὶ ὑπαρχόντων] δυνάμεων δι' ἀγαθότητος ἡ φυλακὴ καὶ ἀσφάλεια, καὶ τῶν ἀπολωλότων δι' ἀγρύπνου ἐπιμελείας ἡ ἀνάληψις, καὶ τῶν ἀπόντων διὰ σοφίας καὶ δικαίων τρόπων καὶ ἐπιτηδευμάτων ἡ ἀνάκτησις [2].

3. Τέλος τῷ βασιλεῖ τὸ εὐεργετεῖν, διὸ καὶ εὐεργέτης λέγεται. καὶ ἡνίκα τῆς εὐεργεσίας ἐξατονήσῃ, δοκεῖ κιβδηλεύειν κατὰ τοὺς παλαιοὺς τὸν βασιλικὸν χαρακτῆρα [3].

4. Ὑπόκειται ἐκδικεῖν καὶ διατηρεῖν ὁ βασιλεὺς πρῶτον μὲν πάντα τὰ ἐν τῇ θείᾳ γραφῇ γεγραμμένα, ἔπειτα δὲ καὶ τὰ παρὰ τῶν ζ̄ ἁγίων συνόδων δογματισθέντα· ἔτι δὲ καὶ τοὺς ἐγκεκριμμένους ῥωμαϊκοὺς νόμους [4].

5. Ἐπισημότατος ἐν ὀρθοδοξίᾳ καὶ εὐσεβείᾳ ὀφείλει εἶναι ὁ βασιλεὺς, καὶ ἐν ζήλῳ θείῳ διαβόητος, ἔν τε τοῖς ὑπὲρ τῆς τριάδος δογματισθεῖσιν ἔν τε τοῖς ὑπὲρ τῆς οἰκονομίας λαμπρότατα καὶ ἀσφαλέστατα διὰ τὴν κατὰ σάρκα ἐπιδημίαν τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ὁρισθεῖσιν· τουτέστι τὸ ὁμοούσιον τῆς τρισυποστάτου θεότητος ἄτμητον καὶ ἀσυναίρετον διατηρῶν, καὶ τὴν ἐν τῷ ἑνὶ χριστῷ τῶν δύο φύσεων καθ' ὑπόστασιν ἕνωσιν, ὡσαύτως ἀσύγχυτον καὶ ἀδιαίρετον τέλειον θεὸν καὶ τέλειον ἄνθρωπον τὸν αὐτὸν, καὶ τὰ τούτοις ἑπόμενα, οἷον ἀπαθῆ καὶ παθητὸν, ἄφθαρτον καὶ φθαρτὸν, ἀναφῆ καὶ ἁπτὸν, ἀπερίγραπτον καὶ περίγραπτον, καὶ τὸ διττὸν τῶν θελημάτων καὶ τῶν ἐνεργειῶν [χωρὶς ἐναντιότητος], καὶ τὸ ἄγραπτον καὶ τὸ γραπτόν [5].

6. Τὰ τοῖς παλαιοῖς νομοθετηθέντα τὸν βασιλέα δεῖ ἑρμηνεύειν, καὶ ἐκ τῶν ὁμοίων τέμνειν τὰ περὶ ὧν οὐ κεῖται νόμος [6].

7. Ἐν τῇ τῶν νόμων ἑρμηνείᾳ δεῖ καὶ τῇ συνηθείᾳ προσέ-

---

[1] Epan. II, 1. * Alii μενόντων, alii τεμνόντων. [2] Epan. h. t. c. 2. [3] Epan. h. t. c. 3. [4] Epan. h. t. c. 4. [5] Epan. h. t. c. 5. [6] Dig. I, 3, 11. 12 ex Epan. h. t. c. 6.

χειν τῆς πόλεως· τὸ δὲ παρὰ κανόνας εἰσαγόμενον οὐκ ἔσται πρὸς ὑπόδειγμα [7].

8. Φιλαγάθως δεῖ τοὺς νόμους ἑρμηνεύειν τὸν βασιλέα. ἐν γὰρ τοῖς ἀμφιβόλοις τὴν φιλόκαλον ἑρμηνείαν προσιέμεθα [8].

9. Οὐ δεῖ μεταποιεῖν τὰ πρόδηλον ἑρμηνείαν ἔχοντα [9].

10. Περὶ ὧν ἐγγράφως οὐ κεῖται νόμος, παραφυλάττειν δεῖ τὸ ἔθος καὶ τὴν συνήθειαν. εἰ δὲ καὶ τοῦτο ἐκλείπῃ, ἀκολουθεῖν δεῖ τοῖς παραπλησίως ἔχουσι τῷ ζητουμένῳ [10].

11. Ὥσπερ ἡ θέσις τοῦ νόμου ἢ ἔγγραφός ἐστιν ἢ ἄγραφος, οὕτω καὶ ἡ ἀναίρεσις αὐτοῦ ἢ δι' ἐγγράφου [γίνεται νόμου] ἢ δι' ἀγράφου, τουτέστι διὰ τῆς ἀχρηστίας [11].

12. Τότε κεχρήμεθα συνηθείᾳ τινὸς πόλεως ἢ ἐπαρχίας, ὅτε ἀμφισβητηθεῖσα ἐν δικαστηρίῳ βεβαιωθῇ. τὰ γὰρ μακρᾷ συνηθείᾳ δοκιμασθέντα καὶ ἐπὶ πολλοὺς ἐνιαυτοὺς φυλαχθέντα οὐχ ἧττον τῶν ἐγγράφων κρατοῦσιν [12].

13. Τὰ κακῶς ἐπινοηθέντα οὐδὲ μακρᾷ συνηθείᾳ βεβαιοῦσθαι βουλόμεθα [13].

ΤΙΤΛΟΣ β'.

Περὶ πατριάρχου. Τί ἐστι πατριάρχης;

1. Πατριάρχης ἐστὶν εἰκὼν ζῶσα χριστοῦ καὶ ἔμψυχος, δι' ἔργων καὶ λόγων χαρακτηρίζουσα τὴν ἀλήθειαν [1].

2. Σκοπὸς τῷ πατριάρχῃ, πρῶτον μὲν, οὓς ἐκ θεοῦ παρέλαβεν εὐσεβείᾳ καὶ σεμνότητι βίου διαφυλάξαι, ἔπειτα δὲ πάντας τοὺς αἱρετικοὺς κατὰ τὸ δυνατὸν αὐτῷ πρὸς τὴν ὀρθοδοξίαν καὶ τὴν ἕνωσιν τῆς ἐκκλησίας ἐπιστρέψαι (αἱρετικοὶ δὲ τοῖς νόμοις καὶ τοῖς κανόσι καλοῦνται καὶ οἱ τῇ καθολικῇ μὴ κοινωνοῦντες ἐκκλησίᾳ), ἔτι δὲ καὶ τοὺς ἀπίστους διὰ τῆς λαμπρᾶς καὶ περιφανεστάτης καὶ θαυμασίας αὐτοῦ πράξεως ἐκπλήττων μιμητὰς ποιῆσαι τῆς πίστεως [2].

---

[7] Dig. ib. 37. 14 ex Epan. h. t. c. 7. [8] Dig. ib. ex Epan. h. t. c. 8. [9] Dig. ib. ex Epan. h. t. c. 9. [10] Dig. ib. ex Epan. h. t. c. 10. [11] Dig. ib. ex Epan. h. t. c. 11. [12] Dig. ib. ex Epan. h. t. c. 12. [13] Codices nonnulli addunt: ἐκ τοῦ θ' τί. τοῦ βι. τῶν διατ. Verba hujus capitis ex Nov. 134 c. 1 desumta sunt, ut proinde tit. IV Epitomae Novellarum Athanasii laudari videatur, cujus const. 22 nobis est Nov. 134. Cf. infra tit. LII not. 74. 75.

[1] Epan. III, 1. [2] Epan. h. t. c. 2.

3. *Τέλος τῷ πατριάρχῃ ἡ τῶν καταπεπιστευμένων αὐτῷ ψυχῶν σωτηρία, καὶ τὸ ζῆν μὲν χριστῷ, ἐσταυρῶσθαι δὲ τῷ κόσμῳ* [3].

4. *Ἴδια τῷ πατριάρχῃ τὸ εἶναι διδακτικὸν, τὸ πρὸς πάντας ὑψηλούς τε καὶ ταπεινοὺς ἀστενοχωρήτως ἐξισοῦσθαι, καὶ πρᾷον μὲν εἶναι ἐν δικαιοσύνῃ, ἐλεγκτικὸν δὲ πρὸς τοὺς ἀπειθοῦντας, ὑπὲρ δὲ τῆς ἀληθείας καὶ τῆς ἐκδικήσεως τῶν δογμάτων λαλεῖν ἐνώπιον βασιλέων καὶ μὴ αἰσχύνεσθαι* [4].

5. *Τὰ παρὰ τῶν παλαιῶν κανονισθέντα καὶ παρὰ τῶν ἁγίων συνόδων ἐκτεθέντα [τὸν πατριάρχην μόνον δεῖ ἑρμηνεύειν]* [5].

[6. *Τὰ παρὰ τῶν ἀρχαίων πατέρων ἐν συνόδοις ἢ ἐν ἐπαρχίαις ἰδικῶς καὶ καθολικῶς πραχθέντα] καὶ οἰκονομηθέντα τὸν πατριάρχην δεῖ διακρίνειν* [6].

7. *Οἱ προγενέστεροι κανόνες καὶ εἰς τοὺς μεταγενεστέρους ἕλκονται. ὡσαύτως δὲ καὶ αἱ προγενεστέραι πράξεις καὶ οἰκονομίαι καὶ εἰς τοὺς μεταγενεστέρους ἕλκονται, καὶ κρατοῦσιν ἐπὶ τῶν ὁμοίων προσώπων τε καὶ πραγμάτων* [7].

8. *Τῆς πολιτείας ἐκ μερῶν καὶ μορίων ἀναλόγως τῷ ἀνθρώπῳ συνισταμένης, τὰ μέγιστα καὶ ἀναγκαιότατα μέρη βασιλεύς ἐστι καὶ πατριάρχης. διὸ καὶ ἡ κατὰ ψυχὴν καὶ σῶμα τῶν ὑπηκόων εἰρήνη καὶ εὐδαιμονία βασιλείας ἐστὶ καὶ ἀρχιερωσύνης ἐν πᾶσιν ὁμοφροσύνῃ καὶ συμφωνία* [8].

9. *Ὁ κωνσταντινουπόλεως θρόνος βασιλείᾳ ἐπικοσμηθεὶς ταῖς συνοδικαῖς ψήφοις πρῶτος ἐῤῥήθη, αἷς οἱ θεῖοι κατακολουθοῦντες νόμοι καὶ τὰς ὑπὸ τοὺς ἑτέρους θρόνους γινομένας ἀμφισβητήσεις ὑπὸ τὴν ἐκείνου προστάττουσιν ἀναφέρεσθαι διάγνωσιν καὶ κρίσιν* [9].

10. *Πασῶν τῶν μητροπόλεων καὶ ἐπισκοπείων, μοναστηρίων τε καὶ ἐκκλησιῶν ἡ πρόνοια καὶ ἡ φροντὶς, ἔτι δὲ καὶ κρίσις καὶ κατάκρισις, τῷ οἰκείῳ πατριάρχῃ ἀνάκειται. τῷ δὲ κωνσταντινουπόλεως προέδρῳ ἔξεστι καὶ ἐν ταῖς τῶν ἄλλων θρόνων ἐνορίαις, ἐν αἷς οὐκ ἔστι προκαθιέρωσις ναοῦ, σταυροπήγια διδόναι· οὐ μὴν ἀλλὰ καὶ τὰς ἐν τοῖς ἄλλοις θρόνοις γενομένας ἀμφισβητήσεις ἐπιτηρεῖν καὶ ὀρθοῦσθαι καὶ πέρας ἐπιτιθέναι ταῖς κρίσεσιν* [10].

---

[3] Epan. h. t. c. 3. [4] Epan. h. t. c. 4. [5] Epan. h. t. c. 5. [6] Epan. h. t. c. 6. [7] Epan. h. t. c. 7. [8] Epan. h. t. c. 8. [9] Epan. h. t. c. 9. [10] Epan. h. t. c. 10.

11. *Τῶν ψυχικῶν ἁπάντων ἡ πρόνοια καὶ ἡ φροντὶς τῷ οἰκείῳ πατριάρχῃ ἀνάκειται· ἀναφέρεται δὲ καὶ εἰς ἑτέρους, οἷς ἂν αὐτὸς ἀναφέρεσθαι ὁρίσῃ. ὡσαύτως δὲ καὶ μετανοίας καὶ ἐπιστροφῆς [ἀπὸ] ἁμαρτημάτων καὶ αἱρέσεων αὐτὸς καὶ μόνος καθίσταται διαιτητής τε καὶ γνώμων, καὶ οὓς ἂν αὐτὸς ὁρίσῃ. καὶ κατὰ τὰς μητροπόλεις δὲ καὶ ἐπισκοπὰς τοῖς μητροπολίταις καὶ ἐπισκόποις ἡ αὐτὴ φυλάττεται τάξις καὶ ἐξουσία* [11].

ΤΙΤΛΟΣ γ'.

Περὶ τάξεως ἐπάρχου.

1. *Ὁ τῆς πόλεως ἔπαρχος ζητεῖ τὰ ἐγκλήματα, καὶ τὰ ἐν τῇ πόλει γινόμενα ἀκροᾶται* [1].

2. *Ὁ τῆς πόλεως ἔπαρχος τῶν προσφευγόντων δούλων καὶ λεγόντων ἰδίοις νούμμοις ἀγορασθῆναι ἐπὶ τῷ ἐλευθερωθῆναι ἀκροᾶται, καὶ τῶν πατρώνων μάλιστα τῶν ἀπόρων ἐπιζητούντων ἀποτραφῆναι παρὰ τῶν ἀπελευθέρων* [2].

3. *Ὁ τῆς πόλεως ἔπαρχος καὶ ἐξορίζει καὶ περιορίζει, τοῦ βασιλέως τὴν νῆσον ὁρίζοντος* [3].

4. *Ὁ τῆς πόλεως ἔπαρχος ζητεῖ καὶ τὰ ἐντὸς ρ̄ μιλίων τῆς πόλεως πλημμελούμενα, οὐ μὴν καὶ τὰ ποῤῥωτέρω* [4].

5. *Παρὰ τῷ τῆς πόλεως ἐπάρχῳ παραπέμπονται καὶ οἱ κακῶς γινόμενοι κηδεμόνες μείζονος ὑπεξελεύσεως χρῄζοντες, καὶ οἱ δεδωκότες χρήματα ἐπὶ τὸ ἐπιτροπεῦσαι ἢ λαβόντες εἰς τὸ ἐμποδίσαι γενέσθαι ἐπιτηδείους· καὶ οἱ ἐπίτηδες ἡττόνως ἀπογραψάμενοι τὰ τοῦ νέου πράγματα ἢ φανερῶς κατὰ δόλον ἐκποιήσαντες* [5].

6. *Ὁ τῆς πόλεως ἔπαρχος φροντίζει τοῦ μὴ προστῆναι ἐπὶ πορνείᾳ δημοσίως ἀνδράποδα, καὶ τοῦ πιστῶς συναλλάσσειν τοὺς τραπεζίτας καὶ ἀπέχεσθαι τῶν κεκωλυμένων* [6].

7. *Ὁ τῆς πόλεως ἔπαρχος σωφρονίζει καὶ τοὺς ἀπελευθέ-*

---

[11] Epan. h. t. c. 11.

[1] Dig. I, 12, 1 pr. ex Epan. IV, 1. [2] Dig. cit. 1 §. 2 ex Epan. h. t. c. 2. [3] Dig. cit. 1 §. 3 ex Epan. h. t. c. 3. [4] Dig. cit. 1 §. 4 ex Epan. h. t. c. 4. [5] Dig. cit. 1 §. 7 ex Epan. h. t. c. 5. [6] Dig. cit. 1 §. 8. 9 ex Epan. h. t. c. 6.

ρους καταφρονοῦντας ἢ ὑβρίζοντας τοὺς πάτρωνας ἢ τὰς γαμετὰς αὐτῶν ἢ τοὺς παῖδας, ἀπειλῶν ἢ μαστίζων ἢ ἄλλως πρὸς τὸ ἁμάρτημα ἐπεξιών· εἰ δὲ συκοφαντήσουσιν αὐτοὺς ἢ τοῖς ἐχθροῖς αὐτῶν συμπνεύσουσιν, τυπτόμενοι καὶ κουρευόμενοι καὶ ἀναδουλούμενοι ἀποδίδονται τοῖς συκοφαντηθεῖσιν [7].

8. Ὁ τῆς πόλεως ἔπαρχος φροντίζει καὶ τοῦ δικαίοις τιμήμασι τὸ κρέας πιπράσκεσθαι, καὶ τῆς εἰρήνης, καὶ τῆς τῶν θεωριῶν καταστάσεως. καὶ ἔχει στρατιώτας ἐπὶ τῇ εἰρήνῃ καὶ ἐπὶ τῷ ἀναφέρειν αὐτῷ τὰ πανταχοῦ κινούμενα [8].

9. Ὁ τῆς πόλεως ἔπαρχος δύναται ἀπαγορεύειν τινὶ τῆς πόλεως καὶ μέρους αὐτῆς, καὶ πραγματείας καὶ θέας καὶ ἐπιτηδεύσεως καὶ συνηγορίας φόρου, καὶ προσκαίρως καὶ διηνεκῶς. καὶ ἐὰν ἐξορίσῃ τινὰ, εἴργειν αὐτὸν ὀφείλει καὶ τῆς ἰδίας πατρίδος ἐξιστᾶν [9].

10. Παρὰ τῷ ἐπάρχῳ τῆς πόλεως οἱ ἀργυροπράται καὶ χρηματικῶς ἐνάγονται καὶ ἐνάγουσιν [10].

11. Ὁ τῆς πόλεως ἔπαρχος ἐν τῇ πόλει μείζων πάντων ἐστὶ μετὰ τὸν βασιλέα, ἐξελθὼν δὲ τοὺς ὅρους τῆς πόλεως ἐξουσίαν οὐκ ἔχει πλὴν τοῦ κελεύειν καὶ δικάζειν [11].

ΤΙΤΛΟΣ δ'.

Περὶ τοῦ κοιαίστωρος.

1. Ὁ κοιαίστωρ ἐξουσίαν ἔχει τοὺς ἐπὶ τῆς μεγάλης ταύτης ἐπιδημοῦντας πόλεως ἐξ οἱασδήποτε οὖν [ἀναζητεῖν] χώρας, εἴτε ἄνδρας εἴτε γυναῖκας εἴτε τῶν ἔξω πόλεων συνηγόρους ἢ καὶ ἄλλης οἵας οὖν τύχης τε καὶ ἀξίας, καὶ περιεργάζεσθαι τίνες τε εἶεν καὶ πόθεν ἥκοιεν καὶ ἐπὶ ποίᾳ προφάσει, καὶ σκοπεῖν τίνες αὐτοὺς ἀδικοῦσι, καὶ ἐπιμελεῖσθαι τοῦ συντόμως αὐτοὺς ἀπαλλάττειν τῶν δυσκόλων δι' ὥνπερ ἐνταῦθα παραγεγόνασι, καὶ τάχιστα τούτους ὅθεν ἥκουσιν ἐκπέμπειν τῶν προσηκόντων ἀπολαύσαντας [1].

2. Ὁ κοιαίστωρ τοὺς τελοῦντας γεωργοὺς ὑπὸ δεσπότας

---

[7] Dig. cit. 1 §. 10 ex Epan. h. t. c. 7. [8] Dig. cit. 1 §. 11. 12 ex Epan. h. t c. 8. [9] Dig. cit. 1 §. 13 ex Epan. h. t. c. 9. [10] Dig. cit. 2 ex Epan. h. t. c. 10. [11] Dig. cit. 3 ex Epan. h. t. c. 11.

[1] Nov. 80 c. 1 ex Epan. V, 1.

καὶ δεομένους τῶν αὐτοῖς ἐξ αὐτῶν προσηκόντων, τούτους εἰς ταύτην παραγεγονότας τὴν βασιλίδα πόλιν ἐπισκοπεῖν δύναται καὶ ἀναγκάζειν τοὺς κεκτημένους θᾶττον αὐτοῖς ἀποδοῦναι τὰ οἷς ἤκοιντο, καὶ ἐκπέμπειν αὐτίκα τυχόντας δικαίων. εἰ δὲ εἰκὸς εἰς ἐναντίωσιν τῶν κεκτημένων παρεγένοντο καὶ πρὸς αὐτοὺς λέγοιεν δίκας, πλῆθος δὲ εἶεν, τοὺς μὲν πολλοὺς ἀποπέμπειν παραχρῆμα εἰς τὴν χώραν αὐτῶν, δύο ἢ τριῶν καταλιμπανομένων, οἵπερ καὶ τὴν τῶν συνδίκων ἀγωνιοῦνται· καὶ οὕτως αὐτῶν ἐπιμεληθῆναι, ὡς τάχιστα τέμνειν τὰς ὑποθέσεις, ἵνα μὴ μῆκος αὐτοῖς ἐγγίνοιτο χρόνου, καὶ μάλιστα γεωργοῖς οὖσιν, ὧν ἡ ἐνταῦθα παῤῥησία περιττὴ καὶ ἡ ἐκ τῆς γεωργίας σχολὴ βλάβην αὐτοῖς τε καὶ τοῖς κεκτημένοις ἐμποιεῖ [2].

3. Ὁ κοιαίστωρ τὸ ἐπιδημοῦν πλῆθος, εἰ μὴ γεωργικὸν ᾖ, ἀλλὰ τυχὸν ἕτεροί τινες ἢ δικασόμενοι πρὸς ἑτέρους χρονίζοιεν, μὴ ἐνδιδότω· ἀλλὰ πάσῃ συντομίᾳ τῶν ἀμφισβητουμένων τούτους ἀπαλλαττέτω, ὥστε αὐτοὺς τὰς οἰκείας πόλεις καὶ χώρας οἰκεῖν [3].

4. Ὁ κοιαίστωρ εἰ καὶ πολλάκις ἐνοχλήσας τοὺς τῶν γεωργῶν κυρίους ἀναβαλλομένους εὕροι καὶ μὴ θᾶττον αὐτοὺς τῆς προσεδρίας ἀπαλλάξαι θέλοντας, αὐτὸς παριστῶν τοὺς δεσπότας κατενώπιον τῶν δεομένων ἐπιτιμάτω σφοδρότερον, καὶ ἐν τάχει διατιθέτω ἐφ᾽ οἷς οἱ γεωργοὶ ἐπεδήμησαν καὶ πρὸς τὰς οἰκείας πατρίδας ἐκπεμπέτω, εἰς τὸ μὴ ἀσχολεῖσθαι [4].

5. Ὁ κοιαίστωρ εἰ βίου πρόφασίν τινες ἢ δίκης αἰτίαν [οὐκ] ἔχοντες ἐπὶ ταύτης εἰσὶ τῆς ἡμετέρας πόλεως, ὥστε διαζῆν ἐκ τοῦ μεταιτεῖν, ὁποῖοί εἰσιν, ἐκπομπευέτω. καὶ εἰ ἔῤῥωται αὐτοῖς τὰ σώματα καὶ δυνατοὶ διαρκεῖν πρὸς πόνον, εἰ μὲν οἰκέται εἶεν, γνωριζομένων τῶν δεσποτῶν τούτους καὶ ἄκοντας τοῖς κεκτημένοις ἐκπεμπέτω εἰς τὰς ἐξ ὧν εἰσὶν ἐπαρχίας, εἰ δὲ αὐτόχθονες εἶεν, παραδιδόσθω θᾶττον αὐτοὺς τοῖς τῶν δημοσίων ἔργων τεχνίταις, εἰς ὑπουργίαν τῶν προεστώτων ἀρτοποιϊκῶν ἐργαστηρίων, ἢ τοῖς τοὺς κήπους ἐργαζομένοις ἢ καὶ ἄλλαις διαφόροις τέχναις καὶ ἐργασίαις, ἐν αἷς ἰσχύουσιν ἅμα μὲν ἔργοις προσέχειν ἅμα δὲ ἀποτρέφεσθαι, καὶ τὸν ἀργὸν ἐπὶ τὸν κρείττονα μεταβαλεῖν βίον· εἰ δὲ μήτινες βουληθῶσιν προσεδρεύειν ταῖς ἐργασίαις, αἷς παρεδόθησαν, τούτους ἀπελαυνέτω ἔξω τῆς βασιλίδος πόλεως. φειδόμενοι γὰρ αὐτῶν

---

[2] Nov. 80 c. 2 ex Epan. h. t. c. 2. [3] Nov. 80 c. 3 ex Epan. h. t. c. 3.
[4] Nov. 80 c. 3 ex Epan. h. t. c. 4.

ταῦτα νομοθετοῦμεν, ὅπως ἂν μὴ [ἐκ] τῆς ἀργίας αὐτῶν εἰς ἀτόπους πράξεις συνωθοῦνται καὶ τούτους οἱ νόμοι ἁρπάσουσιν εἰς ποινάς [5].

6. Ὁ κοιαίστωρ τοὺς βεβλαμμένους τὸ σῶμα ἢ τὰς βεβλαμμένας ἢ πολιᾷ βαρεῖς τούτους ἀνενοχλήτους ἐάτω ἐπὶ ταύτης τῆς φιλανθρώπου πόλεως παρὰ τῶν εὐσεβεῖν βουλομένων ἀποτρέφεσθαι [6].

7. Ὁ κοιαίστωρ πάντα, ὅσα μέμψιν λαμβάνει παραποιήσεως ἤτοι τῆς καλουμένης πλαστογραφίας ἐν οἱῳδήποτε πράγματι, ταῦτα ἀναζητείτω, καὶ τοὺς ἐπὶ τούτοις προσαγγελλομένους τιμωρείτω. δίδομεν γὰρ αὐτῷ τῆς τοιαύτης ἐξουσίας καὶ ἀκροάσεως [7].

8. Ὁ κοιαίστωρ μέγιστον πάντων καὶ διηνεκὲς ἐχέτω τὸ σπούδασμα, τὸ καθαραῖς ταῖς χερσὶν ἅπαντα πράττειν καὶ τους ὑπουργοῦντας ἔχειν ἀῤῥύπους, μηδ᾽ αἰσχροῦ λήμματος ἐλάττους. εἰ γάρ τι παρ᾽ αὐτῶν ἔλαττον εὕροι, τούτους κολάζειν, καὶ ἐξ αὐτῶν πρῶτον δεικνύναι τὴν ἑαυτοῦ στεῤῥότητα καὶ σωφροσύνην [8].

9. Τῷ κοιαίστωρι δίδομεν παῤῥησίαν καὶ ἄρχοντας ἐνοχλεῖν καὶ εἰς ἡμᾶς ἀναφέρειν καὶ οἴκοθεν πράττειν τὰ προσήκοντα, ἵνα μήτε ἀσθένειαν μήτε ἄλλο τὶ παντελῶς αἰτιώμενος τῆς ἡμετέρας [ἐπ᾽] αὐτῷ κρίσεως ἔλαττον φανείη [9].

10. Τῷ κοιαίστωρι ἄδειαν δίδομεν δημοσίαις ἐπιστολαῖς χρῆσθαι πρὸς τοὺς τῶν ἐπαρχιῶν ἡγουμένους, ὥστε τοὺς ἐκπεμπομένους παρ᾽ αὐτοῦ εἰς τὰς αὐτῶν χώρας ἀπραγμόνως ἐκεῖσε διαζῆν. καὶ εἴ τινος δέονται βοηθείας νομικῆς, μὴ στερεῖσθαι ταύτης, προνοεῖν δὲ μάλιστα, ὥστε μηδεὶς ἐνοχλείσθω περὶ τούτου καὶ δευτέρων αὐτῷ πραγμάτων παρέχει ἀφορμάς. εἰ γὰρ πάλιν ἐπὶ τῆς εὐδαίμονος ταύτης λάβοι πόλεως ἐμφωλεύοντας μάτην τούτους ἀπαλλαγέντας φάσκοντας, τούτους μετὰ σωφρονισμοῦ πρέποντος αὖθις ἐκπεμπέτω [10].

[5] Nov. 80 c. 4. 5 ex Epan. h. t. c. 5. [6] Nov. 80 c. 5 ex Epan. h. t. c. 6. Nonnulli addunt Nov. 80 c. 6 ex Epan. l. l. [7] Nov. 80 c. 7 ex Epan. h. t. c. 7. [8] Nov 80 c. 8 ex Epan. h. t. c. 8. [9] Nov. 80 c. 9 ex Epan. h. t c. 9. [10] Nov. 80 c. 9 ex Epan. h. t. c. 10.

ΤΙΤΛΟΣ ε'.

Περὶ ἁπλῶς ἀρχόντων.

1. Τὸ τοῦ ἄρχοντος ὄνομα γενικόν ἐστι, καὶ σημαίνει καὶ στρατηγὸν καὶ ἀνθύπατον καὶ πάντας τοὺς τῶν ἐπαρχιῶν διοικητάς, εἰ καὶ συγκλητικοὶ ὦσι. τὸ δὲ ὄνομα τοῦ ἀνθυπάτου ἰδικόν ἐστιν [1].

2. Ὁ ἄρχων κατὰ μόνην τὴν ἰδίαν ἐπαρχίαν τὴν ἐξουσίαν ἔχει μετὰ τὸν βασιλέα [2].

3. Ὁ ἄρχων ἐπίτροπον ἢ δικαστὴν ἰδικὸν ἑαυτὸν οὐ δίδωσιν [3].

4. Ὁ ἄρχων κωλυέτω τὰς ἀθεμίτους καὶ βιαίας εἰσπράξεις, καὶ τὰς κατὰ φόβον ἢ χωρὶς τιμῶν πράσεις, καὶ τὰ ἄδικα κέρδη καὶ ζημιώματα. τὴν ἀλήθειαν δὲ σκοπείτω. τὸ γὰρ ἀληθὲς ἐκ τῶν κατὰ πλάνην γινομένων οὐ βλάπτεται [4].

5. Ὁ ἄρχων ἐκδικείτω τὰ παρὰ τῶν στρατευομένων κατά τινων πλημμελούμενα, καὶ κωλυέτω ἐν προσχήματι δημοσίων εἰσπράξεις ἀθεμίτους γίνεσθαι, ἢ διὰ παρουσίαν ὀφφικίων ἢ στρατιωτῶν ἀδικεῖσθαι τοὺς πένητας. ἐπιτρεπέτω δὲ τὰς θεμιτὰς ἐμπορείας, καὶ κωλυέτω τὰς ἀπηγορευμένας [5].

6. Ὁ ἄρχων ὅσα διαγινώσκουσιν οἱ ἐν τῇ πόλει ἄρχοντες καὶ αὐτὸς ὀφείλει διαγινώσκειν. ἀνήκουσι γὰρ εἰς τὸ ὀφφίκιον αὐτοῦ [6].

7. Ὁ ἄρχων φροντιζέτω τῆς εἰρήνης, ζητῶν τοὺς ἱεροσύλους καὶ ἀνδραποδιστὰς καὶ κλέπτας καὶ ὑποδοχεῖς, καὶ πρὸς τὸ πλημμέλημα ἐπεξιὼν αὐτούς [7].

8. Ὁ ἄρχων τοὺς μαινομένους ἐν τῇ εἱρκτῇ βαλλέτω, εἰ μὴ διὰ τῶν συγγενῶν φυλαχθῆναι δύνανται, ἢ δεσμείτω. εἰ δὲ φονεύουσι, δεῖ ζητεῖν μήποτε προσεποίησαντο μαίνεσθαι ἢ ἐν καιρῷ τῆς ἀνανήψεως καὶ φρονήσεως ἐφόνευσαν, καὶ τιμωροῦνται. δεῖ δὲ καὶ τοῖς φύλαξιν αὐτῶν ἐπεξιέναι ῥαθυμοῦσιν. οὐ γὰρ μόνον διὰ τὸ μὴ αὐτοὺς βλαβῆναι δεῖ φυλάττεσθαι, ἀλλὰ καὶ διὰ τὸ μὴ βλάψαι ἄλλους [8].

---

[1] Dig. I, 18, 1 ex Epan. VI, 1. [2] Dig. cit. 3. 4 ex Epan. h. t. c. 2. 3. [3] Dig. cit. 5 ex Epan. h. t. c. 4. [4] Dig. cit. 6 pr. §. 1 ex Epan. h. t. c. 5. [5] Dig. cit. 6 §. 3. 4. 5 ex Epan. h. t. c. 6. [6] Dig. cit. 10. 11 ex Epan. h. t. c. 7. [7] Dig. cit. 13 pr. ex Epan. h. t. c. 8. [8] Dig. cit. 13 §. 1. 14. ex Epan. h. t. c. 9.

9. Ὁ ἄρχων μὴ ἐξίτω τῆς ἐπαρχίας, εἰ μὴ δι' εὐχὴν καὶ μόνον, καὶ τότε διανυκτερευέτω [9].

10. Ὁ ἄρχων εὐχερὴς ἔστω τοῖς προσιοῦσι καὶ ἀκαταφρόνητος, καὶ μὴ ἐξ ἴσου συναναστρεφέσθω τοῖς ἀρχομένοις, καὶ μὴ δηλούτω τῇ ὄψει ἐλεῶν ἢ ὀργιζόμενος [10].

11. Οἱ ἄρχοντες τοὺς ἐξ οἱουδήποτε δικαστηρίου ἀνερχομένους οὐκ ὀφείλουσι συγχωρεῖν λαμβάνειν καθ' οἱονδήποτε τρόπον οὐδὲ ἐν ὀνόματι συνηθείας, γινώσκοντες, ὡς εἰ τούτου ῥαθυμήσειαν, πᾶσαν ζημίαν τοῖς ἡμετέροις ὑποτελέσι παρ' αὐτῶν ἐπαγομένην αὐτοὶ καταθήσουσι. δίδομεν δὲ αὐτοῖς ἄδειαν καὶ εἰ εὕροιέν τινας διὰ τὴν τῆς ἀξίας ἢ τῆς ζώνης ὑπεροψίαν τοὺς ἡμετέρους ὑποτελεῖς ἀδικοῦντας, ἐξετάζειν τὰ τούτων ἀδικήματα καὶ τοὺς ὑπευθύνους εὑρισκομένους ἀφαιρεῖσθαι τῆς ζώνης. καὶ γὰρ τὴν ἡμετέραν τάξιν ἐν ταῖς ἐπαρχίαις ἔχειν παρέχομεν αὐτοῖς. καὶ ὥσπερ αὐτοὺς παντὸς ἀδίκου κέρδους εἴργομεν, οὕτω καὶ καθαραῖς ταῖς ἀρχαῖς κεχρημένους πάσης τιμῆς καὶ σεμνότητος ἀπολαβεῖν θεσπίζομεν [11].

12. Τοὺς ἄρχοντας τοὺς ἡμετέρους θεσπίζομεν παρόντος τοῦ τῆς πόλεως ἡμῶν ἐπάρχου καὶ τοῦ ἐνδοξοτάτου κόμητος τῶν θείων ἡμῶν λαργητιόνων, τοῦ ἐνδοξοτάτου κοιαίστωρος, τοῦ ἐνδοξοτάτου κόμητος τοῦ εἰδικοῦ ἡμῶν, παρόντος δὲ καὶ τοῦ κατὰ καιρὸν μεγαλοπρεπεστάτου χαρτουλαρίου τοῦ θείου κοιτῶνος, ἰδιόχειρον ποιεῖν, μηδὲν παντελῶς τινι παρασχεῖν μήτε ὑποσχέσθαι δοῦναι, μήτε προστασίαν ἐπαγγέλλεσθαι, μήτε ἐκ τῆς ἐπαρχίας ὁμολογῆσαι στέλλειν τοῖς εἰρημένοις ἢ τοῖς περὶ αὐτοὺς οὖσιν, ἀλλ' ὥσπερ ἄμισθον λαμβάνει τὴν ἀρχὴν, προσλαμβάνει τε παρὰ τοῦ δημοσίου τὰς σιτήσεις, ἃς δὴ τούτους μόνας λαμβάνειν ἀφίεμεν. ἴστωσαν δὲ, ὡς οἵτινες θαῤῥήσειαν λαβεῖν τι παρὰ τῶν εἰς τὰς εἰρημένας ἀρχὰς παριόντων, περαιτέρω τῶν προφάσει συνηθειῶν παρ' ἡμῖν αὐτοῖς ὡρισμένων, ὡς οὐκ ἐν μικροῖς ἡ ποινὴ γενήσεται. ἀλλ' οἱ μὲν μέγιστοι ἄρχοντες, οἱ λαβεῖν τι θαῤῥήσαντες παρὰ τῶν εἰς τὰς ἀρχὰς πεμπομένων περαιτέρω τῶν προφάσει συνηθειῶν, οὐ μόνον τετραπλάσιον ἀποδώσουσι πᾶν ὅσον εἰλήφασιν, ἀλλὰ καὶ μεγάλην ἀγανάκτησιν ὑποστήσονται, καὶ τὸν ἐπὶ τῇ ἀρχῇ κίνδυνον εὐλαβηθήσονται. ἀλλὰ καὶ ἡ πειθομένη τάξις αὐτοῖς, εἰ πλεῖον τῶν εἰρημένων συνηθειῶν ἐπιχειρήσῃ λαβεῖν, αὐτοί

---

[9] Dig. cit. §. 15 ex Epan. h. t. c. 10. [10] Dig. cit. §. 19 ex Epan. h. t. c. 11. [11] Nov. 8 c. 6 ex Epan. VII, 1.

τε ὑποκείσονται τοῖς ἐζημιωμένοις καὶ εἰς τὸ τετραπλάσιον ἀποδώσουσιν, ἐκπεσοῦνται δὲ καὶ ζώνης καὶ οὐσίας πρὸς τὸ καὶ τιμωρίαις ὑποβληθήσεσθαι πρεπούσαις [12].

13. *Οἱ ἄτιμοι καὶ αἰσχροὶ οὐ δύνανται εἶναι συγκλητικοί* [13].

14. *Τοὺς ἄρχοντας τοὺς ἀμίσθως παραλαμβάνοντας τὰς ἀρχὰς κελεύομεν πρῶτον σπούδασμα ἔχειν τοῖς δημοσίοις ἀγρύπνως προσέχειν, καὶ τοὺς μὲν ἀγνωμονοῦντας καὶ ἀμελοῦντας ἐν τοῖς ἀναγκαίοις μετὰ πάσης εἰσπράττειν τῆς σφοδρότητος, τοῖς δὲ εὐγνώμοσι πατρικῶς προσφέρεσθαι* [14].

15. *Τοὺς ἄρχοντας κελεύομεν τοὺς ἡμετέρους ὑπηκόους φυλάττειν πανταχόθεν ἀνεπηρεάστους, οὐδ' ὁτιοῦν παρ' οὐδενὸς αὐτῶν κομιζομένους. ἴσοι δὲ ἐν ταῖς δημοσίαις στάσεσιν ἔστωσαν, ἐπεξιόντες τοῖς ἁμαρτήμασι, καὶ τοὺς μὲν ἀνευθύνους πανταχόθεν φυλάττοντες καθαρούς, τοῖς δὲ ὑπευθύνοις ἐπιτιθέντες τὴν κατὰ νόμους ποινήν· καὶ οὕτως οἱ ἄρχοντες ὑπηκόων ὡσανεὶ πατέρες καὶ υἱοὶ ἔστωσαν, ἀγαπῶντες μὲν αὐτοὺς ἀνευθύνους ὄντας, ὑπευθύνους δὲ φαινομένους σωφρονίζοντες. εἰ δέ τις παρὰ ταῦτα πράξειεν, ἴστω ὅτι καὶ δήμευσιν καὶ ἐξορίαν ὑποστήσεται, καὶ τὴν εἰς τὸ σῶμα βάσανον καὶ τιμωρίαν. καθαρὰς γὰρ ἀπαιτοῦμεν εἶναι τῶν ἀρχόντων τὰς χεῖρας, ἵνα τοὺς ἀρχομένους ἀζημίους φυλάξωμεν* [15].

16. *Κελεύομεν τοῖς ἐπαρχιώταις τουτέστι τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ καὶ τοῖς ἐν τῇ χώρᾳ πρωτεύουσιν, εἴ τι κατὰ τῆς ἐπαρχίας ἄδικον ὁ τῆς χώρας ἄρχων διαπράξηται, δεήσεις ποιεῖσθαι καὶ εἰς ἡμᾶς καταλέγοντα ἀναπέμπειν τοῦ τὴν ἀρχὴν ἔχοντος τὰ πλημμελήματα. ἡμεῖς γὰρ ταῦτα μανθάνοντες στείλωμεν τὰ τοιαῦτα ἐξετάσοντας. ἐφ' ᾧ τόπῳ ἠδίκησε τὰς ποινὰς ὑποσχεῖν τῶν πλημμελημάτων, ὡς μηδὲ ἕτερόν τινα τοιοῦτον πρᾶξαι θαῤῥήσειν τὸ παράδειγμα βλέποντα* [16].

17. *Κελεύομεν τοὺς τῶν ἐπαρχιῶν ἄρχοντας μετὰ τὸ ἀποθέσθαι τὴν ἀρχὴν πεντήκοντα ἡμέραις ἐν ταῖς ἐπαρχίαις διατρίβειν καὶ τοῖς ἐνάγειν αὐτὸν βουλομένοις ἀποκρίνεσθαι. εἰ δὲ συμβῇ τινα ἐξ αὐτῶν πρὸ τοῦ πληρῶσαι τὰς πεντήκοντα ἡμέρας καταλιπεῖν τὴν χώραν, κελεύομεν πάντας τοὺς παρ' αὐτοῦ ζημίας τινὰς ὑπομείναντας συνιέναι παρὰ τῷ ὁσιωτάτῳ ἐπισκόπῳ τῆς αὐτῶν πόλεως ἢ ἐπαρχίας, καὶ ἐπὶ πράξεως ὑπομνημάτων ἕνα*

---

[12] Nov. 8 c. 7 ex Epan. eod. 2. [13] Cod. XII, 1, 2. Basil. VI, 1, 19. [14] Nov. 8 c. 8 ex Epan. eod. 3. [15] Nov. cit. ex Epan. eod. 4. [16] Nov. cit. ex Epan. eod. 5.

ἕκαστον αὐτῶν, ἁπτόμενον τῶν ἁγίων εὐαγγελίων, φανεροῦν τὰς ἐπαχθείσας αὐτοῖς ζημίας, καὶ ἐκ τῆς ἐκείνου περιουσίας, καθ' οὗ τὰ τοιαῦτα συνέστη ὑπομνήματα, πᾶσαν ζημίαν τοῖς βλαβεῖσιν ἀποκαθίστασθαι. εἰ δέ τις τῶν ἀρχόντων μετακληθῇ εἰς ἄλλην ἀρχὴν, κελεύομεν αὐτὸν νόμιμον ἐντολέα προβαλλόμενον τοῖς τὰς ἀγωγὰς προτιθεῖσιν ἀποκρίνεσθαι. ὅπερ εἰ μὴ πράξοι, θεσπίζομεν μεθ' ὅρκου τοὺς ἀδικηθέντας βεβαιοῦν, καὶ πᾶσαν ζημίαν παρὰ τοῦ ἄρχοντος δίδοσθαι· μηδενὸς χρόνου διδομένου παραγράφεσθαι τῶν ἀδικημάτων τὴν εἴσπραξιν, ἐφ' ὅσον ἂν ὁ ἄρχων τὴν ἀρχὴν διέπειν παρεκεχώρητο [17].

18. Κελεύομεν πάντας τοὺς ἄρχοντας, τοῦτο μὲν στρατιωτικοὺς, τοῦτο δὲ καὶ πολιτικοὺς, δι' ἑαυτῶν ἀναζητεῖν τὰς λῃστείας ἢ βίας ἢ ἁρπαγὰς πραγμάτων ἢ γυναικῶν ἢ ἄλλα οἱαδήποτε ἀτοπήματα ἐν ταῖς ἐπαρχίαις πλημμελούμενα, καὶ τούτοις τιμωρίας νομίμους ἐπάγειν, καὶ μηδὲ ὑπὲρ τούτων τῶν αἰτιῶν κομίζεσθαί τι συνηθειῶν ὀνόματι, ὥστε πανταχόθεν τοὺς ἡμετέρους ὑποτελεῖς ἀβλαβεῖς φυλάττεσθαι. εἰ δέ τις τοῦτο μὴ φυλάξει, μὴ μόνον τῆς καταπιστευθείσης αὐτῷ ἀρχῆς γυμνοῦσθαι, ἀλλὰ καὶ ῑ χρυσίου λίτρας καταβαλεῖν [18].

19. Κελεύομεν μηδενὶ τῶν ἀρχόντων ἐξεῖναι χωρὶς ἀναγκαίας χρείας ἀποδημίας ποιεῖσθαι ἢ τὰς λεγομένας γύρας. εἰ δέ τις ἀνάγκη καλέσοι τοιοῦτόν τι γίνεσθαι, δαπανήμασιν οἰκείοις τοῦτο ποιεῖν, αὐτοί τε καὶ αἱ σὺν αὐτοῖς τάξεις. μήτε δὲ ἀγγαρείαις ἢ τοῖς λαλουμένοις ἐπιδημητικοῖς ἢ ἑτέρᾳ οἱᾳδηποτοῦν ζημίᾳ βαρύνειν τοὺς πένητας, μήτε δὲ συνηθείας ὀνομάζειν ἢ ζητεῖν ἃς τυχόν τινες τῶν προηγησαμένων εἰς οἰκεῖον κέρδος ἐπενόησαν. τὰ γὰρ κακῶς ἐπινοηθέντα οὐδὲ μακρᾷ συνηθείᾳ βεβαιοῦσθαι βουλόμεθα [19].

20. Οἱ ἄρχοντες τὰς ἰδίας ἀποφάσεις ἀνατρέπειν οὐ δύνανται [20].

21. Τὸν ἀδικοῦντα οὐ προνόμιον, οὐ τύπος, οὐ δυναστεία τῆς τοῦ ἄρχοντος ἐξαιρεῖται χειρὸς, εἰ μὴ θεῖος πραγματικὸς τύπος [21].

---

[17] Nov. 128 c. 23. 24 ex Epan. eod. 6. [18] Nov. 128 c. 21 ex Epan. eod. 7. [19] Nov. 134 c. 1 ex Epan. eod. 8. [20] Basil. LX, 51, 25. [21] Athanas. π. διαφ. ἀναγνωσμ. §. 5 ex Nov. 69.

ΤΙΤΛΟΣ ϛʹ.

Περὶ ἐπισκόπου καὶ χειροτονίας καὶ προβολῆς.

1. Ἐπίσκοπός ἐστιν ἐπιτηρητὴς καὶ ἐπιμελητὴς πασῶν τῶν ἐκκλησιαζομένων ψυχῶν τῶν ἐν τῇ αὐτοῦ ἐπαρχίᾳ, δύναμιν ἔχων τελετικὴν πρεσβυτέρου, διακόνου, ἀναγνώστου, ψάλτου καὶ μοναχοῦ [1].

2. Ἴδιόν ἐστιν ἐπισκόπου, τοῖς μὲν ταπεινοῖς συγκατέρχεσθαι, καταφρονεῖν δὲ τῶν ἐπαιρομένων. καὶ πρὸς ταπείνωσιν ἔργῳ καὶ λόγῳ τῶν ὑπερηφάνων τὸ φρόνημα καθέλκειν, καὶ προκινδυνεύειν τοῦ ποιμνίου, καὶ τὴν ἐκείνου στενοχωρίαν οἰκείαν ὀδύνην ποιεῖσθαι [2].

3. Κελεύομεν, εἰ μέλλει ἐπίσκοπος χειροτονεῖσθαι, συνεληλυθέναι τοὺς κληρικοὺς καὶ τοὺς πρώτους τῆς πόλεως, καὶ ἐπὶ τρισὶ προσώποις ψηφίσματα ποιεῖν, καὶ ἕκαστον αὐτῶν χειρογραφεῖν, ὅτι οὔτε διὰ δόσιν ἢ ὑπόσχεσιν ἢ φιλίαν ἢ χάριν ἢ ἄλλην οἱανδήποτε προσπάθειαν, ἀλλ' εἰδότας αὐτοὺς τῆς ὀρθῆς καὶ καθολικῆς πίστεως καὶ σεμνοῦ βίου καὶ ὑπὲρ τὸ τριακοστὸν ἔτος τούτους εἶναι ἐπελέξαντο, καὶ ὅτι οὐ γαμετὴν ἢ παῖδας ἴσασί τινας ἐξ αὐτῶν ἢ ἔχειν ἢ παλλακὴν ἢ παῖδας φυσικούς, ἀλλ' εἰ καὶ πρότερόν τις ἐξ αὐτῶν γαμετὴν εἶχε, καὶ αὐτὴν μίαν καὶ οὐδὲ χήραν οὐδὲ ἀνδρὸς ἀποζευχθεῖσαν οὐδὲ τοῖς ἱεροῖς κανόσιν ἀπηγορευμένην. καὶ ἐκ τῶν τριῶν προσώπων ὁ βελτίων χειροτονείσθω ἐπιλογῇ καὶ κρίματι τοῦ χειροτονοῦντος, λιβέλλου παρ' αὐτοῦ γινομένου μεθ' ὑπογραφῆς ἰδίας περιέχοντος τὰ περὶ τῆς ὀρθῆς πίστεως αὐτοῦ. ἀπαγγέλλειν δὲ τοῦτον καὶ τὴν θείαν προκομιδὴν τὴν ἐπὶ τῇ ἁγίᾳ κοινωνίᾳ γινομένην καὶ τὴν ἐπὶ τῷ ἁγίῳ βαπτίσματι εὐχὴν καὶ τὰς λοιπὰς εὐχάς. ἰδιόχειρον δὲ αὐτὸν ὑπέχειν, ὡς οὔτε διὰ δόσιν ἢ ὑπόσχεσιν προβέβληται, ἢ μετὰ ταῦτα δώσει ἢ αὐτῷ τῷ χειροτονοῦντι αὐτὸν ἢ τοῖς τὰ ψηφίσματα ποιησαμένοις ἢ ἑτέρῳ τινὶ ὑπὲρ τῆς εἰς αὐτὸν γινομένης χειροτονίας [3].

4. Κελεύομεν τοὺς ψηφιζομένους, εἴ τινα κοσμικὸν ἄξιον τῆς προειρημένης ἐπιλογῆς εἶναι νομίσαιεν, τὸν τοιοῦτον ἅμα ἄλλοις τρισὶ κληρικοῖς ἢ μοναχοῖς ἐπιλέξασθαι, οὕτω μέντοι

---

[1] Epan. VIII, 1. [2] Epan. h. t. c. 2. [3] Nov. 123 c. 1 pr. ex Epan. h. t. 3.

ἵνα ὁ κοσμικὸς τούτῳ τῷ τρόπῳ εἰς ἐπισκοπὴν ἐπιλεγεὶς μὴ ἐπίσκοπος χειροτονηθῇ, ἀλλὰ πρῶτον τοῖς κληρικοῖς οὐκ ἔλαττον τριῶν μηνῶν συναριθμηθῇ, καὶ οὕτω τοὺς ἁγίους κανόνας καὶ τὴν ἱερὰν λειτουργίαν διδαχθεὶς ἐπίσκοπος χειροτονηθῇ. ὁ γὰρ ἄλλους ὀφείλων διδάσκειν παρ᾽ ἑτέρων μετὰ τὴν χειροτονίαν διδάσκεσθαι οὐκ ὀφείλει. εἰ μέντοιγε ἤδη διδακτικός ἐστι καὶ ἐν τῷ λαϊκῷ ἀριθμούμενος τάγματι οὐδὲν ἐλλείπων, τὸν τοιοῦτον μὴ παρατηρεῖσθαι χρόνον. ἡ πεῖρα γὰρ οὐ παρέσχε κίνδυνον [4].

5. Ἐὰν κατηγορηθῇ ὁ μέλλων χειροτονεῖσθαι ὡς ἀνεπιτήδειος, ἀναβαλλέσθω τέως ἡ χειροτονία, καὶ προβαινέτω ἡ ἐξέτασις παρόντος τοῦ ἀντιδίκου ἢ ἀπόντος ἐντὸς τριῶν μηνῶν, καὶ κωλυέσθω ἡ χειροτονία. καὶ εἰ εὑρεθῇ ὁ χειροτονούμενος ὑπαίτιος κατὰ νόμους ἢ κατὰ κανόνας, κωλυέσθω. εἰ δὲ ἀνεύθυνος εὑρεθῇ, χειροτονείσθω. εἰ δὲ χειροτονηθῇ παρὰ τὰ εἰρημένα, καὶ αὐτὸς καὶ ὁ χειροτονῶν αὐτὸν τῆς ἐκκλησίας ἐκβάλλονται. ἐὰν δὲ ὁ κατήγορος παρὼν μὴ ἀποδείξῃ ἃ διεβεβαιώσατο, ἢ ἀπολειφθῇ, εἰ μὲν κληρικός ἐστι, τῆς ἐκκλησίας ἐκβάλλεται· εἰ δὲ λαϊκὸς, δεόντως σωφρονίζεται [5].

6. Ὁ χειροτονῶν ἐπίσκοπον εἰς ἐπήκοον παντὸς τοῦ λαοῦ προσαγέτω αὐτὸν, ὡς μαθεῖν αὐτὸν πάντα καὶ κανονικῶς πολιτεύεσθαι, καὶ οὕτως χειροτονείσθω [6].

7. Εἴ τις τῶν ἐπισκόπων εἴτε πρὸ τῆς χειροτονίας ἢ καὶ μετὰ τὴν χειροτονίαν βουληθῇ τὰ ἴδια πράγματα ἢ μέρος ἐξ αὐτῶν προσαγαγεῖν τῇ ἐκκλησίᾳ ἧς τὴν ἱερωσύνην λαμβάνει, οὐ μόνον οὐ κωλύομεν, καὶ πάσης καταδίκης καὶ ποινῆς τοῦ παρόντος νόμου εἶναι ἐλεύθερον θεσπίζομεν, ἀλλὰ καὶ παντὸς ἄξιον κρίνομεν, ἐπειδὴ τοῦτο οὐκ ἔστιν ἀγορασία, ἀλλὰ προσφορά [7].

8. Πρεσβύτερος χειροτονείσθω μὴ ἧττων τῶν λ̄ χρόνων, ἐν παρθενίᾳ μεμαρτυρημένος, ἢ μιᾶς γυναικὸς ἀνὴρ ὢν ἢ γεγονὼς καὶ ταύτης σεμνοτάτης, καὶ τῶν ἄλλων ἀπηγορευμένων ἔργων ἠλευθερωμένος, καὶ τῇ κανονικῇ ἀδωροδοκήτῳ μαρτυρίᾳ κατησφαλισμένος [8].

9. Διάκονος ὀφείλει χειροτονεῖσθαι μὴ ἧττων τῶν κ̄ε̄ χρόνων, καὶ αὐτὸς ἐν παρθενίᾳ μεμαρτυρημένος ἢ μιᾶς γυναικὸς

---

[4] Nov. 123 c. 1 §. 2 ex Epan. h. t. c. 4. [5] Theodori Brev. Nov. 137 ex Epan. h. t. c. 5. [6] Athan. I, 1 (Nov. 6). [7] Nov. 123 c. 3 ex Epan. h. t. c. 6. [8] Epan. h. t. c. 7.

ἀνὴρ ὢν ἢ γεγονὼς καὶ ταύτης σεμνοτάτης, καὶ τῶν ἄλλων ἀπηγορευμένων ἔργων ἠλευθερωμένος, καὶ τῇ κανονικῇ ἀδωροδοκήτῳ μαρτυρίᾳ κατησφαλισμένος [9].

10. Ὑποδιάκονος χειροτονείσθω μὴ ἥττων τῶν κ̄ χρόνων κατὰ τὰς προειρημένας διατυπώσεις. ἀπαγορεύομεν δὲ τοῦ λοιποῦ ὑπὸ ὅρον χειροτονεῖσθαι πρὸ τοῦ γάμου, ἢ μετὰ τὴν χειροτονίαν εἰς γάμον ἔρχεσθαι, ἀλλ' ὅτε χειροτονεῖται [10].

11. Ἀναγνώστης χειροτονείσθω ἀφ' ὅτου οὖν χρόνου δύναται ἀναγινώσκειν [11].

12. Ψάλτης χειροτονείσθω ἀφ' ὅτου οὖν δύναται ψάλλειν [12].

13. Ἐὰν ἀναγνώστης δευτέραν γαμετὴν ἀγάγηται, ἢ πρώτην, χήραν δὲ ἢ διαζευχθεῖσαν ἀνδρὸς ἢ τοῖς νόμοις ἢ τοῖς ἱεροῖς κανόσιν ἀπηγορευμένην, μηκέτι εἰς ἄλλον ἐκκλησιαστικὸν προβαινέτω βαθμόν [13].

14. Εἴ τις κληρικὸς οἱουδήποτε βαθμοῦ ἢ διοικητὴς εὐαγοῦς τόπου ἢ πρὸ τῆς χειροτονίας ἢ τῆς πιστευθείσης αὐτῷ οἱασδήποτε διοικήσεως ἢ φροντίδος ἢ μετὰ ταῦτα βουληθῇ τι τῶν ἰδίων πραγμάτων προσαγαγεῖν τῇ ἐκκλησίᾳ, ἐν ᾗ χειροτονεῖται, ἢ τόπῳ οὗτινος τὴν διοίκησιν ἢ τὴν φροντίδα ἀναδέχεται, οὐ μόνον οὐ κωλύεται τοῦτο γίνεσθαι, ἀλλὰ καὶ ἐπιτρέπομεν [14].

15. Θεσπίζομεν, ἐὰν ἐπίσκοπος μεσιτευόντων τινῶν ἐν χρυσίου καταβολῇ χειροτονηθῇ, καὶ τὸν διδόντα καὶ τὸν λαμβάνοντα καὶ τὸν μεσιτεύοντα τῆς ἱερωσύνης ἢ τοῦ κλήρου τιμῆς κατὰ τοὺς ἱεροὺς κανόνας ἀποκινεῖσθαι. τὸν δὲ ὑπὲρ ταύτης τῆς αἰτίας τὶ λαβόντα ἢ μέσον τῷ πράγματι γενόμενον τὰ δοθέντα πράγματα ἐν διπλῷ ἀπαιτεῖσθαι κελεύομεν [15].

ΤΙΤΛΟΣ ζ'.

Περὶ ἐπισκόπων καὶ μοναχῶν.

1. Ἐπίσκοπον ἢ οἰκονόμον ἢ ἄλλον κληρικὸν οἱουδήποτε βαθμοῦ ἢ μοναστηρίου ἐκλήπτορα ἢ ἀπαιτητὴν δημοσίων συντελειῶν ἢ μισθωτὴν τελῶν ἢ ἀλλοτρίων κτήσεων κουράτορα ἢ οἴκου ἢ ἐντολέα δίκης ἢ ἐγγυητὴν γίνεσθαι οὐ συγχωροῦμεν [1].

---

[9] Epan. h. t. c. 8. [10] Epan. h. t. c. 9. [11] Epan. h. t. c. 10. [12] Epan. h. t. c. 11. [13] Nov. 123 c. 14 ex Epan. h. t. c. 12. [14] Nov. 123 c. 16 ex Epan. h. t. c. 14. [15] Nov. 123 c. 2 §. 1 ex Epan. h. t. c. 15.
[1] Nov. 123 c. 6 ex Epan. IX, 3.

2. Τοὺς θεοφιλεστάτους ἐπισκόπους τὰς οἰκείας καταλιμπάνειν ἐκκλησίας καὶ εἰς ἄλλας ἐπαρχίας παραγίνεσθαι ἀπαγορεύομεν. εἰ δὲ ἀνάγκη τὶς ἀπαιτεῖ, μὴ ἄλλως ἢ μετὰ γραμμάτων τοῦ πατριάρχου ἢ μητροπολίτου τούτων ἢ κατὰ βασιλικὴν δηλαδὴ κέλευσιν ταῦτα ποιείτωσαν· οὕτω μέντοιγε, ἵνα μηδὲ ἐκείνοις τοῖς ἐπισκόποις, οἵτινες ὑπὸ τὸν πατριάρχην εἰσὶν, ἐξεῖναι δίχα ἐπιτροπῆς αὐτοῦ ἐν τῇ βασιλευούσῃ ἐλθεῖν. εἰ δέ τις κατὰ τὸν τρόπον τοῦτον ἀποδημήσῃ, μὴ πλέον ἑνὸς ἐνιαυτοῦ τὴν αὐτοῦ καταλιμπανέτω ἐκκλησίαν. τοὺς δὲ ἐπισκόπους κατὰ τὴν βασιλίδα πόλιν παραγενομένους πρὸ πάντων ἀπιέναι τῷ πατριάρχῃ, καὶ δι' αὐτοῦ πρὸς τὴν ἡμετέραν εἰσιέναι γαληνότητα. τοῖς δὲ παρὰ ταύτην ἡμῶν τὴν διατύπωσιν ἀποδημοῦσιν ἢ ὑπὲρ τὸν ὡρισμένον τοῦ ἐνιαυτοῦ χρόνον ἔξω τῆς ἰδίας ἐκκλησίας ποιοῦσι, πρῶτα μὲν μὴ χορηγεῖσθαι παρὰ τῶν οἰκονόμων τὴν ἰδίας ἐκκλησίας δαπάνας, ἔπειτα δὲ ὑπομιμνήσκεσθαι αὐτοὺς διὰ γραμμάτων τῶν ἱερέων, ὑφ' οὓς τελοῦσιν, ὥστε ἐπανελθεῖν εἰς τὰς ἰδίας ἐκκλησίας, καὶ εἰ μὴ ἐντὸς τοῦ χρόνου ὑποστρέψουσι, τῆς ἐπισκοπῆς ἐξωθοῦνται ἀντ' αὐτῶν ἀμείνους χειροτονοῦντες. τούτου καὶ ἐπὶ τῶν κληρικῶν κρατοῦντος [2].

3. Τοῖς ἐπισκόποις καὶ πρεσβυτέροις ἀπαγορεύομεν μὴ χωρίζειν τινὰ ἐπὶ τῆς ἁγίας κοινωνίας, πρὶν ἡ αἰτία δειχθῇ, δι' ἣν οἱ ἐκκλησιαστικοὶ κανόνες τοῦτο κελεύουσιν. εἰ δέ τις παρὰ ταῦτα τῆς ἁγίας κοινωνίας τινὰ χωρίσῃ, ἐκεῖνος μὲν ὡς ἀδίκως χωρισθεὶς λυόμενος ὑπὸ τοῦ μείζονος ἱερέως τῆς ἁγίας ἀξιούσθω κοινωνίας, ὁ δὲ χωρίσαι τολμήσας χωρισθήσεται τῆς κοινωνίας ἐφ' ὅσον χρόνον ὁ ἀρχιερεὺς ἴδοι, ἵνα ὅπερ ἀδίκως ἐποίησε, δικαίως ὑποστήσεται [3].

4. Οἱ ἐπίσκοποι καὶ οἱ οἰκήτορες τὰς ἀδικίας τῶν ἀρχόντων μηνυέτωσαν τῷ βασιλεῖ [4].

5. Θεσπίζομεν τοὺς κληρικοὺς τοὺς ὑφ' ἑτέρᾳ ἐνορίᾳ τεταγμένους μηδαμῶς παραγνώμην τοῦ οἰκείου ἐπισκόπου ἢ μητροπολίτου εἰς ἑτέραν ἐνορίαν μεταπίπτοντας ἐν ἐκκλησίᾳ καταλέγεσθαι. ἐκ γὰρ τοῦ μὴ τὰ τοιαῦτα παραφυλάττεσθαι πολλῆς ἀταξίας καὶ πλάνης οὐκ ὀλίγαι τῶν ἐκκλησιῶν ἐπληρώθησαν. εἰ δέ τις φωραθείη τὴν παροῦσαν διάταξιν ἀθετῶν, εἰ μὲν τὴν οἰκείαν ἐνορίαν ἀπολιπὼν ἐν ἑτέρᾳ ἐκκλησίᾳ μόνον κα-

---

[2] Nov. 123 c. 9 ex Epan. h. t. c. 4. [3] Nov. 123 c. 11 ex Epan. h. t. c. 5. [4] Athanas. IV, 1 (Nov. 8).

ταλεγῇ μηδένα βαθμὸν χειροτονίας προσλαβὼν, ἐπαναστρέφεσθαι εἰς τὸν οἰκεῖον ἐπίσκοπον, τῆς ἐκκλησίας ἧς ἦν ἐλαυνόμενος. εἰ δὲ καὶ χειροτονίαν προσείληφε, τοῦτον ἐπὶ τριετίᾳ τῆς λειτουργίας ἀργοῦντα τὸ λοιπὸν ἐπὶ τῇ κρίσει τοῦ οἰκείου ἐπισκόπου τὴν αὐτοῦ συγγνώμην καταλιμπάνεσθαι [5].

6. Τὰς κανονικὰς ζητήσεις ὁ ἐπίσκοπος ἅμα τῷ ἄρχοντι τῆς πόλεως κρινέτω [6].

7. Ἐὰν μοναχὸς καταλείψῃ τὸ ἴδιον μοναστήριον καὶ εἰς ἄλλο εἰσέλθῃ, εἴ τινα πράγματα ἐν τῷ καιρῷ, καθ' ὃν τὸ μοναστήριον καταλέλοιπεν, ἔχειν φανείη, τῷ πρώτῳ μοναστηρίῳ, ἐν ᾧ ἐξ ἀρχῆς εἰσῆλθε, ταῦτα διαφέρειν κελεύομεν [7].

8. Ὁ μονάζων ἐν μοναστηρίῳ κατὰ τὴν ἀκρίβειαν δηλονότι τῶν κανόνων, οὗτος κἂν εἰς ἕτερον μοναστήριον μετατεθῇ, γνώμῃ δηλονότι τοῦ παραδιδόντος καὶ τοῦ παραλαμβάνοντος ἡγουμένου, οὐ συμμετατίθησι καὶ τὴν ὑπόστασιν αὐτοῦ, ἣν τῷ προτέρῳ μοναστηρίῳ δέδωκεν ἅπαξ εἴτε σιωπηρῶς, μηδὲ ἐν τῷ εἰσιέναι εἰς τὸ μοναστήριον περὶ τῶν κατ' αὐτὸν διαταξάμενος, εἴτε κατὰ διαθήκας εἴτε διὰ συμφώνου τῷ ἐσχάτῳ τὸ σύνολον διδούς [8].

9. Τοὺς οἰκονόμους καὶ ξενοδόχους καὶ νοσοκόμους καὶ πτωχοτρόφους, ἀλλὰ καὶ τοὺς ἄλλους ἅπαντας κληρικοὺς κελεύομεν, ὑπὲρ τῶν ἐμπιστευθεισῶν αὐτοῖς διοικήσεων παρὰ τῷ ἰδίῳ ἐπισκόπῳ ᾧ ὑπόκεινται ἀποκρίνεσθαι, καὶ τοὺς λογισμοὺς τῆς ἰδίας διοικήσεως πληροῦσθαι καὶ εἰσπράττεσθαι διοριζόμεθα [9].

10. Ὅτι ὁσάκις αν τις ἐκ τοῦ κληρικοῦ σχήματος ἢ τοῦ μονάζοντος πρὸς τὸν λαϊκὸν ἀπονεύσῃ, τοῦτον καὶ ἄκοντα ὁ κατὰ τόπον ἐπίσκοπος ἀποκαθίστησιν εἰς ὃ διέπρεπε σχῆμα [10].

11. Μὴ συνειδότος τοῦ δεσπότου κληρῶν ἑαυτὸν ὁ οἰκέτης, εἰς τὴν δουλικὴν ἀποκαθίσταται τύχην, μηδὲν ἐκ τούτων ὠφελούμενος [11].

12. Ὁ ἀποδρὰς οἰκέτης καὶ τὸ μονῆρες περιβαλλόμενος σχῆμα, ἐν ᾧ ἂν καιρῷ κατάφορος γένηται, τῷ δεσπότῃ παραδίδοται γυμνούμενος τοῦ σχήματος ᾧ περιεβάλλετο [12].

13. Τοὺς κληρικοὺς καὶ μονάζοντας τῆς ἐπὶ διοικήσει διατάξεως τῶν τελευτώντων τὴν ἐπιτροπὴν ἀναδέχεσθαι. τῆς μέν-

---

[5] Epan. h. t. c. 6. [6] Athan. IV, 3 (Nov. 17). [7] Nov. 123 c. 42 ex Epan. h. t. c. 11. [8] Epan. h. t. schol. c. [9] Nov. 123 c. 23 ex Epan. h. t. c. 19. [10] Nov. Leonis 7. [11] Nov. Leonis 9. [12] Nov. Leonis 10.

τοιγε ἐπιστασίας ὀρφανῶν καὶ ἄλλης οἰκονομίας τὰ τοιαῦτα πρόσωπα κωλύεσθαι διοριζόμεθα [13].

14. Εἴ τις τῶν θείων μυστηρίων ἢ τῶν ἄλλων λειτουργιῶν ἐπιτελουμένων ἐν ἁγίᾳ καὶ καθολικῇ ἐκκλησίᾳ ἢ εὐκτηρίῳ εἰσελθὼν ἢ τῷ ἐπισκόπῳ ἢ τοῖς κληρικοῖς ἢ τοῖς ἄλλοις ὑπηρέταις τῆς ἐκκλησίας ὕβρεώς τι ἐπαγάγῃ, κελεύομεν τοῦτον βασάνους ὑπομεῖναι καὶ εἰς ἐξορίαν διηνεκῆ πεμφθῆναι. εἰ δὲ καὶ αὐτὰ τὰ θεῖα μυστήρια καὶ τὰς θείας λειτουργίας ταράξοι ἢ ἐπιτελεῖσθαι κωλύσοι, ὁ τοιοῦτος κεφαλικῇ ὑποβληθήσεται τιμωρίᾳ. τούτου αὐτοῦ καὶ ἐπὶ λιταῖς ἐν αἷς ἐπίσκοποι ἢ κληρικοὶ εὑρίσκονται φυλαττομένου, ἵνα εἰ μὲν ὕβριν τὶς μόνην ποιήσῃ, βασάνοις ὡς εἴρηται καὶ ἐξορίᾳ παραδοθῇ, εἰ δὲ καὶ τὴν λιτὴν διασκεδάσει, κεφαλικὸν κίνδυνον ὑπομένῃ [14].

15. Εἰ ἀγνοεῖ τὴν τύχην μέλλοντος μονάζειν, ὁ ἡγούμενος μὴ παρεχέτω τὸ σχῆμα πρὸ τριετίας. μετὰ δὲ τὴν τριετίαν, κἂν δοῦλός ἐστι κἂν ἐναπόγραφος, παρεχέτω. καὶ εἰ μὲν δοῦλος ἀναφανῇ, ἀποδιδότω τῷ δεσπότῃ αὐτοῦ ὅσα πράγματα τῇ μονῇ προσήγαγεν, αὐτὸν δὲ ἐν τῇ μονῇ εἶναι. εἰ δὲ μετὰ ταῦτα κοσμικὸν ὡς πλανήτης ἕληται βίον, τῇ δουλικῇ τύχῃ διδότω [15].

16. Ὁ εἰς μοναστήριον εἰσιὼν καὶ αὖθις εἰς ἕτερον ἀπ᾿ αὐτοῦ ἀπιέναι βουληθεὶς, τοῦτο γνώμῃ τῶν ἑκατέρων μονῶν ἡγουμένων ποιείτω, μὴ μετατιθεὶς τὴν περιουσίαν αὐτοῦ ἀπὸ τοῦ προτέρου, ᾧ ἤγαγε φανερῶς εἴτε σιωπηρῶς, μηδὲν ἐν τῷ εἰσιέναι εἰς τὸ μοναστήριον περὶ τῶν κατ᾿ αὐτὸν διαταξάμενος εἴτε κατὰ διαθήκης εἴτε διὰ συμφώνου τῷ ἐσχάτῳ διδούς [16].

17. Οἱ τῷ κλήρῳ κατειλεγμένοι καὶ τῷ μοναχικῷ σχήματι τελειωθέντες οὔτε στρατεύονται οὔτε πολιτεύονται, ἀλλ᾿ ἐσχάτως ἀτιμοῦνται [17].

18. Οἱ τὸν μονήρη βίον ἐπανῃρημένοι οὔτε ἐπιτροπεύουσι οὔτε δίκας ἑτέρων λέγουσιν, οὐδ᾿ ἂν εἰ συγγενεῖς εἶεν οἱ τὰς δίκας ἔχοντες, πλὴν ὑπὲρ τῆς ἰδίας καὶ μόνης μονῆς καὶ τότε συναινέσει τοῦ ἡγουμένου [18].

19. Τὰ μοναστήρια καὶ αἱ ἐκκλησίαι καὶ πρὸ πάντων αἱ μητροπόλεις καὶ αἱ ἐπισκοπαὶ οὐχ ὑπόκεινται οὔτε ἰδιωτικῇ ἀγγαρείᾳ οὔτε δημοσίᾳ. ἀφαίρεμα γάρ εἰσιν ἐκ πάντων οὗτοι

---

[13] Nov. Leonis 68. [14] Nov. 123 c. 31 ex Epan. h. t. c. 17. [15] Athan. I, 2 (Nov. 123). [16] Cf. supra c. 8. [17] Epan. h. t. c. 14. [18] Epan. h. t. c. 15.

τῷ θεῷ, καθάπερ ἡ λευϊτικὴ φύλη κατὰ τὸν μωσαϊκὸν νόμον πάσης ἀτελὴς ἦν λειτουργίας. εἰ δέ τις ἀπαραίτητος καὶ κοινωφελὴς χρεία κατεπείγει καὶ τούτους εἰς τὴν οἰκείαν σωτηρίαν πρὸς λειτουργίαν τινὰ καλοῦσα, διὰ τῶν κατὰ τόπον ἐπισκόπων οὐ διὰ λαϊκῶν ὅλως τὴν τοιαύτην τελέσουσι δουλείαν [19].

20. Πᾶσι τοῖς λαϊκοῖς ἀπαγορεύομεν λιτὰς ποιεῖν δίχα τῶν ὁσιωτάτων ἐπισκόπων καὶ τῶν ὑπ᾽ αὐτοὺς εὐλαβεστάτων κληρικῶν. ποία γάρ ἐστι λιτὴ, ἐν ᾗ ἱερεῖς οὐχ εὑρίσκονται καὶ τὰς συνήθεις τελοῦσιν εὐχάς; ἀλλὰ καὶ τοὺς τιμίους σταυροὺς, μεθ᾽ ὧν ἐν ταῖς λιταῖς ἐξέρχονται, μὴ ἀλλαχῶς που τιθέναι ἢ ἐν εὐαγέσι τόποις. καὶ εἰ καί ποτε χρεία καλέσοι τοῦ λιτὰς ἐπιτελεῖσθαι, τότε μόνον τοὺς τιμίους σταυροὺς λαμβάνειν τοὺς εἰωθότας φέρειν αὐτοὺς, καὶ ἅμα τοῦ ἐπισκόπου καὶ τῶν κληρικῶν τὰς λιτὰς ἐπιτελεῖσθαι [20].

ΤΙΤΛΟΣ η΄.

Περὶ τῶν ἐκκλησιαστικῶν ἐμφυτεύσεων καὶ ἐκδόσεων.

1. Τὰς ἐμφυτεύσεις παρὰ τῆς ἁγιωτάτης ἐκκλησίας τῆς βασιλίδος τῶν πόλεων καὶ τοῦ ὀρφανοτροφείου καὶ τῶν ξενώνων καὶ τῶν νοσοκομείων καὶ τῶν πτωχείων γίνεσθαι κελεύομεν ἐπί τε [τῷ προσώπῳ αὐτοῦ τοῦ λαμβάνοντος καὶ ἄλλων] δύο ἐφεξῆς κληρονόμων [1].

2. Τὰς δὲ μισθώσεις παρὰ τῶν εὐαγῶν οἴκων κατὰ δύο τρόπους γίνεσθαι συγχωροῦμεν, ἢ μέχρι τῆς ζωῆς τοῦ ἐμφυτευσαμένου ἢ εἰς ὅσον ἂν τοῖς συναλλάττουσι συναρέσῃ, μὴ ὑπερβαίνοντας δηλαδὴ τὸν τριακονταετῆ χρόνον [2].

3. Τὰς ἐκποιήσεις τῶν κτημάτων ἃ τοῖς εὐαγέσιν οἴκοις ἀνήκει καὶ εἰς παντελῆ καταστροφὴν τῶν ἐκκλησιῶν τοῦ θεοῦ γενομένας ἄμεινον ἀπὸ τοῦ νῦν οὐ γίνεσθαι. εἰ μέντοι τὶς ἀπαραίτητος κατεπείγοι χρεία, ἣν οὐκ ἔστι δι᾽ ἑτέρας ὁδοῦ ἀποκλῖναι, [ἢ] φανερᾶς καὶ ὁμολογουμένης οὔσης βλάβης ἀπὸ τοῦ τοιούτου κτήματος, τηνικαῦτα οἱ διοικηταὶ τῶν αὐτῶν εὐαγῶν οἴκων εἰς μίσθωσιν ἢ ἐμφύτευσιν τοῦ τοιούτου ἐπιζη-

---

[19] Epan. h. t. c. 16. [20] Nov. 123 c. 32 ex Epan. h. t. c. 18.
[1] Nov. 120 c. 1 ex Epan. X, 1. [2] Nov. 120 c. 3 ex Epan. h. t. c. 2.

μίου κτήματος, ἢ οὗ χωρίς ἐστι ἀπαραίτητος ἀνάγκη, χωρείτωσαν, τῶν κληρικῶν ἢ μοναχῶν δηλονότι τὰς τοιαύτας αἰτίας ἐν αὐτῷ τῷ συμβολαίῳ ἢ ἐπὶ πράξεως ὑπομνημάτων φανερούντων καὶ συναινούντων, ὡς ἕπεται διὰ τῆς τοιαύτης ἐμφυτεύσεως. ἀλλὰ καὶ αὐταῖς ταῖς ἁγιωτάταις ἐκκλησίαις καὶ τοῖς ἄλλοις ἐπισκόποις [3] δίδομεν ἄδειαν κατὰ μόνους τοὺς προειρημένους τρόπους μισθώσεις τε καὶ ἐμφυτεύσεις ποιεῖν, καὶ τοῖς κληρικοῖς ὁμοίως τὰς ἑαυτῶν μισθώσεις τῶν ἰδίων ποιεῖν κτήσεων, γνώμῃ τοῦ ἐπισκόπου καὶ αὐτοῦ τοῦ οἰκονόμου [4]. αὕτη γὰρ ἡ διάταξις ταῖς νεαραῖς διαφέρουσα ταῦτα νομοθετεῖ τὸ μηδόλως ἐκδίδοσθαι, νῦν δὲ συγκεχώρηται [5].

4. Εἴ τινές εἰσι τόποι ἢ τῇ αὐτῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ ἤ τινι τῶν εἰρημένων εὐαγῶν οἴκων προσήκοντες, ἐν οἷς παλαιαὶ οἰκήσεις τυγχάνουσαι κατηνέχθησαν καὶ ἐξ ὧν οὐδεμία παρέχεται πρόσοδος, ἀλλ᾽ εἰς ἐρείπια προέβησαν, οἱ δὲ εὐαγεῖς οἶκοι, οἷς διαφέρουσιν οἱ τόποι, τούτους ἀνοικοδομῆσαι μὴ δύνανται, ἄδειαν δίδομεν τοῖς τούτων διοικηταῖς τῷ τῆς ἐμφυτεύσεως δικαίῳ ἐκδιδόναι, οὕτω μέντοιγε ὥστε τὴν ἐμφύτευσιν ἢ ἐπὶ τρίτῃ μοίρᾳ τῶν στεγονομίων τῶν ἀπὸ παλαιοῦ διδομένων δίδοσθαι· ἢ εἴπερ ὁ ἐμφυτευτὴς βουληθῇ ἐπὶ τοιούτῳ λαβεῖν τοὺς τόπους, ὥστε πρότερον οἰκοδομῆσαι καὶ ἐκ τῶν προσγινομένων κατὰ διατίμησιν στεγονομίων τὸ ἥμισυ μέρος διδόναι τῷ εὐαγεῖ οἴκῳ, ἐξ οὗ τοὺς τόπους λαμβάνει, καὶ τοῦτο γίνεσθαι συγχωροῦμεν. κεχρῆσθαι δὲ τὸν τοιοῦτον ἐμφυτευτὴν καὶ ταῖς ἐκεῖσε εὑρισκομέναις ἐκ τῶν κατενεχθέντων οἰκημάτων ὕλαις [6].

5. Ἐὰν συμβῇ οἱονδήποτε πρᾶγμα ἔκ τινος τῶν εἰρημένων εὐαγῶν οἴκων ἐμφυτευτικῷ δικαίῳ ἢ μισθωτικῷ διδόμενον ἢ εἰς βασιλικὸν [οἶκον . . . ἢ εἰς ἄλλον τινὰ εὐαγῆ] οἶκον περιελθεῖν, ἄδειαν παρέχομεν τοῖς διοικηταῖς τῶν εὐαγῶν οἴκων, ἐφ᾽ οἷς προσώποις εἰσέλθῃ ἡ αὐτὴ μίσθωσις ἢ ἐμφύτευσις, εἴσω διετίας τὴν πρόσοδον τὴν εἰς πάκτον παρεχομένην κομίζεσθαι, εἰ μισθωτικῶς ἐξεδόθη, ἢ τοῦτο ἀναλαμβάνειν. εἰ δὲ καὶ τίμημα κατεβλήθη ἐν τῷ καιρῷ τῆς ἐμφυτεύσεως, κατὰ τὸ ἀνάλογον τοῦ παρελθόντος χρόνου καὶ τοῦ ὑπολειπομένου τοσοῦτον μέρος τῆς ἐξ ἀρχῆς τιμῆς ἀναδιδόναι, καὶ ἀναλαμβάνειν

---

[3] Lege σεπτοῖς οἴκοις. [4] Nov. 120 c. 6 ex Epan. h. t. c. 3. [5] Epan. h. t. schol. a. [6] Nov. 120 c. 1 §. 2 ex Epan. h. t. c. 4.

τὸ οἰκεῖον πρᾶγμα λυομένης δηλονότι τῆς ἐμφυτεύσεως ἢ μισθώσεως [7].

6. Μηδεὶς εὐαγὴς οἶκος ἐκδιδότω αἱρετικῷ ἀκίνητον κτῆσιν, ἐπεὶ ταῖς τοῦ νόμου ποιναῖς μετὰ τοῦ ἐκλαβομένου ὑποβληθήσεται. λέγει γάρ, ὅτι ὁ μὲν αἱρετικὸς εἴ τι δέδωκεν ἀπόλλυσιν, ὁ δὲ ἐκδώσας πάσης ἀποκινεῖται διοικήσεως καὶ εἰς μοναστήριον ἐμβάλλεται καὶ ἐπὶ ἐνιαυτῷ τῆς ἁγίας κοινωνίας χωρίζεται, τὸ δὲ πρᾶγμα τῷ εὐαγεῖ οἴκῳ ἀποδίδοται [8].

7. Χρὴ προσκυροῦσθαι ταῖς ἐκκλησίαις τοὺς οἴκους, ἐν οἷς οἱ αἱρετικοὶ ποιοῦσι παρασυνάξεις [9].

8. Οἱ ἀπὸ τῶν εὐαγῶν οἴκων μοναστηρίων τε καὶ ἐκκλησιῶν ἀλλὰ καὶ ἐπισκοπειῶν ἐμφυτευόμενοι ἢ μισθούμενοι ἢ ἀγοράζοντες ἢ κατά τινα τρόπον ἐκλαμβανόμενοι κτῆσιν ἀκίνητον, πολλὴν ὀφείλουσι καταβάλλεσθαι φροντίδα, ἵνα τὰ παρ' αὐτῶν καταβαλλόμενα εἰς ἀναγκαίας χρείας τῶν εἰρημένων ἐκκλησιῶν ἢ ἀντεισαγωγὴν ἑτέρων κτημάτων χρησιμευόντων αὐταῖς ἐκδαπανηθῶσιν. ἐὰν δὲ τὰ παρ' αὐτῶν καταβληθέντα μὴ κατὰ τὸν εἰρημένον τρόπον διοικηθῶσιν, ἀλλ' εἰς ἄλλας τινὰς ἰδίας χρείας ἢ ἁπλῶς ἔξωθεν τῆς ὠφελείας τῶν εὐαγῶν οἴκων οἱ ταῦτα ἐκδιδόντες τὰ καταβληθέντα καταναλώσουσιν, αἱ μὲν ἐκκλησίαι καὶ οἱ εὐαγεῖς οἶκοι εἴσω τεσσαρακονταετίας ἀγωγὴν ποιούμενοι ἀναργύρως τὰ οἰκεῖα παντὶ τρόπῳ λήψονται, οἱ δὲ τὴν δέουσαν φροντίδα περὶ τῶν παρ' αὐτῶν καταβληθέντων μὴ ποιησάμενοι ἀπὸ μὲν τοῦ εὐαγοῦς οἴκου οὐδὲν ὅλως λήψονται· ἀρκεῖ γὰρ αὐτοῖς τὸ μὴ καὶ ἑτέρᾳ τινὶ ὑποπεσεῖν τιμωρίᾳ· κατὰ μέντοιγε τῶν καταναλωσάντων αὐτὰ εἰς οἰκείας δαπάνας ἢ ἁπλῶς ἔξωθεν τοῦ εὐαγοῦς οἴκου ἐκποιησάντων ἀγωγὴν ἔχειν δύνανται [10].

9. Οἱ εὐαγεῖς τόποι μὴ εὐποροῦντες ἀλλαχόθεν τὰ δημόσια πληρῶσαι καλῶς πωλοῦσιν ἀκίνητον κτῆσιν, δηλονότι ἐξεταζομένης τῆς προσποιήσεως παρὰ τῶν μητροπολιτῶν, συνόντων τῶν ἐπισκόπων καὶ τῶν κληρικῶν, προκειμένων τῶν θείων λογίων· καὶ εἰ μὴ δειχθῇ ἄλλος πόρος, ἐξ οὗ δύνανται τὰ δημόσια διδόναι, βεβαιούσθω τῶν ἀκινήτων ἡ πρᾶσις ἐπὶ δεκρέτῳ καὶ διδόσθω τῷ δημοσίῳ τὸ τίμημα τῶν πραθέντων καὶ τῷ εὐαγεῖ οἴκῳ ἀπόδειξις τῶν καταβληθέντων [11].

10. Εἴ τις βουληθῇ οἱονδήποτε πρᾶγμα ἀκίνητον ὀνόματι

---

[7] Nov. 120 c. 1 §. 1 ex Epan. h. t. c. 5. [8] Athan. II, 3 (Nov. 131). [9] Athan. II parat. §. 5. [10] Epan. h. t. c. 6. [11] Theod. Nov. 46 §. 2 ex Epan. h. t. c. 7.

χρήσεως λαβεῖν παρά τινος ἐκκλησίας, μὴ ἄλλως τοῦτο λαμβανέτω, εἰ μὴ ἕτερον εὐθὺς πρᾶγμα δεσποτείας [δικαίῳ] παράσχοι τῷ εὐαγεῖ οἴκῳ, τοσαύτην ἔχον πρόσοδον, ὁπόσην ἔχει τὸ πρᾶγμα ὅπερ ἐκδίδοται, μὴ πλείοσι δημοσίοις βεβαρημένον τελέσμασι, ὥστε μετὰ τὴν αὐτοῦ τελευτὴν ἢ μετὰ τὸν χρόνον, ἐφ' ὃν ἡ δόσις τῆς χρήσεως συνήρεσε, μὴ ὑπερβαίνει δηλαδὴ τὴν τοῦ λαμβάνοντος ζωήν [12].

11. *Σχόλιον.* Μὴ ὑπόντος τινὸς πόρου, ἐξ οὗ τὸ χρέος λυθῇ, μηδὲ ἄλλου εὑρισκομένου ἀγοραστοῦ, μηδὲ τὰ κάλλιστα τῶν κτημάτων ἐκλεγομένου τοῦ δανειστοῦ, ἀλλὰ τὰ μέσα τῶν εὐπόρων τε καὶ ἀπόρων ἀναγκαζομένου λαβεῖν, τῆς δεκάτης μοίρας τῆς δικαίας τοῦ κτήματος τιμήσεως προστιθεμένης ἐν τῷ τιμήματι, ἀλλὰ καὶ ἐπὶ κ̅ ἡμέρας διαγινωσκομένου πρὸς ἅπαντας, ὅτι τὸ κτῆμα πιπράσκεται, κατὰ τὴν ρκ̅ νεαράν, ἧς ἐστι τὸ κεφάλαιον [13].

12. Κελεύομεν, ὥστε ἐξῃρημένης τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας τῆς βασιλίδος πόλεως καὶ τοῦ εὐαγοῦς ὀρφανοτροφείου καὶ ξενώνων καὶ πτωχείων τῶν ἐν τῇ βασιλίδι τῶν πόλεων καὶ ὑπὸ τὴν αὐτῆς ὄντων ἐνορίαν, ἐξεῖναι πάσαις ταῖς ἁγιωτάταις ἐκκλησίαις καὶ τοῖς εὐαγέσιν οἴκοις, οὐ μὴν ἀλλὰ καὶ μοναστηρίοις ἔν τε τῇ βασιλίδι πόλει καὶ ἐν διαφόροις ἐπαρχίαις κειμένοις, ἀνταλλαγὰς πρὸς ἀλλήλους ποιεῖσθαι, ὅταν ἑκατέρῳ φυλάττηται τὸ ἀζήμιον, συναινούντων ἐγγράφως οὐ μόνον τῶν διοικητῶν ἑκατέρου μέρους, ἀλλὰ καὶ τοῦ κατὰ τόπον θεοφιλεστάτου ἐπισκόπου [14].

13. Ἐπειδὴ ἔγνωμεν παρά τινων γίνεσθαι ἐκποιήσεις μοναστηρίων ἐπὶ τῷ ταῦτα ἀπὸ ἱερατικοῦ σχήματος εἰς ἰδιωτικὴν ἀγωγὴν μετασχηματίζεσθαι, καὶ τοῦτο πᾶσι τρόποις κωλύομεν. εἰ δέ τι τοιοῦτον γινόμενον εὑρεθῇ, ὁ κατὰ τὸν τόπον ἐπίσκοπος εἰς τὸ ἀρχαῖον ἐπαναγαγέτω σχῆμα [15].

ΤΙΤΛΟΣ Θ'.

Περὶ τάξεως κριτηρίων.

1. Θεσπίζομεν κατὰ τάξιν γίνεσθαι τὰ κριτήρια καὶ δια τάξεως συνίστασθαι. ὥσπερ γὰρ οὐδέν ἐστιν ἄλλο ἐν αἰσθη-

---

[12] Nonnulla exciderunt. Nov. 120 c. 2 ex Epan. h. t. c. 9. [13] Epan. h. t. schol. b. [14] Nov. 120 c. 7 pr. ex Epan. h. t. c. 10. [15] Nov. 120 c. 7 §. 1 ex Epan. h. t. c. 11.

τοῖς καὶ ἐγκοσμίοις ἄνευ ποσότητος καὶ ποιότητος, οὕτως οὐδὲ κριτήριον ἄνευ τούτων τῶν δύο γενῶν. τῇ γὰρ ποσότητι ἡ τάξις τῶν προσόντων, ἡ δὲ ποιότης τὴν ἄλλην τοῦ δικαίου ἐμφανίζει δύναμιν. ὅταν δὲ τάξις καὶ δικαιοσύνη ἥρμοσται, καὶ ἐξ ἀμφοῖν περαιωθῇ ἡ ἀλήθεια, δικαίως λέγεται τὸ δίκαιον ἀποδοθῆναι. ὅταν δὲ χωρὶς τάξεως καὶ τῆς ἀληθείας ἐπιτύχῃ, οὐ δικαίως τὸ δίκαιον λέγεται ἀποδοθῆναι [1].

2. Πᾶν κριτήριον συνίσταται ἐκ τῶν προκαθεζομένων καὶ συγκαθεζομένων [καὶ τῶν δικαζομένων] ἢ δι' ἑαυτῶν ἢ δι' ἐντολέων, οἷς ὁ νόμος δίδωσι τὴν ἐξουσίαν [2].

3. Διαφοραὶ δὲ τῶν κριτηρίων δύο. τὸ μὲν γὰρ διὰ μόνων τῶν νόμων πρόεισι, τὸ δὲ διὰ κανόνων. ἐστὶ δὲ καὶ τρίτη διαφορὰ, τὸ ἐξ ἀμφοῖν, ἐκ τοῦ νόμου καὶ τοῦ κανόνος φημὶ, συνιστῶσα καὶ διορίζουσα [3].

4. Ἔκκλητός ἐστιν ἔκκλισίς τινος τῶν κριθέντων κατά τινος κρίνοντος, ὡς μὴ καλῶς κριθέντος. καὶ πᾶσα μὲν ἔκκλητος καὶ ἔγκλησις, οὐ πᾶσα δὲ ἔγκλησις ἔκκλητος. διαιρεῖται δὲ τὸ τῆς ἐγκλήσεως ὄνομα εἴς τε τὴν λεγομένην ἔκκλητον καὶ εἰς τὴν ἀρχὴν ἔχουσαν ἔγκλησιν [4].

5. Τὸ αὐτοκρατορικὸν καὶ βασιλικὸν κριτήριον ἐκκλήτῳ οὐχ ὑπόκειται, οὐδὲ ἀναψηλαφᾶται ὑπὸ ἑτέρου, ἀλλ' ὑφ' ἑαυτοῦ ἀεὶ ἐπανακρίνεται. καθὰ καὶ ὁ θεόπτης μωϋσῆς τὸ ἐπανακρίνειν τὰς κρίσεις εἰς νόμον ἔθετο [5].

6. Τὸ τοῦ πατριάρχου κριτήριον ἐκκλήτῳ οὐχ ὑπόκειται, οὐδὲ ἀναψηλαφᾶται ὑφ' ἑτέρου, ὡς ἀρχὴ καὶ αὐτὸ τῶν ἐκκλησιαστικῶν δικαστηρίων· ἐξ αὐτοῦ γὰρ πάντα τὰ ἐκκλησιαστικὰ κριτήρια καὶ εἰς αὐτὸ ἀναλύει καὶ ἀναστρέφεται, αὐτὸ δὲ οὔτε ἔκ τινος οὔτε πρὸς ἕτερον. τὸ τοιοῦτον γὰρ ἡ ἀρχή. ἐπανακρίνεται δὲ πνευματικῶς καὶ αὐτὸ ὑφ' ἑαυτοῦ [6].

7. Ἡ τοῦ ἐπάρχου ψῆφος ἐκκλήτῳ οὐχ ὑπόκειται, πλὴν ὑπὸ μόνου τοῦ βασιλέως [7].

8. Ἡ τοῦ κοιαίστορος ψῆφος ἐκκλήτῳ οὐχ ὑπόκειται, ἀλλὰ καὶ αὐτὴ ὑπὸ μόνου τοῦ βασιλέως σκοπεῖται. εἰ γὰρ καὶ τῇ τάξει πρότερον τὸ ἐπαρχικὸν κριτήριον ᾖ, ἀλλ' οὐδὲν ἄτοπον τὰ ἐκ μιᾶς ἀρχῆς προερχόμενα τάξει μὲν ἀλλήλων προέχειν, μὴ δεῖσθαι δὲ ἕτερον ἑτέρου πρὸς διόρθωσιν [8].

---

[1] Epan. XI, 1. [2] Epan. h. t. c. 2. [3] Epan. h. t. c. 3. [4] Epan. h. t. c. 4. [5] Epan. h. t. c. 5. [6] Epan. h. t. c. 6. [7] Epan. h. t. c. 7. [8] Epan. h. t. c. 8.

9. *Τὰ ἀρχοντικὰ κριτήρια ἐκκλήτῳ οὐχ ὑπόκειται, πλὴν ἀναψηλαφῶνται ὑπό τε τοῦ βασιλέως, ὑπό τε τοῦ κοιαίστορος. ὅσῳ γὰρ πόῤῥω ἀφίστανται τῆς ἀρχῆς, τοσούτῳ πλείονος καὶ τῆς βοηθείας καὶ πλειόνων τῶν διορθουμένων καὶ ἀναψηλαφώντων δέονται* [9].

10. *Θεσπίζομεν, τοὺς περιφανεστάτους ἡμῶν πατρικίους καὶ τοὺς μεγαλοπρεπεῖς σπαθαρίους δι' ἐντολέων τὰς χρηματικὰς ἀγωνίζεσθαι δίκας, οὐχὶ δὲ τὰς ἐγκληματικάς, εἴτε κατ' αὐτῶν παρ' ἑτέρων ἄγονται εἴτε καθ' ἑτέρων αὐτοὶ κινεῖν βούλονται. ἀλλὰ καὶ τοῦτο αὐτοῖς ἀφορίζομεν, τὸ μήτι συγκαθῆσθαι τοὺς δικάζοντας, ἡνίκα ἡ αὐτῶν ἐξετάζεται δίκη, ἀλλὰ μηδὲ παρίστασθαι πάλιν. ἑκατέρωθεν γὰρ τὸ πρᾶγμα ἐπισφαλές· διὰ μὲν γὰρ θἀτέρου τὸ ὑψηλὸν ἀξίωμα ἐνυβρίζεται, διὰ δὲ τοῦ ἑτέρου τὸ δικαστήριον εἰς ἀσχημοσύνην ἀνισότητος περιΐσταται, τοῦ μὲν τῶν δικαζομένων παρεστῶτος, τοῦ δὲ τῇ τῶν κριτῶν συνεδρίᾳ τὸ πλέον ἔχειν ἐνδεικνυμένου. Σχόλιον* [10]. *Μετὰ δὲ ταῦτα γέγραπται ἄδειαν ἔχειν τοὺς μεγαλοπρεπεῖς πρωτοσπαθαρίους καὶ δι' ἑαυτῶν δικάζεσθαι καὶ ἐντολέα προβάλλεσθαι* [11].

11. *Οὐδένα τῶν ἐκκλησιαστικῶν βαθμῶν ἢ ἐπισκόπων ἢ πρεσβυτέρων ἢ διακόνων ἢ ἁπλῶς τινὰ τοῦ ἱερατικοῦ καταλόγου ἄκοντα κριτηρίοις κοσμικοῖς παρίστασθαι ἀνεχόμεθα. εἰ γάρ τις τοῦτο ποιήσει, παρὰ τῆς ἡμετέρας γαληνότητος τὴν πρέπουσαν ὑποστήσεται παίδευσιν. εἰ δὲ ἑκὼν ὁ ἱερατικὸς τῷ κοσμικῷ κριτηρίῳ παραστῇ ἢ καὶ πρῶτος τὴν ἐκεῖθεν κρίσιν τοῦ ἐκκλησιαστικοῦ ἀκροατηρίου προετιμήσατο, αὐτὸς κἂν ἐκεῖθεν νομίσει τὸ δίκαιον λαβεῖν, ὑπὸ τῶν ἱερῶν κανόνων καταδικάζεται* [12].

12. *Τοὺς θεοφιλεστάτους ἐπισκόπους οὐδεὶς τῶν ἀρχόντων ἀναγκάζει εἰς δικαστήριον παραγίνεσθαι καὶ δοῦναι μαρτυρίαν. ἀλλ' ὁ δικαστὴς πεμπέτω πρὸς αὐτούς τινας ἀπὸ τῶν ὑπηρετουμένων αὐτῷ, ἵνα κατὰ τὸ πρέπον ἱερεῦσιν ἐνώπιον θεοῦ εἴπωσιν, ἃ γινώσκουσιν* [13].

13. *Τοὺς θεοφιλεστάτους ἐπισκόπους ὑπὲρ οὐδεμιᾶς χρηματικῆς δίκης πρὸς ἄρχοντα πολιτικὸν ἢ στρατιωτικὸν ἄκοντα*

---

[9] Epan. h. t. c. 9. [10] Imo *τοῦ κειμένου* sunt quae sequuntur, sic tamen constituenda: *μετὰ δὲ τοὺς μεγ. πρωτοσπ. ἅπαντας ἄδειαν ἔχειν κτλ.* [11] Epan. h. t. c. 10. Cf. Nov. 71 c. 1. [12] Epan. h. t. c. 11. [13] Nov. 123 c. 7 ex Epan. h. t. c. 12.

παραγενέσθαι ἢ παρίστασθαι δίχα βασιλικῆς κελεύσεως συγχωροῦμεν. ἀλλὰ τὸν ἄρχοντα τὸν εἴτε ἐγγράφως εἴτε ἀγράφως τοῦτο πρᾶξαι τολμήσαντα μετὰ τὴν τῆς ζώνης ἤτοι τοῦ ἀξιώματος ἀφαίρεσιν ϰ̄ χρυσίου λίτρας ποινὴν καταβαλεῖν κελεύομεν τῇ ἐκκλησίᾳ, ἐξ ἧς ὁ ἐπίσκοπος ἀχθῆναι καὶ παραστῆναι προσετάχθη [14].

14. Κατηγορίαν ἱερέως οὐδεὶς τῶν ἐν τῷ λαϊκῷ κατειλεγμένων ἀρχόντων δικάζει, πλὴν εἰ καθοσιώσεως ἔγκλημα ἡ κατηγορία περιέχει [15].

ΤΙΤΛΟΣ ι΄.

Περὶ μαρτύρων.

1. Ἐπὶ μαρτύρων ζητεῖται ἡ ἀξία καὶ ἡ πίστις καὶ τὰ ἤθη καὶ ἡ στεῤῥότης· διόπερ οὐκ ἀκούονται οἱ ἐναντιούμενοι τοῖς ἐν ἐκμαρτυρίῳ ὑφ᾽ ἑαυτῶν εἰρημένοις [1].

2. Ἐπὶ ἑκάστου μάρτυρος ὀφείλει ζητεῖσθαι πρότερον, εἰ τίμιος καὶ ἄμεμπτος ἢ ἄτιμος καὶ ἐπίψογος, εὔπορος ἢ ἐνδεής, ὥστε διὰ κέρδος τὶ πλημμελῆσαι, φίλος τοῦ παράγοντος ἢ ἐχθρὸς τοῦ καθ᾽ οὗ παράγεται. ὅταν γὰρ ὑποψίας ἐστέρηται, μαρτυρεῖ. τὰ δὲ περὶ τούτου διακρίνει ὁ δικαστής, καὶ εἰ μίαν μεμελετημένην ὁμολογίαν προφέρουσι καὶ εἰ πρὸς τὰς πεύσεις καθαρῶς ἀποκρίνονται καὶ ὁποῖα τεκμήρια ὀφείλει ὁ δικαστὴς προσδέχεσθαι [2].

3. Κωλύεται μαρτυρεῖν ἄνηβος, οἰκέτης, κωφός, ἄλαλος, μαινόμενος, ἄσωτος, υἱὸς ὑπεξούσιος ὅτε ὁ πατὴρ αὐτοῦ παρὰ ἄλλου γραφῇ κληρονόμος [3].

4. Καὶ ὁ συνυπεξούσιος ὑπὲρ τοῦ γραφέντος ἐν δίκῃ κληρονόμου [4].

5. Καὶ ὁ συνυπεξούσιος διατιθεμένου τοῦ ὑπεξουσίου εἰς ἰδιόκτητα αὐτοῦ πράγματα [5].

6. Υἱὸς πατρὶ ἢ πατὴρ υἱῷ οὐ μαρτυρεῖ, ἀλλ᾽ οὐδὲ οἱοσδήποτε ἐν ἰδίῳ αὐτοῦ πράγματι [6].

---

[14] Nov. 123 c. 8 ex Epan. h. t. c. 13. [15] Epan. h. t. c. 14.
[1] Dig. XXII, 5, 2 ex Epan. XII, 1. [2] Dig. cit. 3 pr. §. 1. 2 ex Epan. h. t. c. 2. [3] Theoph. Inst. II, 10, 6 ex Epan. h. t. c. 3. [4] Theoph. ib. ex Epan. h. t. c. 4. [5] Theoph. ib. ex Epan. h. t. c. 5. [6] Dig. XXII, 5, 9. 10 ex Epan. h. t. c. 6.

7. Οὐ μαρτυρεῖ δοῦλος ἢ ἀπελεύθερος κατὰ τοῦ πάτρωνος ἢ παιδὸς αὐτοῦ [7].

8. Οὐ μαρτυρεῖ ὁ καταδικασθεὶς ἐπὶ μαρτυρίᾳ ὡς λαβὼν χρήματα [8].

9. Οὐ μαρτυρεῖ πένης· πένης γάρ ἐστιν ὁ μὴ ἔχων ν̅ νομισμάτων περιουσίαν [9].

10. Οὐκ ἔστιν ἀξιόπιστος μάρτυς ὁ κελεύεσθαι δυνάμενος ἐπὶ τὸ μαρτυρῆσαι [10].

11. Ὁ καταδικασθεὶς τῷ τῆς μοιχείας ἐγκλήματι οὐ μαρτυρεῖ [11].

12. Ὁ συνηγορήσας ἢ ὁ ἐκβιβάσας ὑπόθεσιν οὐ μαρτυρεῖ ἐν αὐτῇ [12].

13. Ὁ κατά τινος ἤδη μαρτυρήσας οὐ μαρτυρεῖ πάλιν κατ' αὐτοῦ [13].

14. Ἐγκληματικῶς τινα κατηγορήσας οὐ δύναται μαρτυρεῖν κατ' αὐτοῦ. ὁ δὲ χρηματικῶς τινα αἰτιασάμενος οὐ κωλύεται μαρτυρεῖν κατ' αὐτοῦ, πλὴν ὑπούσης εὐλόγου αἰτίας κωλύεται [14].

15. Ὁ μεσάσας τισὶν ἐν πράγμασιν οὐ μαρτυρεῖ αὐτοῖς ἐν τῇ αὐτῇ ὑποθέσει ἐν δικαστηρίῳ, εἰ μὴ ἄρα συναινέσουσι τὰ ἑκάτερα μέρη τῇ μαρτυρίᾳ αὐτοῦ [15].

16. Κωλύεται ἐν διαθήκῃ μαρτυρεῖν ὁ ἐν διαθήκῃ τινὸς ὑπογράψας καὶ μὴ ἀνασχόμενος μαρτυρῆσαι, ὃς οὐδὲ ἀναγκάζεται παρὰ τοῦ νόμου μαρτυρεῖν, ἀλλ' οὐδὲ διαθέσθαι ἢ ἐξ ἑτέρας διαθήκης τὶ κερδᾶναι [16].

17. Οὐκ ἔστι δεκτέα ἡ οἰκειακὴ μαρτυρία [17].

18. Ἐάν τις ἑνὸς ἀνθρώπου κατάθεσιν ἐν ἐκσφραγίσματι προσφέρῃ, οὐκ ἔστι δεκτέα ἡ τοιαύτη μαρτυρία [18].

19. Οὐ μαρτυρεῖ ὁ ἥττων τῶν κ̅ χρόνων, οὔτε ὁ ἐν δημοσίῳ δικαστηρίῳ καταδικασθεὶς καὶ μὴ ἀποκαταστάς, ἢ ἐν δεσμοῖς ἢ ἐν δημοσίᾳ φρουρᾷ βληθείς [19].

20. Γυναῖκες, κἂν σεμνότητι καὶ εὐσεβείᾳ γνωρίζονται, ἐπὶ μὲν ἄλλοις κεφαλαίοις οὐ μαρτυροῦσιν, αἷς ἀπείρηται μηδὲ διδάσκειν ἀλλ' ἐν τῇ τῶν ἀκροωμένων τάξει καθεστᾶναι· ἐπὶ μέν-

[7] Epan. h. t. c. 7. [8] Epan. ibid. [9] Dig. XLVIII, 2, 10 ex Epan. h. t. c. 8. [10] Dig. XXII, 5, 6 ex Epan. h. t. c. 9. [11] Dig. cit. 14 ex Epan. h. t. c. 10. [12] Dig. cit. 25 ex Epan. h. t. c. 11. [13] Dig. cit. 23 ex Epan. h. t. c. 12. [14] Theod. Nov. 90 §. 13 ex Epan. h. t. c. 13. [15] Theod. Nov. 90 §. 14 ex Epan. h. t. c. 14. [16] Theoph. Inst. II, 10, 6 ex Epan. h. t. c. 15. [17] Cod. IV, 20, 3. [18] Cod. IV, 20, 4 ex Epan. h. t. c. 16. [19] Dig. XXII, 5, 3 §. 5 ex Epan. h. t. c. 17.

τοιγε τοκετοῦ αἱ τὸν εἰρημένον τῆς σεμνότητος τρόπον φυλάττουσαι δύνανται μαρτυρεῖν [20].

21. *Πατὴρ καὶ υἱὸς καὶ δύο ἀδελφοὶ συνυπεξούσιοι δύνανται μαρτυρεῖν ἐν μιᾷ διαθήκῃ καὶ ἐν ἑνὶ πράγματι· οὐδὲν γὰρ βλάπτει ἐξ ἑνὸς οἴκου πολλοὺς ἐν ἀλλοτρίῳ πράγματι μαρτυρεῖν* [21].

22. *Καίτοι φασὶν οἱ παλαιοὶ, ἐν μὲν ταῖς συστατικαῖς μαρτυρίαις μὴ μαρτυρεῖν γυναῖκας, [ἐν δὲ ταῖς ἀποδεικτικαῖς πάσαις μαρτυρεῖν]. συστατικαὶ μὲν λέγονται ἐπὶ διαθήκης καὶ κωδικέλλου καὶ μετὰ θάνατον δωρεᾶς, ἀποδεικτικαὶ δὲ ἐπὶ τῶν ἄλλων ἁπάντων ἐκτὸς συμβολαίων* [22].

23. *Οὐδεὶς ἀπαιτεῖται καθ᾽ ἑαυτοῦ μάρτυρας παραγαγεῖν, ἀλλὰ χρὴ τὸν ἐνάγοντα ὡς βούλεται συστῆσαι τὰς ἰδίας δικαιολογίας* [23].

24. *Οἱ μαρτυροῦντες ἐγγράφως περὶ καταβολῆς χρεῶν εἰπάτωσαν ὡς τῇ καταβολῇ παρῆσαν καὶ ἐπ᾽ αὐτοῖς νομίμως ὁ λαβὼν τὸ χρέος κατέθετο, ἐπὶ τούτῳ μόνῳ προσκληθέντες, δηλονότι ἐὰν ὦσι πέντε τὸν ἀριθμὸν οἱ τοιοῦτοι μάρτυρες* [24].

25. *Τὰς ματαίας καὶ ἐκ τοῦ παρήκοντος γινομένας μαρτυρίας [μηδενὶ παντάπασι λόγῳ κρατεῖν· καὶ τοιαύτας τινὰς ἀναπλάττειν μαρτυρίας,] ὡς δι᾽ ἄλλην τινὰ χρείαν παρατυχόντα ἀκοῦσαι τοῦδε λέγοντος εἰληφέναι παρὰ τοῦδε χρυσίον, ἢ ὀφείλειν τόδε. αὗται γὰρ ἡμῖν ὕποπτοι καθεστήκασι καὶ οὐδενὸς ἄξίαι λόγου. ἐὰν δὲ κατὰ συμβεβηκὸς παρερχομένου τινὸς ἤ τινων, καὶ ἐπ᾽ αὐτῷ τῷ τόπῳ γινομένων, ἐν ᾧ ἡ καταβολὴ τοῦ χρυσίου ἢ ἡ ἐπερώτησις παρ᾽ αὐτῶν τῶν καταβαλλόντων καὶ ἐπερωτώντων γίνοιτο, προσκληθῇ δὲ τότε μνήμην ποιεῖσθαι καὶ σημείωσιν καὶ ἐπισκοπεῖν τῶν πραγμάτων καὶ μαρτυρεῖν, ἔσται ὁ τοιοῦτος εἰς μαρτυρίαν δεκτὸς, ὡς καὶ πάντες οἱ ἐπ᾽ αὐτῷ προσκληθέντες* [25].

26. *Ἕκαστος ἐνάγων αὐτὸς ὀφείλει περιποιεῖν ἑαυτῷ τὴν νίκην ἐκ τῶν προσόντων αὐτῷ, οἱονεὶ φαίνεσθαι τόνδε τὸν ἀγρὸν εἶναι τῆς ἑαυτοῦ δεσποτείας· [οὐ μὴν ὀφείλει κινῶν λέγειν· εἰ φαίνεται τόνδε τὸν ἀγρὸν μὴ εἶναι τῆς τοῦ ἀντιδίκου δεσποτείας.] εἰ γὰρ οὕτως εἰσέλθῃ κινῶν, ἐρεῖ αὐτῷ ὁ ἀντίδικος, πρῶτον μὲν ἐμός ἐστιν ὁ ἀγρός· εἰ δὲ οὐκ ἐστὶν ἐμὸς*

---

[20] Epan. h. t. c. 18. [21] Dig. cit. 17 ex Epan. h. t. c. 19. [22] Epan. h. t. schol. a. [23] Cod. IV, 20, 7 ex Epan. h. t. c. 20. [24] Theod. Nov. 90 §. 3 ex Epan. h. t. c. 21. [25] Nov. 90 c. 2 ex Epan. h. t. c. 22.

ὡς σὺ λέγεις, οὐ παρὰ τοῦτο σὸς ἀλλ' ἄλλου ἐστίν· εἰ δὲ μήτ' ἐμὸς μήτε σός ἐστιν ὁ ἀγρὸς, ὀφείλω σε νικᾶν ἐν τῷ παρόντι δικαστηρίῳ διὰ τὸν κανόνα τὸν λέγοντα· ἐν ἴσῃ αἰτίᾳ κρείσσων ἡ αἵρεσις τοῦ νεμομένου [26].

27. Δυνατὸν καὶ ἐκ πόλεως εἰς πόλιν ἐκ διαλαλιᾶς δικαστικῆς στεῖλαι τὰς μαρτυρίας, πραττομένας μέντοιγε κατὰ νόμους, ἐν μὲν ταῖς ἐπαρχίαις παρὰ τῷ ἄρχοντι, ἐν δὲ τῇ κωνσταντινουπόλει παρὰ τοῖς θείοις δικασταῖς [27].

28. Ἐπὶ τῶν ἐγκλημάτων ἀνάγκη πάντως παραχθῆναι τοὺς μάρτυρας καὶ μὴ τὰς φωνὰς αὐτῶν [28].

29. Ἄλλη ἐστὶν ἡ αὐθεντία τῶν [παρόντων] μαρτύρων καὶ ἄλλη τῶν ἀναγινωσκομένων. ὁ οὖν θέλων ἐπισχεῖν μάρτυρας, δαπάνας αὐτοῖς χορηγείτω. καὶ πλείω τῶν ιε ἡμερῶν οὐκ ἀναγκάζονται παραμένειν οἱ μάρτυρες ἐν χρηματικαῖς ὑποθέσεσιν [29].

30. Εἴκοσι μίλια καθ' ἡμέραν λογίζεται τῷ ὀφείλοντι παραστῆναι εἰς δικαστήριον, ὑπεξῃρημένης τῆς ἡμέρας, καθ' ἣν ὡμολόγησε καὶ καθ' ἣν δεῖ αὐτὸν παραστῆναι [30].

31. Ἐπειδὴ ἴσμεν ἤδη γινόμενον νόμον, ὥστε εἴ τις ἐνταῦθα λέγοι δίκην, δεῖται δὲ ἐπί τινος χώρας ἐν μέρει τὴν σύστασιν ἔχειν, ἐξεῖναι τοῦ δικαστοῦ τοῦτο κρίναντος καὶ τὴν ἀρκοῦσαν προθεσμίαν ὁρίζοντος παραγαγεῖν ἐπὶ τῆς ἐπαρχίας μάρτυρας, ἐνταῦθά τε ἀναπέμπεσθαι τὴν δίκην τῶν πεπραγμένων φερομένων καὶ ὑπ' αὐτοῦ κρίνεσθαι τοῦ δικαστοῦ· πολλαὶ δὲ τοιαῦται προσελεύσεις ἡμῖν γίνονται, βουλομένων τινῶν, οἵπερ ἐν ἐπαρχίᾳ μὲν δικάζονται, ἐνταῦθα δὲ τοὺς μάρτυρας ἔχουσι, ὡς ἔσται ἄδεια τῷ ἐν ἐπαρχίᾳ δικάζοντι στέλλειν ἐνταῦθα ὥστε παριέναι τοὺς μάρτυρας ἢ τὰς ἀποδείξεις εἰς ὕλας δίδοσθαι, καὶ πάλιν εἰς αὐτὸν φέρεσθαι τὰς δίκας, ἢ καὶ ἀπὸ ἐπαρχίας εἰς ἐπαρχίαν· θεσπίζομεν διὰ τὴν τῶν ἀποδείξεων ἀπορίαν καὶ τοῦτο κρατεῖν, καὶ δύνασθαι καὶ ἀπὸ ἐπαρχίας ἐνταῦθα παρὰ τοῦ δικάζοντος ἐν τῇ χώρᾳ στέλλεσθαι, καὶ παρ' ἑνὶ τῶν ἐξ ἡμῶν ὡρισμένων δικαστῶν, ψήφου περὶ τούτου γινομένης, τὰς μαρτυρίας δίδοσθαι, καὶ ἀπὸ ἐπαρχίας ἑτέρας εἰς ἑτέραν ἢ παρὰ τῷ ἐκδίκῳ ἢ παρὰ τῷ ἄρχοντι, ἐκ ψήφου τοῦ δικάζοντος τῶν μαρτύρων διδομένων· ἐκεῖσε δηλαδὴ τῆς αὐτο-

---

[26] Theoph. Inst. IV, 6, 2 ex Epan. h. t. c. 24. [27] Theod. Nov. 90 §. 10 ex Epan. h. t. c. 25. [28] Theod. Nov. 90 §. 11 ex Epan. h. t. c. 26. [29] Dig. XXII, 5, 3 §. 4 ex Epan. h. t. c. 27. [30] Dig. II, 11, 1 ex Epan. h. t. c. 28.

τέλους ψήφου διδομένης, ἔνθα καὶ προκατήρχθη, ἵνα ὥσπερ ἐντεῦθεν ἐν τῇ χώρᾳ παρὰ τοῖς ἄρχουσιν ἢ τοῖς ἐκδίκοις τὰ περὶ τῆς παραγωγῆς τῶν μαρτύρων πράττεσθαι νενομοθέτηται, οὕτω καὶ ἀπὸ χώρας εἰς χώραν καὶ ἀπὸ ἐπαρχίας ἐνταῦθα κρατύνει [31].

32. Ὁ ἅπαξ ἢ δὶς παραγαγὼν μάρτυρας ἐὰν ἀποτάξηται καὶ διασκέψηται διὰ τῆς ἐκδόσεως τῶν παραγραφῶν τῶν μαρτύρων καὶ μάθῃ τὰς μαρτυρίας, οὐ δύναται οὔτε διὰ βασιλικῆς ἀντιγραφῆς ἄλλους παραγαγεῖν μάρτυρας [32].

33. Ἐπειδὴ πολλάκις πολλοὶ μάρτυρας παραστησάμενοι καὶ τρισάκις τοῦτο πράξαντες, εἶτα μετὰ τὴν τρίτην τῶν μαρτύρων παραγωγὴν πειρῶνται ἡμῖν ἐνοχλεῖν βουλόμενοι τετάρτην παραγαγεῖν μαρτυρίαν, θεσπίζομεν τοὺς ἡμετέρους δικαστὰς τούτοις μάλιστα προσέχειν, καὶ εἰ τρισάκις ἤδη παρῆλθον οἱ μάρτυρες καὶ παρ' αὐτοῦ τοῦ τοὺς μάρτυρας ἐπαγαγόντος πάλιν αἰτεῖται μάρτυρας, τούτῳ παντελῶς μὴ προσίεσθαι, ὡς ὑποψίας οὔσης καὶ εἰς ἀνόρθωσιν καὶ προσθήκην ἀγομένων [33].

34. Ὁ προσάγων μάρτυρας ἔν τινι δίκῃ, ἐὰν ὕστερον ἐν ἑτέρᾳ δίκῃ κατ' αὐτοῦ προσφέροιντο, μὴ ἐχέτω ἐξουσίαν τούτους παραγράφεσθαι ὡς εὐτελεῖς τυχὸν ἢ ταῖς ἄλλαις ἐνεχομένους αἰτίαις, δι' ἃς ὁ νόμος εἰς ἄκυρον τὴν μαρτυρίαν ἀποφαίνει. εἰ μέντοιγε δείκνυσιν ἔχθραν ἐν αὐτοῖς γινομένην ποιοῦσαν ὕποπτον τὴν μαρτυρίαν, ἢ χρήματα προφανῶς λαβόντας διελέγχοι τοὺς κατ' αὐτοῦ μαρτυροῦντας, ἐξέστω τοὺς τοιούτους παραιτεῖσθαι μάρτυρας. εἰ δὲ καὶ δύναται ἀλλαχόθεν ψευδῆ τὰ παρ' αὐτῶν λεγόμενα δεῖξαι, ἀκώλυτος αὐτῷ ἡ γνώμη ἔστω [34].

35. Ἐάν τινες καθαρῶς ἐναντία σφισὶν ἑαυτοῖς ἢ καὶ ἀλλήλοις φθέγξοιντο, τοὺς δικαστὰς δεῖ τούτοις προσέχειν τοῖς λεγομένοις, καὶ εἰ περὶ τὰ καιριώτερα τῶν μαρτυρουμένων τὰς ἐναντιότητας εὕροιεν, ἐκβάλλειν μὲν τὰς τοιαύτας μαρτυρίας τοῖς παρὰ τῶν ἀξιοπιστοτέρων μαρτύρων καὶ πλειόνων προσέχοντας· εἰ δὲ ἐξεπίτηδες φανεῖεν κακουργοῦντες καὶ ἐντεῦθεν ἐκπίπτοντες εἰς ἐναντίωσιν, μηδὲ ἀθώους αὐτοὺς καταλιμπάνειν, εἴπερ μὴ κατά τινα πλάνην ὡς εἰκὸς [ἀλλ'] ἐξεπίτηδες τὰ ἐναντία δειχθεῖεν λέγοντες [35].

36. Ἡ ϛ φησὶ νεαρὰ, δύνασθαί τινα καὶ τετάρτην ποιεῖ-

---

[31] Nov. 90 c. 5 ex Epan. h. t. c. 29. [32] Theod. Nov. 90 §. 9 ex Epan. h. t. c. 30. [33] Nov. 90 c. 4 ex Epan. h. t. c. 31. [34] Cod. IV, 20, 17 ex Epan. h. t. c. 32. [35] Nov. 90 c. 3 ex Epan. h. t. c. 33.

σθαι μαρτύρων παραγωγὴν, ὀμνύντα μέντοι, ὅτι οὔτε ἐξελάβετο τὰς ἄλλας μαρτυρίας οὔτε ἐνέτυχεν αὐταῖς, οὔτε αὐτὸς οὔτε ὁ συνήγορος αὐτοῦ, οὔτε κατά τινα δόλον ἢ μηχανὴν τὴν τετάρτην παραγωγὴν αἰτεῖται ποιήσασθαι, ἀλλὰ διὰ τὸ μὴ δυνηθῆναι πρότερον ταῖς παρελθούσαις[36] *χρήσασθαι μαρτυρίαις*[37].

37. *Τοῖς μάρτυσι καὶ οὐ τοῖς ἐκμαρτυρίοις πιστευτέον· αὐτοπροσώπως γὰρ ἐρωτῶνται παρὰ τοῦ δικαστοῦ ἐπὶ τῶν ἐγκλημάτων, καὶ ὁ μὴ δεικνὺς τὸ παρ᾽ αὐτοῦ προτεθὲν ἐξορίζεται*[38].

38. *Οἱ ἄγνωστοι τῶν μαρτύρων καὶ βασανιζέσθωσαν εἰ δεήσοι*[39].

39. *Ἐὰν τοιοῦτόν ἐστι τὸ πρᾶγμα, ὥστε δέξασθαι μαρτυροῦντα κυνηγὸν ἢ τοὺς ὁμοίους, χωρὶς βασάνων οὐ πιστεύονται*[40].

40. *Ἐκ τῶν παρατίτλων τοῦ ε΄ τί.*[41]. — *Ἐπίσκοπος μὴ προσαγαγέσθω εἰς μαρτυρίαν, ἀλλὰ προτιθεμένων τῶν ἁγίων εὐαγγελίων ἐν τῷ ἰδίῳ ἐπισκοπείῳ παρόντων καί τινων προσώπων λεγέτω ἅπερ γινώσκει.*

41. *Ἐκ τοῦ η΄ τί. τῶν διατ.*[42]. — *Δύναται ἰουδαῖος καὶ σαμαρείτης καὶ πᾶς αἱρετικὸς ὑπὲρ ὀρθοδόξων καλεῖσθαι εἰς μαρτυρίαν, ἐπὶ χρηματικῆς δηλονότι δίκης.*

42. *Ὁ καταδικασθεὶς ἄρχων ἐν τῷ ἄρχειν περὶ ἀδικίας, ἐν διαθήκῃ μαρτυρεῖ, οὐ μὴν ἐν δικαστηρίῳ*[43].

43. *Καλῶς σφραγίζει ὁ μάρτυς δακτυλίῳ τοῦ διαθεμένου καὶ ἀλλοτρίῳ*[44].

44. *Οὐκ ἀναγκάζουσιν τὴν διάλεκτον τῆς μυστικῆς διαθήκης οἱ μάρτυρες εἰδέναι· ἀρκεῖ γὰρ αὐτοῖς νόησις δι᾽ ὃ προσεκλήθησαν. εἰ δὲ ἄκοντες ἐπισχεθῶσιν, οὐκ ἔῤῥωται ἡ διαθήκη*[45].

45. *Ὁ μάρτυς μὴ γράψας τὸ ἴδιον ὄνομα, ἀντὶ μηδὲ σφραγίσαντός ἐστι· καὶ ὁ προγράψας*[46].

46. *Ὁ μάρτυς σφραγίσας καὶ μὴ ὑπογράψας, ἢ ὑπογράψας καὶ μὴ σφραγίσας, δοκεῖ μὴ παρεῖναι*[47].

47. *Τοὺς εὐλαβεστάτους πρεσβυτέρους καὶ διακόνους, εἰ εὑρεθεῖεν ὑπὲρ χρηματικῆς αἰτίας ψευδομαρτυρήσαντες, μὴ*

---

[36] Lege ἐπαγγελθείσαις. [37] Epan. h. t. schol. b. [38] Dig. XXII, 5, 3 §. 3 ex Epan. h. t. c. 34. [39] Theod. Nov. 90 §. 2 ex Epan. h. t. c. 35.. [40] Dig. XXII, 5, 21 §. 2 ex Epan. h. t. c. 36. [41] Athan. V paratitl. §. 1. [42] Athan. VIII, 1 (Nov. 38). [43] Basil. XXXV, 1, 21. [44] Basil. cit. 23. [45] Basil. cit. 21. [46] Basil. cit. 23. [47] Basil. cit. 23.

μέντοιγε ὅρκῳ τὸ ψεῦδος βεβαιωσάμενοι, τούτους ἀρκέσει ἐπὶ βασάνων ἐπὶ τρεῖς ἐνιαυτοὺς χωρίζεσθαι τῆς θείας ὑπηρεσίας καὶ μοναστηρίοις παραδίδοσθαι. εἰ δὲ καὶ τῷ ψεύδει τὸν ὅρκον προσέθεσαν, ὁ κανὼν αὐτοὺς προεξέκοψε τῆς ἱερωσύνης. ἀλλ' οὕτω μὲν, εἰ χρηματικῆς δίκης προκειμένης. ὑπὲρ δὲ ἐγκληματικῶν αἰτιῶν εἰ ψευδομαρτυρίαν εἴποιεν ἐγγραψάμενοι, τοῦ κλήρου τούτους ἀπογυμνοῦσθαι· τοῖς δὲ λαϊκοῖς σφοδρῶς ἐπεξέρχεσθαι [48].

48. Ὁ κῆνσος καὶ τὰ δημόσια ὑπομνήματα ἐπικρατέστερα τῶν μαρτύρων εἰσίν [49].

49. Ἐκ τῶν περὶ ἀποδείξεων [50]. — Ἐάν τις διὰ τὸ μαρτυρῆσαί τινας ὡς ἀπολέσας συμβόλαια ἄγῃ, ἀγνοοῦσι δὲ ἐκεῖνοι τὴν τῶν συμβολαίων ἀλήθειαν, οὐ δύναται τοιούτῳ χρήσασθαι εἰς μαρτυρίαν, ὅτι διεμαρτύρατο τὴν τῶν συμβολαίων ἀπώλειαν.

50. Ἐν ταῖς γυμναζομέναις δίκαις τὴν αὐτὴν ἔχουσι δύναμιν ἥ τε πίστις τῶν συμβολαίων καὶ αἱ καταθέσεις τῶν μαρτύρων [51].

51. Οἱ μάρτυρες καὶ τὰ ἐκμαρτύρια τάξιν δικαιωμάτων ἐπέχουσιν [52].

52. Τὰ ἐκμαρτύρια ἐχέτωσαν μαρτύρων παρουσίαν καὶ κατάθεσιν καὶ ὑπογραφήν [53].

ΤΙΤΛΟΣ ια'.

Περὶ συμβολαίων.

1. Συμβόλαιόν ἐστιν ὑπόμνημα ἤτοι καταγραφὴ τῶν συμφωνηθέντων τε καὶ στοιχηθέντων μεταξὺ ἑκατέρων τῶν συμφωνούντων καὶ συμβαλλόντων. τὸ γὰρ μίγμα τῶν βουλευμάτων ἐκ τῶν συμβαλλόντων προσώπων γίνεται καὶ τὸ ἐκ τούτου ἔγγραφον σύνταγμα συμβόλαιον καλεῖται [1].

2. Κελεύομεν τὰς πράσεις καὶ ἐναλλαγὰς καὶ δωρεὰς καὶ δόσεις ἀῤῥαβώνων καὶ πάντα τὰ ἐγγράφως γινόμενα συναλλάγματα καὶ τὰς ἐγγράφως γινομένας διαλύσεις μὴ ἄλλως ἐῤῥῶσθαι, εἰ μὴ εἰς καθαρὸν ἐνεχθῶσι καὶ ὑπογραφῶσι παρ' ἑκατέ-

---

[48] Epan. IX, 12. [49] Basil. XXII, 1, 10. [50] Basil. eod. 72. [51] Basil. eod. 74. [52] Basil. eod. 30. [53] Athan. V, 5 (Nov. 90).

[1] Epan. XIII, 1.

ρων τῶν μερῶν, καὶ εἰ διὰ τοῦ ταβελλίωνος γίνονται τὰ ἔγγραφα, λάβωσι καὶ τὸ τοῦ ταβελλίωνος τέλεσμα [2].

3. Ἡ τῶν συμβολαίων ἀπώλεια οὐκ ἀναιρεῖ τὰς ἀγωγάς, ἐὰν δυνατόν ἐστιν ἑτέρως ἀποδειχθῆναι τὸ ἀληθές [3].

4. Ὁ ἐν ὑπομνήμασιν ὁμολογήσας μὴ κεχρῆσθαι συμβολαίῳ, οὐκ ἔτι αὐτῷ κέχρηται [4].

5. Ὥσπερ οὐ χρὴ καυθέντων τῶν γραμματείων τοὺς χρεώστας ἀρνεῖσθαι, οὕτως ἄδικόν ἐστι καὶ δανειστὴν λέγοντα ἀπολέσαι τὸ γραμματεῖον πιστεύεσθαι. ὀφείλει γὰρ ἄλλας προσφέρειν ἀποδείξεις [5].

6. Ἐὰν ὁ τὴν χρῆσιν ἔχων πωλήσῃ τὸν ἀγρὸν, οὗ τὴν χρῆσιν ἔχει, κἂν ἀπώλεσεν ὁ τὴν δεσποτείαν ἔχων τὰ δικαιώματα, ὅμως ἀποδεικνύων ἀλλαχόθεν τὴν ἀλήθειαν οὐδὲν ἐκ τοῦ τὴν χρῆσιν πωλήσαντος ὑφίσταται πρόκριμα [6].

7. Ἐὰν περὶ πίστεως συμβολαίου γένηται ζήτησις, καὶ εἰ εἷς τῶν δικαζομένων εἴποι ἐν ἄλλοις τόποις ἔχειν τοὺς τοῦ συμβολαίου μάρτυρας, κελεύομεν, ἵνα, εἰ ὁ δικαστὴς συνίδοι, πεμφθῶσιν οἱ πρωτότυποι ἢ οἱ κουράτωρες αὐτῶν ἐν οἷς τόποις οἱ μάρτυρες διάγουσιν, καὶ ἢ βεβαιωμένου τοῦ συμβολαίου ἢ μὴ βεβαιωμένου ὑποστρέψωσι, καὶ τότε γενέσθαι τὴν περὶ τοῦ γραμματείου ἀπόφασιν [7].

8. Εἴ τινες τῶν μαρτύρων ἐτελεύτησαν, διὰ συγγραφὰς ἑτέρων μαρτύρων καὶ γραμμάτων ἀνὰ δύο ἑκάστου μάρτυρος συγκρινομένων ἅμα τῷ συμβολαίῳ βεβαιούσθωσαν. εἰ δὲ αὗται οὐκ εἰσὶν, ἄκυρον εἶναι τὸ συμβόλαιον [8].

9. Κελεύομεν τὰς τῶν γραμματείων συγκρίσεις ἀπὸ ἀγοραίων γίνεσθαι συμβολαίων, καὶ μὴ ἀπὸ χειρογράφων, εἰ μὴ ἄρα τριῶν μαρτύρων ὑπογραφὰς ἔχουσι τὰ χειρόγραφα, καὶ αὐτοὶ οἱ ἴσως ὄντες μάρτυρες συνομολογήσουσιν, ὅτι ὑπέγραψαν, ἢ ἀρνούμενοι περὶ τῆς ἰδίας χειρὸς ἀπὸ συγκρίσεως τῶν ἰδίων γραμμάτων ἐλεγχθῶσιν. καὶ τότε μεθ' ὅρκου γίνεσθαι τὴν σύγκρισιν· ταῦτα δὲ θεσπίζομεν πράττειν καὶ ἐν τοῖς ἐφεξῆς χρόνοις [9].

10. Ἐάν τις παραγάγῃ χάρτην, καὶ ἀποδείξῃ τοῦτον ἀληθῆ εἶναι διὰ μαρτύρων ἢ συγκρίσεως, ὁ δὲ καθ' οὗ ὁ χάρτης

---

[2] Cod. IV, 21, 17 ex Epan. h. t. c. 2. [3] Cod. cit. 1 ex Epan. h. t. c. 3. [4] Cod. cit. 3 ex Epan. h. t. c. 4. [5] Cod. cit. 5 ex Epan. h. t. c. 5. [6] Cod. cit. 8 ex Epan. h. t. c. 6. [7] Cod. cit. 18 ex Epan. h. t. c. 7. [8] Non invenio. [9] Cod. IV, 21, 20 ex Epan h. t. c. 8.

προηνέχθη μετὰ ταῦτα πλαστὸν αὐτὸν διαβάλλειν βούλοιτο, ὀμνυέτω μὲν οὗτος πρὸ πάντων, ὅτι οὐ συκοφαντικῇ γνώμῃ τὸν χάρτην ἐπιζητεῖ· ὀμνύντος δὲ, ὁ τοῦ δικαιώματος δεσπότης ἀναγκαζέσθω ἐμφανίζειν αὐτὸν, εἰ μὴ ἄρα ὄμνυσιν αὐτὸς ἐκ τοῦ ἐναντίου τὸν χάρτην μὴ ἔχειν, ἀλλ' ὅτι οὐδὲ δόλῳ πλάττεται τὴν ἀλήθειαν τῆς ἀπωλείας. ὁ μέντοι διαβάλλειν ἐπιχειρῶν τὸν χάρτην πρὸ τελείας καταδίκης δύναται ἐπιζητεῖν αὐτὸν καὶ πρὸς τὴν διαβολὴν αὐτοῦ χωρεῖν. ἐὰν γὰρ ἡ καταδίκη παντελῶς προβῇ, καὶ μηδὲ ἔκκλητος παρακολουθήσῃ, οὐκ ἔστι τὸν ἅπαξ ἀποδειχθέντα ἀληθῆ χάρτην ὡς πλαστὸν αἰτιᾶσθαι [10].

11. Ἐκ τοῦ κβ' βι. τοῦ α' τί. — Ἐὰν περὶ ἡλικίας διάφορα προσφέρωνται ἔγγραφα, τὰ τῷ πιθανῷ συνᾴδοντα δεῖ προσδέχεσθαι μᾶλλον ἢ τὰ βλάπτοντα [11].

12. Ἡ ἀπογραφὴ τῆς μητρὸς καὶ τοῦ πάππου συμβάλλεται τῷ παιδίῳ [12].

13. Οὔτε ὁ δημόσιος οὔτε ἰδιώτης ἐκ τῶν ἰδίων ὑποσημειώσεων δύνανται ποιεῖσθαι χρέους ἀπόδειξιν κατά τινος· οἷον ἀπὸ τοῦ τοὺς τὰ δημόσια διοικοῦντας [ἐντάξαι] τοῖς δημοσίοις χάρταις ὅτι δεῖνα χρεωστεῖ τοσάδε, ἢ ἀπὸ τοῦ τὸν ἰδιώτην ἐντάξαι ὅτι ὁ δεῖνα χρεωστεῖ μοι [13].

14. Ἐάν τις προφέρει τινὰ γραφὴν ἐν δικαστηρίῳ, ὀφείλει αὐτὸς αὐτὴν ἀποδεικνύειν ἀληθῆ, ἐπεὶ εἰ μὴ τοῦτο ἀποδείξει, πλαστογραφίας δίκην ὑφέξει [14].

15. Ὁ ἐν ὑπομνήμασιν ὁμολογήσας μὴ κεχρῆσθαι συμβολαίῳ, οὐκέτι αὐτῷ κέχρηται [15].

16. Κἂν ἀπώλοντο τὰ δικαιώματα τῆς αὐτεξουσιότητος, οὐδὲν ὁ παῖς ἀδικεῖται [16].

17. Εἴ τις διάφορα ὑπὲρ ἑαυτοῦ προφέρει δικαιώματα, μάχονται δὲ ἀλλήλοις, ἀνίσχυρα ἔσται καὶ ἀνωφελῆ [17].

18. Ἐάν τις ἀπαιτούμενος ἐν δικαστηρίῳ προκομίσαι ἴδιον δικαίωμα, βλάβην μὲν ἑτέρῳ τινὶ παρέχον, ἑτέρῳ δὲ συμβαλλόμενον, ὁ δὲ οὐ βούλεται εὐλαβεῖσθαι λέγων τὴν ἀπὸ τῆς παραγωγῆς αὐτοῦ βλάβην ἐπὶ τὸ οἰκεῖον διαβαίνουσαν πρόσωπον, ὁ δὲ τὸ δικαίωμα ὑπὲρ ἑαυτοῦ ἐπιζητῶν διατείνοιτο βλά-

---

[10] Cod. cit. 21 ex Epan. h. t. c. 9. [11] Basil. XXII, 1, 13. [12] Basil. cit. 16. Nonnulli addunt §: Οὐκ ἀπὸ ἰσοτύπου ἢ ἰνδικοῦ ἀλλ' ἐκ τῶν αὐθεντικῶν ὁ δημόσιος ἐνάγει. Vide Basil. cit. 31. [13] Basil. cit. 41. [14] Basil. cit. 58. [15] Basil. cit. 62. [16] Basil. cit. 70. [17] Basil. cit. 73.

βην μὲν οὐδεμίαν ὑφίστασθαι τὸν αὐτοῦ δεσπότην, χρήμασι δὲ κλαπέντα ἢ ἄλλοις τισὶ τρόποις ζητούμενον αὐτὸν πλάττεσθαι δι' ἰδίαν βλάβην μὴ ἐμφανίζειν αὐτὸ, αὐτὸν δὲ διὰ τῆς ἀποκρυβῆς ζημίαν μεγίστην ὑφίστασθαι· κελεύομεν τὸν τὸ δικαίωμα ἔχοντα προκομίζειν. εἰ ἀληθῶς δὲ βλάβην ἐξ αὐτοῦ ὑποστῆναι θέλει, μὴ ἀναγκάζεσθαι προκομίζειν αὐτό· οὐδεὶς γὰρ ἀναγκάζεται ζημιῶσαι ἑαυτῷ. εἰ μέντοιγε ὁ τὸ συμβόλαιον ἐπιζητῶν ἐπ' ὠφελείᾳ τῇ ἑαυτοῦ διατείνοιτο ἐπιπλεῖον μηδὲν ζημιοῦσθαι τὸν δεσπότην ἐκ τῆς τοῦ συμβολαίου προσκομιδῆς, αὐτὸν δὲ ἐκ τοῦ μὴ ἐμφανίζεσθαι τὰ μέγιστα βλάπτεσθαι, ὅρκον ὀμνύσθω τηνικαῦτα ὁ τὸ συμβόλαιον ἔχων, ὡς περὶ τὴν ἰδίαν οὐσίαν βλαπτόμενος τὸν χάρτην οὐ παρέχει. ὁ δὲ ὅρκος ἐπ' ἀκριβείᾳ τελείσθω· ὥστε μὴ κερδαίνειν τὰ ἐπαγγελθέντα διὰ τὸ μὴ ἐμφανίσαι τὸν χάρτην ἢ τοιοῦτόν τι ὑπαινιττόμενος λεπτομερέστερον τὸν ὅρκον τελείτω, ὅτι οὔτε διὰ τὸ λαβεῖν χρήματα οὔτε διὰ τὸ ἐλπίζειν λαβεῖν οὔτε διὰ χάριν ἢ φόβον καθ' οὗ τὸ δικαίωμα ἐπιζητεῖται, [ἀλλὰ δι' οὐδὲν μὲν τῶν εἰρημένων παραιτεῖται τὴν προκομιδὴν τοῦ χάρτου,] πλὴν διὰ τὴν ἀληθῶς ἐλπιζομένην ἑαυτῷ γενέσθαι βλάβην, καὶ οὕτως τοῦ ὅρκου προελθόντος μηκέτι τὸν χάρτην ἀπαιτεῖσθαι αὐτόν. εἰ δὲ μήτε βούλοιτο τὸν ὅρκον ὑπέχειν, μήτε τὸ δικαίωμα ἐμφανίσαι, γινωσκέτω πᾶσαν τὴν ἐκ τῆς ἀποκρυβῆς τοῦ συμβολαίου ζημίαν γενομένην τῷ δεομένῳ οἴκοθεν αὐτὸς ἐπιδώσει, ὡς μὴ βουληθεὶς τὸ δικαίωμα προκομίσαι [18].

19. *Εἴ τις παρακαταθέσθαι ἀσφαλῶς βούλοιτο,* μὴ μόνον πιστευέτω τοῖς τοῦ λαμβάνοντος γράμμασιν, ἀλλὰ προσκαλείσθω καὶ μάρτυρας νόμῳ δεκτοὺς οὐκ ἐλάττους τῶν τριῶν, ἵνα μὴ ἐπὶ μόνου ἠρτήμεθα τοῦ γραμματείου καὶ τῆς τούτου αντεξετάσεως, ἀλλὰ τοῖς δικάζουσι καὶ ἡ παρὰ τῶν μαρτύρων βοήθεια εἴη, λεγόντων ὡς αὐτῶν παρόντων ὑπέγραψεν ὁ τὸ συμβόλαιον ποιησάμενος καὶ τοῦτο ἀκριβῶς γινώσκουσι. διὰ ταῦτα τοῦτο νομοθετοῦμεν εἰς τὸ ἀσφαλῶς εἶναι τὰ γραφόμενα συμβόλαια [19].

20. *Εἴ τις δανείσματος συμβόλαιον* ἢ ἄλλου τινὸς πράττοι καὶ μὴ βούλεται τοῦτο ἐπ' ἀγορᾷ συνθεῖναι, μὴ αὐτόθεν δοκείτω πιστὸν τὸ γραφόμενον, εἰ μὴ καὶ μαρτύρων ἔχει παρουσίαν ἀξιοπίστων οὐκ ἐλαττόνων τῶν τριῶν, ἵνα εἴτε αὐτοὶ πα-

---

[18] Cod. IV, 21, 22 ex Epan. h. t. c. 10. [19] Nov. 73 c. 1 ex Epan. h. t. c. 11.

ραγένοιντο καὶ τοῖς οἰκείοις μαρτυρήσαιεν γράμμασιν, ἢ ἕτεροί τινες μαρτυρῶσιν ὡς παρόντων αὐτῶν τὸ συμβόλαιον συνετάγη, καὶ τότε λαμβάνειν πίστιν διὰ τῶν μαρτύρων βεβαιούμενον [20].

21. Ὅταν ἕτερον μὲν ἡ παράθεσις τῶν γραμμάτων εἴπῃ, ἕτερον δὲ αἱ μαρτυρίαι, τηνικαῦτα ἡμεῖς οἰόμεθα τὰ παρὰ ζώσης φωνῆς λεγόμενα μεθ' ὅρκου ἀξιοπιστότερα εἶναι. πλὴν ἔστω τοῦτο τῆς τοῦ δικάζοντος ἁγνείας τε καὶ θεοφιλίας τὸ τοῖς ἀληθέσι μᾶλλον ἀντὶ τῶν ὑπόπτων πιστεύεσθαι [21].

22. Εἴ τις παρακατατιθέμενος ἢ δανείζων ἢ ἄλλως πως συμβάλλων ἀρκεσθῇ τοῖς γράμμασι μόνον τοῦ πρὸς αὐτὸν συμβάλλοντος, ἐπ' αὐτῷ κείσεται τὸ γινώσκειν ὡς εἰς τὴν ἐκείνου πίστιν τὸ πᾶν αὐτὸς ἀνηρτήσατο. καὶ ὅσον μὲν ἐκ τῆς γραφῆς οὐκ ἂν αὐτάρκης δόξειε κατὰ τὸν ἡμέτερον νοῦν τῷ συμβολαίῳ προστίθεσθαι πίστις. εἰ δὲ ἡ παρουσία τῶν μαρτύρων, ἐφ' ὧν τὸ συνάλλαγμα γέγονεν, ἢ ἡ τελευταία τοῦ πράγματος καταφυγὴ βοηθήσειεν αὐτῷ (φαμὲν δὲ τὴν ἐξ ὅρκου), οὐκ ἀκυροῦμεν τὸ γινόμενον· τὰς γὰρ παραποιήσεις εὐλαβούμενοι καὶ γυμναῖς οὔσαις αὐταῖς οὐ πιστεύοντες τὴν τοιαύτην ἀκρίβειαν τῷ γράμματι προστίθεμεν, οὐχ ἵνα τοὺς πιστεύοντας ἀφελώμεθα τὴν ἑαυτῶν εἰς τοὺς φίλους πίστιν, ἀλλ' ἵνα τὴν ἀγνωμοσύνην τε καὶ ἄρνησιν πολλοῖς ἐλέγχωμεν τρόποις [22].

23. Ἐπὶ τῶν γράμματα μὴ ἐπισταμένων δύο πάντως [ταβουλαρίους] καὶ μάρτυρας παραλαμβάνεσθαι χρή, ἐν οἷς εἰσὶ ταβουλάριοι τόποις. καὶ κελεύομεν μάρτυρας μάλιστα οὐκ ἀγνώστους τοῖς συμβάλλουσιν εἶναι, ἵνα οἱ μὲν γράφωσι περὶ τοῦ ἀγραμμάτου ἢ ὀλιγογραμμάτου καθεστῶτος, οἱ δὲ μαρτυρῶσιν ὡς καὶ παρόντων αὐτῶν ταῦτα ἐπράχθη καὶ εἰδεῖεν αὐτόν· καὶ οὕτως ἡ τῶν τοιούτων συμβολαίων εἰσδεχθείη πίστις· δηλονότι ὡς οὐκ ἐλαττόνων ε̄ μαρτύρων ἐπὶ τῶν τοιούτων ληφθησομένων, ἐν οἷς ἔσται καὶ ὁ γράφων ὑπὲρ τοῦ συμβάλλοντος ἢ τὸ πᾶν ἢ τὸ μετὰ ὀλίγα γράμματα τὰ παρ' ἐκείνου τεθέντα, ὥστε μηδὲν διαπεσεῖν τῆς εἰς ἄκρον ἀκριβείας. καὶ ταῦτά φαμεν ἐπὶ ἐγγράφων συμβολαίων. εἰ γὰρ ἀγράφως πρᾶξαι οἱονδήποτε συνάλλαγμα βουληθῇ, τοῦτο πρόδηλον ὡς καὶ τὴν διὰ μαρτύρων ἢ τὴν δι' ὅρκου δέξεται πίστιν, τοῦ ἐνάγοντος μάρτυρας παραγαγόντος, καθάπερ ἂν ὁ δικαστὴς τὴν ὑπό-

---

[20] Nov. 73 c. 2 ex Epan. h. t. c. 12. [21] Nov. 73 c. 3 ex Epan. h. t. c. 13. [22] Nov. 73 c. 4 ex Epan. h. t. c. 14.

θεσιν τάξειεν [23]. Σχόλιον. Ταῦτά φησιν ἡ νεαρὰ παρατηρεῖσθαι, ὅταν ἐν πόλεσι γένηται τὸ συνάλλαγμα καὶ ὑπερβαίνει μίαν χρυσίου λίτραν. ἐπείτοιγε ἐν ἀγροῖς ἢ χωρίοις καὶ ἐπ' ἐλάττονι ποσότητι καὶ δύο μάρτυρας ἀρκεῖν μόνους [24].

24. Ὁ δικαιώματα ἔχων εἴτε πράσεως εἴτε ἀγορασίας εἴτε κρίσεως, ἔπειτα τούτων οὐδὲν ἐπὶ κριτηρίου παραστὰς ἐμφανίζει, εἰ μὲν γινώσκων ἔχειν αὐτὰ μὴ προεκόμισεν, εἶτα κατεδικάσθη, οὐ δύναται ἐν ἐγκλήτῳ προσάγειν αὐτά· ὁ γὰρ τῶν ἰδίων ὀλιγωρήσας δικαιωμάτων αὐτὸς πρὸ τῶν ἄλλων τὴν ἐκείνων ἀσθένειαν ἐλέγχεται συνειδώς. εἰ δ' ἀγνοῶν, ὅτι ταῦτα ἔχει, διὰ τοῦτο οὐ προεκόμισεν, ὅρκῳ τὴν ἄγνοιαν βεβαιῶν δύναται ταῦτα καὶ μετὰ ταῦτα δικαστῇ ἐπὶ τῆς ἐγκλήτου προάγειν καὶ τὸ ἴδιον διεκδικεῖν δίκαιον [25].

25. Ὁ ἀποκρύπτων χάρτην ἐκλαβῆς αὐτοῦ ὡς ἐπηρεάζων τὸν πρωτότυπον ἐκπίπτει τῆς διακατοχῆς τοῦ ἐν αὐτῷ γεγραμμένου [26].

26. Ὅσα σύμφωνα γένηται ὑπεναντία τῶν νόμων ἢ τῶν καλῶν τρόπων, ταῦτα μηδεμίαν ἔχειν ἰσχὺν, ἀναμφιβόλου νόμου ἐστίν [27].

27. Πᾶν σύμφωνον, ἐν ᾧ ἐγγέγραπται ὁ τοῦ σταυροῦ σωτήριος τύπος ἢ τῆς θείας τριάδος ἐπίκλησις, πιστὸν καὶ ἰσχυρὸν καὶ ἀπαράβατον εἶναι διὰ τῶν ἐν αὐτῷ μαρτύρων βεβαιούμενον, κἂν ἡ τοῦ προστίμου ζημία οὐκ ἐνετέθη [28].

ΤΙΤΛΟΣ ιβ'.

Περὶ μνηστείας.

1. Μνηστεία ἐστὶ μνήμη καὶ ἐπαγγελία τῶν μελλόντων γάμων [1].

2. Καὶ ἐγγράφως καὶ ἀγράφως μνηστεία γίνεται [2].

3. Καὶ ψιλῇ συναινέσει συνίσταται μνηστεία, καὶ μεταξὺ ἀπόντων, ἐὰν μέντοι γινώσκοντες ὦσιν ἢ δεκτὸν ἡγήσωνται [3].

---

[23] Nov. 73 c. 8 ex Epan. h. t. c. 16. [24] Epan. h. t. schol. b. [25] Epan. h. t. c. 17. [26] Epan. h. t. c. 18. [27] Basil. XI, 1, 67. [28] Nov. Leonis 72.

[1] Dig. XXIII, 1, 1 ex Epan. XIV, 1. [2] Dig. cit. 7 pr. ex Epan. h. t. c. 2. [3] Dig. cit. 4. 5. ex Epan. h. t. c. 3.

4. *Μνηστεύεταί τις καὶ παρὼν δι' ἑαυτοῦ, καὶ διὰ μέσου, καὶ δι' ἐπιστολῆς* [4].

5. *Οἱ συναινοῦντες τῷ γάμῳ, καὶ τῇ μνηστείᾳ συναινοῦσιν· ἀεὶ δὲ συναινεῖ ὁ πατὴρ, εἰ μὴ ῥητῶς ἐναντιοῦται* [5].

6. *Διχονοοῦντος τοῦ ὑπεξουσίου οὐ γίνεται μνηστεία ὀνόματι αὐτοῦ* [6].

7. *Οἱ μνηστευόμενοι καὶ μὴ ἐμμένοντες τοῖς συναρέσασιν, ἀλλ' ἀνατρέποντες τὰ δεχθέντα, μὴ τοὺς ἀῤῥαβῶνας ζημιούσθωσαν μόνον, ἀλλ' εἰ καὶ προστίμοις ἑαυτοὺς ἐβάρησαν, ἐπιγινωσκέτωσαν τὸ τῶν προστίμων βάρος* [7].

8. *Ἐὰν ἐφίλησεν ὁ μνηστὴρ τὴν μνηστὴν ἐν τῷ τῆς μνηστείας καιρῷ, καὶ μετὰ τοῦτο ἕνα τῶν ἀμφοτέρων τελευτῆσαι συνέβη, τὸ ἴσως δοθὲν ὑπὲρ δωρεᾶς ἥμισυ ἀνατρέπεται, καὶ* [8] *τὸ ἕτερον ἥμισυ ἔχων ὁ ζῶν, ἑκατέρωθεν φυλαττόμενον τοῖς μέρεσι. φιλήματος δὲ μὴ γινομένου, τὸ πᾶν ἀπαιτεῖται παρεχόμενον ἐξ οὗτινος προσώπου κατεβλήθη* [9].

9. *Ἐνταῦθα λέγω τὸν πατέρα σιωπῶντα δέχεσθαι τὴν μνηστείαν τῆς θυγατρὸς δεικνὺς ταύτην μνηστεύεσθαι· τοῦτο δὲ γίνεται, ὅταν αὐτεξουσία ὑπάρχῃ* [10].

10. *Ὁ πατὴρ τῆς ὑπεξουσίας θυγατρὸς δύναται διαλύειν τὴν μνηστείαν, οὐ μὴν τῆς αὐτεξουσίας* [11].

11. *Παρὰ γνώμην τῆς ὀρφανῆς οὐ δύναται ὁ ἐπίτροπος συνιστᾶν ὑπὲρ αὐτῆς μνηστείαν. ἀλλ' οὐδὲ λύει τὴν γενομένην* [12].

12. *Ὁ γενόμενος ἐπίτροπος οὐ δύναται γαμεῖν τὴν ὀρφανὴν, οὔτε παῖδας αὐτοῦ ταύτῃ ζευγνύναι. τὸ αὐτὸ καὶ περὶ μνηστείας* [13].

13. *Ὡς ἐπὶ τῶν γάμων, οὕτως καὶ ἐπὶ τῆς μνηστείας οἱ συναπτόμενοι συναινοῦσι. τότε γὰρ λέγομεν συνίστασθαι μνηστείαν, ὅτε οἱ μνηστευόμενοι τοῖς τούτων γονεῦσιν οὐκ ἀντιλέγουσιν. δεῖ οὖν καὶ τοὺς ὑπεξουσίους συναινεῖν· δοκοῦσι δὲ τοῖς γονεῦσι συναινεῖν, εἰ μὴ ῥητῶς ἀντιλέγουσι. τότε γὰρ μόνον ἀντιλέγειν δύνανται, ὅτε τοὺς τρόπους αἰσχρὸν αὐτοῖς μνηστεύονται. αἰσχρῶν δὲ καὶ ἀναξίων [μὴ] ὄντων τῶν προσώπων,*

---

[4] Dig. cit. 18 ex Epan. h. t. c. 4. [5] Dig. cit. 7 §. 1 ex Epan. h. t. c. 5. [6] Dig. cit. 13 ex Epan. h. t. c. 6. [7] Nov. Leonis 18. [8] Verba *καὶ τὸ ἕτερον κτλ.* in nonnullis *σχόλιον* continere dicuntur. Nisi forte haec designatio ad c. 9 pertinet. [9] Basil. XXVIII, 3, 16. [10] Videtur pertinere ad c. 5. [11] Dig. XXIII, 1, 10 ex Epan. h. t. c. 7. [12] Dig. cit. 6 ex Epan. h. t. c. 8. [13] Dig. cit. 15 ex Epan. h. t. c. 9.

κἂν ἀποκλήρους ἑαυτοὺς τὰ τέκνα βούλοιντο ποιεῖν ἐπὶ τῷ μὴ τὴν γονὴν ἀλλὰ τὴν ἰδίαν γνώμην ἐκνικῆσαι, ἀνίσχυρον αὐτῶν εἶναι θεσπίζομεν διὰ παντὸς τὸ βούλημα. τὰ γὰρ ἐπὶ ἰδίᾳ καταστροφῇ καὶ ἀπωλείᾳ τῶν νέων ὁρμήματα παντὶ τρόπῳ κωλύειν οἱ νόμοι ἐγνώκασι. διχονοούντων δὲ τῶν γονέων πρὸς ἀλλήλους περὶ τῆς ἐκλογῆς, ἡ τοῦ πατρὸς γνώμη κρατεῖ [14].

14. Ὁ τὸ γινόμενον νοῶν καλῶς μνηστεύεται, τουτέστιν ὁ μὴ ὢν ἥττων τῶν ζ̄ ἐτῶν. εἰ μέντοι τῆς μνηστείας γενομένης ἔσωθεν τοῦ τρισκαιδεκάτου χρόνου τολμήσειέ τις τοῖς μνηστευομένοις ἢ τὴν εὐλόγησιν ἢ τὸ στεφάνωμα περιθεῖναι, ὡς τῶν θείων νόμων παραβαθέντων αὐτίκα ἡ μὲν γενομένη μνηστεία ἅμα τῇ δοκούσῃ συναφείᾳ διαλύεται, καὶ τὰ παρ' ἑκατέρου μέρους ἐν τῇ μνηστείᾳ συμβληθέντα πρόστιμα ὑπὲρ τοῦ τολμήματος ζημιούμενοι τῷ δημοσίῳ εἰσκομιζέσθωσαν. μηδὲ τοῦ τοῦτο τολμῶντος ἱερέως ἐπὶ τῇ τοιαύτῃ πράξει ἀνευθύνου ὄντος, ἀλλὰ τῇ αὐστηρίᾳ τῶν ἱερῶν κανόνων ὑποκειμένου [15].

15. Ὁ μνηστευσάμενος κόρην ἔφηβον, καὶ μὴ συμφωνήσας χρόνον ἐν τῇ μνηστείᾳ, ὀφείλει ταύτην, εἰ μὲν ἐν τῇ αὐτῇ ἐπαρχίᾳ διάγει, ἔσω διετίας γαμεῖν. εἰ δὲ ἐν ἀπουσίᾳ, εἴσω τριετίας. εἰ δὲ ὑπέρθηται, δύναται ἡ κόρη ἑτέρῳ συνάπτεσθαι [16].

16. Μνηστείας ἡγησαμένης, ἐξ εὐλόγου αἰτίας ὑπερτίθεται ὁ τῶν ἐφήβων γάμος, τυχὸν διὰ νόσον τοῦ μνηστῆρος ἢ τῆς μνηστῆς, ἢ θάνατον τῶν γονέων, ἢ διὰ κεφαλικὰ ἐγκλήματα ἢ μακρᾶς ἀποδημίας ἐξ ἀνάγκης γενομένης [17].

17. Ἡ μανία ἐμποδίζει τὴν μνηστείαν, ἐπιγινομένη οὐ λύει τὴν συστᾶσαν [18].

18. Ὁ μονάσας ἀζημίως λύει τὴν πρὸς αὐτὸν συστᾶσαν μνηστείαν. εἰ δὲ γήμας μονάσῃ, τῷ ἀπὸ τελευτῆς ὑποκείσεται κάσῳ· ἀμφοτέρων δὲ μονασάντων, ἀζημίως ὁ γάμος λύεται [19].

19. Τὸ πένθος τοῦ ἀνδρὸς οὐ κωλύει τὴν γυναῖκα μνηστευθῆναι [20].

20. Οἱ τῶν μαινομένων παῖδες, κἂν ὑπεξούσιοι ὦσιν, οὐ δέονται τῆς τῶν γονέων αὐτῶν συναινέσεως γάμον συναλλάσσοντες, δηλονότι καὶ μνηστείαν· ἀλλ' ἐν μὲν κωνσταντινουπόλει κρίσει τοῦ ἐπάρχου τῆς πόλεως, ἐν δὲ ταῖς ἐπαρχίαις κρί-

---

[14] Dig. cit. 11. 12 ex Epan. h. t. c. 10. [15] Dig. cit. 14 ex Epan. h. t. c. 11. [16] Cod. V, 1, 2 ex Epan. h. t. c. 12. [17] Dig. cit. 17 ex Epan. h. t. c. 13. [18] Dig. cit. 8 ex Epan. h. t. c. 14. [19] Athan. I, 2 (Nov. 123). [20] Dig. III, 2, 10 §. 1 ex Epan. h. t. c. 15.

σει τοῦ ἄρχοντος ἢ τοῦ ἐπισκόπου, παρουσίᾳ τοῦ κουράτορος τοῦ ἰδίου πατρὸς τὸν γάμον τελοῦσιν [21].

21. Οἱ τῶν αἱρετικῶν παῖδες, ἐὰν γένωνται χριστιανοὶ, ἀναγκάζουσι τοὺς ἰδίους γονεῖς τρέφειν αὐτοὺς καὶ ἐνδύειν, καὶ προῖκα ἢ πρὸ γάμου δωρεὰν ὑπὲρ αὐτῶν διδόναι κατὰ τὸ μέτρον τῆς αὐτῶν περιουσίας [22].

ΤΙΤΛΟΣ ιγ'.

Περὶ ἀῤῥαβώνων καὶ δωρεῶν μνηστείας.

1. Ὁ ἀῤῥαβὼν δεσμός ἐστι καὶ φύσιν ἔχει τοιαύτην. εἰ μὲν ὁ λαβὼν τὸν ἀῤῥαβῶνα παραιτήσεται, διπλάσιον ὅπερ ἔλαβεν ἀποδώσει, εἰ δὲ ὁ δεδωκὼς, ἀπόλλυσι τὸν ἀῤῥαβῶνα [1].

2. Ἐὰν μηδὲ παρ' αἰτίαν τοῦ ἀνδρὸς μηδὲ παρ' αἰτίαν τῆς γυναικὸς κωλυθῇ ἡ μνηστεία, ἀλλ' εἷς ἐκ τῶν δύο τελευτήσῃ, οὐκ ἀπόλλυται ὁ ἀῤῥαβὼν, ἀλλὰ μόνον αὐτὸ τὸ δοθὲν ἀποκαθίσταται [2].

3. Ἐὰν πατὴρ ὑπὲρ τῆς ἰδίας θυγατρὸς δεξάμενος ἀῤῥαβῶνα μήπω τῶν γάμων γενομένων τελευτήσῃ, εἶτα μετὰ τὸν ἐκείνου θάνατον ἢ ἐπίτροπος ἢ κουράτωρ παρασκευάσῃ λυθῆναι τὴν μνηστείαν, μὴ ἔχειν αὐτοὺς ἄδειαν τὰ ἐν τῇ ζωῇ τοῦ πατρὸς δοκιμασθέντα ἀνατρέπειν, ἵνα μηδὲν ἐκ τούτου πρόκριμα τῇ κόρῃ γένηται [3]. Σχόλιον. Εἰ μὴ ἄρα τὸ τελευτῆσαν πρόσωπον προβῆναι τοὺς γάμους παρενεπόδισεν ἐπίτηδες [4].

4. Ἐὰν γυνὴ αὐτεξουσία, τελείαν ἄγουσα τὴν ἡλικίαν, ἀῤῥαβῶνας δεξαμένη παραιτήσηται τὸν γάμον, διπλοὺς ἀναδιδότω τοὺς ἀῤῥαβῶνας. εἰ δὲ καὶ ἐλάττων οὖσα συγγνώμην ἡλικίας ᾔτησε καὶ ἀῤῥαβῶνας ἔλαβε, πάλιν τὸ διπλάσιον δώσει. [τοῖς μὲν ἀνδρᾶσιν] ἀπὸ κ̄ χρόνου ἕως εἰκοστοῦ πέμπτου, ταῖς δὲ θηλείαις ἀπὸ ιη̄ χρόνου μέχρι κε̄ ἔξεστιν αἰτουμέναις παρὰ βασιλέως ἀπώσασθαι τοὺς κουράτωρας αὐτῶν· οὗτοι γὰρ μόνοι τὴν τῶν ἰδίων πραγμάτων ποιεῖσθαι φροντίδα δύνανται, ὑπολήψεως ἀγαθῆς δηλονότι μαρτυρούμενοι· τηνικαῦτα δὲ μετὰ τὴν αἴτησιν πράττουσι τὰ τῶν τελείων, οὐ μέντοιγε χωρὶς δεκρέτου

---

[21] Cod. V, 4, 25 ex Epan. h. t. c. 16. [22] Cod. I, 5, 13. 19 ex Epan. h. t. c. 17.

[1] Cod. IV, 21, 17 ex Epan. XV, 1. [2] Cod. V, 1, 3 ex Epan. h. t. c. 2. [3] Cod. V, 1, 4 ex Epan. h. t. c. 3. [4] Epan. h. t. schol. a.

ἐκποιοῦνταί τι τῶν αὐτοῖς προσόντων. εἰ δὲ ἀφῆλιξ οὖσα συγγνώμην ἡλικίας οὐκ ᾔτησε, κἂν ἀῤῥαβῶνας ἔλαβεν, αὐτὸ τὸ ἁπλοῦν, ὅπερ ἔλαβεν, ἀποκαταστήσῃ. εἰ δὲ πατὴρ ἢ μήτηρ ἀῤῥαβῶνας ἔλαβεν ἢ πάππος ὑπὲρ ἐγγόνης, τελείας ὄντες ἡλικίας, καὶ αὐτοὶ εἰς τὸ διπλάσιον κατεχέσθωσαν, εἴπερ δυναμένων προβῆναι τῶν γάμων παραιτοῦνται ποιῆσαι. εἰ δὲ καὶ ἀνυπόστατος μέλλει ὁ γάμος εἶναι, αὐτοὶ οἱ ἀῤῥαβῶνες ἀναδιδόσθωσαν ἁπλοί. εἰ δὲ καὶ μὴ ἦν ἀνυπόστατος ὁ γάμος, δι' εὔλογον δὲ αἰτίαν παραιτοῦνται, εἰ μὲν ᾔδεισαν καὶ πρὸ τῆς μνηστείας τὴν αἰτίαν, ἑαυτοῖς ἐγκαλείτωσαν, διατὶ τὸν τοιοῦτον ἐμνηστεύσαντο. τὰ αὐτὰ δὲ καὶ ἐπὶ τοῦ μνηστῆρος λέγομεν τοῦ τὴν μνηστείαν παραιτουμένου [5].

5. Ἑαυτοῖς ἐγκαλείτωσαν ὑποκείμενοι τοῖς τῆς ζημίας ἐπιτιμίοις δηλονότι τὴν μνηστείαν διαλύοντες [6].

6. Εἰ καὶ νόμοις ἀπηγορευμένοι μή εἰσιν οἱ ἐλπισθέντες γάμοι, μετὰ δὲ τοὺς δοθέντας ἐπὶ μνήστροις ἀῤῥαβῶνας ἡ μνηστὴ τὴν συνάφειαν τοῦ μνηστῆρος διὰ τὴν αἰσχρὰν αὐτοῦ ἢ ἄσωτον ἀναστροφὴν ἢ τὴν τῆς θρησκείας ἢ τοῦ δόγματος διαστροφὴν παραιτεῖται, ἢ ὅτι ἀνὴρ συνάφειαν ἐξ ἧς ἐλπὶς γονῆς τίκτεται ποιεῖν οὐ δύναται, ἢ δι' ἄλλην εὔλογον παραιτήσεως αἰτίαν, εἰ μὲν ἀποδειχθῇ πρὸ τοῦ δοθῆναι τοὺς αὐτοὺς ἀῤῥαβῶνας τοῦτο αὐτὴν τὴν γυναῖκα ἢ τοὺς αὐτῆς γονεῖς ἐγνωκέναι, ἑαυτοῖς ὀφείλουσιν ἐγκαλεῖν. ἐὰν δὲ ταῦτα ἀγνοοῦντες τοὺς ἀῤῥαβῶνας ἐδέξαντο, ἢ μετὰ τὸ λαβεῖν αἰτία τὶς εὔλογος μεταμελείας παρενετέθη, αὐτῶν μόνων ἀποδιδομένων, περὶ τῆς ἄλλης καταβολῆς ἐλεύθεροι φυλαττέσθωσαν [7].

7. Οὐ χρὴ τοὺς ἄρχοντας ἐξ ἐκείνης τῆς ἐπαρχίας ἧς ἄρχουσι μνηστεύεσθαι. εἰ δὲ τοῦτο ποιήσουσιν, ἔξεστι τῇ κόρῃ καὶ τοῖς γονεῦσιν αὐτῆς ἢ ἐπιτρόποις ἢ κουράτωρσι παραιτεῖσθαι τὸν γάμον καὶ κερδαίνειν τοὺς ἀῤῥαβῶνας. τοῦ αὐτοῦ κρατοῦντος καὶ ἐπὶ υἱῶν αὐτῶν καὶ ἐγγόνων καὶ συγγενῶν καὶ δομεστίκων καὶ συγκαθέδρων καὶ ἐπὶ πάντων τῶν ἐν τῇ τάξει καὶ τῶν οἰκείων αὐτοῦ, ἐὰν κατὰ σπουδὴν καὶ ἀγῶνα τοῦ ἄρχοντος ἐμνηστεύσαντο. εἰ μέντοι καὶ μετὰ τὴν ἀρχὴν βούλεται ἡ κόρη συναφθῆναι αὐτῷ, ἔῤῥωται ὁ γάμος. τότε γὰρ κωλύεται τοῦτο, ὅτε φοβερὸς ἀπὸ τῆς δυναστείας τοῦ ὀφφικίου αὐ-

---

[5] Cod. V, 1, 5 ex Epan. h. t. c. 4. [6] Epan. h. t. schol. b. [7] Cod. V, 1, 5 ex Epan. h. t. c. 5.

τοῦ τοῖς τῆς κόρης γονεῦσιν ὑπάρχει· ἐὰν δὲ ἱκανὸς οὐκ ἦν τοῦ κολάσαι, συνίσταται ἡ μνηστεία [8].

8. Ἐὰν ὁ μνηστὴρ ἢ ἡ μνηστὴ μετὰ τὸ λαβεῖν τοὺς ἀῤῥαβῶνας ἢ καὶ δοῦναι αὐτοὺς τὸν μονήρη βίον ἀγαπήσῃ, ὁ μὲν μνηστὴρ ἀναλαμβάνει οὓς δέδωκεν ἀῤῥαβῶνας, ἡ δὲ μνηστὴ οὓς ἔλαβε μόνον, καὶ οὐ τὸ διπλοῦν ἀναγκάζεται παρέχειν. τὸ αὐτὸ καὶ ἐπὶ προστίμων [9].

9. Ὅσα ὁ ἀνὴρ δωρεῖται τοῖς γονεῦσι τῆς μνηστῆς ἐπὶ τῷ γενέσθαι τοὺς γάμους, ταῦτα μὴ γινομένων τῶν γάμων πρὸς αὐτὸν ἀναδίδονται [10].

10. Ἐὰν ὁ ἀνὴρ μὴ ὑποδεξάμενος προῖκα, μελλούσης αὐτῷ τῆς μνηστῆς γαμηθῆναι εἰ μὲν δωρήσεται αὐτῇ πρᾶγμα ἰδικῶς καὶ μετὰ ταῦτα δέξεται τοῦτο παρ᾽ αὐτῆς εἰς προῖκα, καὶ ἡ δωρεὰ τελεία ἐστὶν ὡς πρὸ τοῦ γάμου γενομένη, καὶ ἡ προῖξ συνίσταται ὡς ἐπιδόσεως προελθούσης. ἐὰν δὲ γράψῃ μόνον, ὅτι ὑπεδέξατο προῖκα, μηδὲν ὑποδεξάμενος, οὐδεμία ἐστὶν ἀπαίτησις τῶν μὴ ἐπιδοθέντων [11].

11. Γυνὴ μέλλουσα γαμεῖσθαι, δόλον ἐποίησε τῷ ἀνδρὶ περὶ τὴν ἰδίαν προῖκα, μηδὲν ῥητῶς ἐπαγγειλαμένη, ἀπατήσασα δὲ αὐτὸν ἐλπίδι μεγίστης προικός. διὰ τοῦτο καὶ ὁ ἀνὴρ ἐπηγγείλατο ψιλῶς ἢ καὶ ἐπηρωτήθη ὡς μνῆστρα δοῦναι τῇ γυναικὶ φανερὰν ποσότητα τυχὸν διακοσίων νομισμάτων· ἐπὶ τούτῳ συνέστη ὁ γάμος καὶ ἐτελεύτησεν ὁ ἀνὴρ ἐπὶ ἀδελφῷ. ἡ γυνὴ τοίνυν ἐκίνησε κατὰ τοῦ ἀδελφοῦ τοῦ ἀνδρὸς, ἀπαιτῆσαι βουλομένη τὰ ἐπαγγελθέντα αὐτῇ. ἀντιγράφει οὖν ἡ διάταξις πρὸς αὐτήν· ἐπεὶ ἐν τῇ ἐπερωτήσει τὸν ἄνδρα ἠπάτησας, οὐδὲν ὁ τοῦ ποτέ σου ἀνδρὸς ἀδελφὸς ὀφείλει σοι παρασχεῖν· μηδ᾽ ὁτιοῦν δοῦσα μηδὲν λαμβανέτω [12].

12. Ἡ διάταξις βούλεται τὸν προξενοῦντα γάμον μηδὲν λαμβάνειν. εἰ δὲ ὅλως ἐνίσταται λαβεῖν, εἰ μὲν συνεφώνησε περὶ τούτου, μὴ ὑπὲρ τὴν εἰκοστὴν μοῖραν τῆς προικὸς καὶ τῆς προγάμου δωρεᾶς λαμβανέτω. εἰ δὲ μηδὲν συνεφώνησε, μηδὲν ὅλως λαμβανέτω [13].

13. Ἐπειδὴ τῇ μνηστῇ δυνατὸν δωρεῖσθαι, οὐκέτι δὲ καὶ τῇ γαμετῇ, ἐζητεῖτο ἄρα, ἐὰν γένηται δωρεὰ ἐν αὐτῇ τῇ ἡμέρᾳ τῶν γάμων, ὡς πρὸς μνηστὴν γενομένη ἔῤῥωται ἢ ὡς πρὸς

---

[8] Cod. V, 2, 1 ex Epan. h. t. c. 6.
[9] Cod. I, 3, 54 ex Epan. h. t. c. 7.
[10] Cod. V, 3, 2 ex Epan. h. t. c. 8.
[11] Cod. V, 3, 1 ex Epan. h. t. c. 9.
[12] Cod. V, 3, 3 ex Epan. h. t. c. 10.
[13] Cod. V, 1, 6 ex Epan. h. t. c. 11.

γαμετὴν ἀνυπόστατός ἐστιν. λέγει τοίνυν ἡ διάταξις, ὅτι ἐν τῇ τοσαύτῃ ἀδηλίᾳ δεῖ ζητεῖν, ποῦ τῆς γυναικὸς οὔσης ἡ δωρεὰ γέγονεν· ἵνα εἰ μὲν ἐν τῷ ἰδίῳ οἴκῳ ἦν, δόξῃ πρὸς μνηστὴν ἡ δωρεὰ γενέσθαι, εἰ δὲ ἐν τῷ τοῦ ἀνδρὸς, πρὸς γαμετὴν, καὶ οὐκ ἔῤῥωται [14].

14. Οἱ δανεισταὶ τοῦ ἀνδρὸς, εἰ μὴ ὑποθήκας ἔχουσιν, οὐ δύνανται τὰ τῇ μνηστῇ παρ᾽ αὐτοῦ δωρηθέντα πράγματα ἀποσπᾶν [15].

15. Ἡ γενομένη παρὰ τοῦ πενθεροῦ ἢ τῆς πενθερᾶς πρὸς τὴν νύμφην ἢ τὸν γαμβρὸν δωρεὰ οὐδὲ ἀπὸ θείας ἀντιγραφῆς ἀναιρεῖται [16].

ΤΙΤΛΟΣ ιδ'.

Περὶ γάμου καὶ ἀκριβείας αὐτοῦ.

1. Γάμος ἐστὶν ἀνδρὸς καὶ γυναικὸς συνάφεια καὶ συγκλήρωσις πάσης τῆς ζωῆς εἴτε δι᾽ εὐλογίας εἴτε διὰ στεφανώματος ἢ διὰ συμβολαίου. τὰ δὲ παρὰ ταῦτα γινόμενα ὡς μηδὲ γεγονότα λογιζόμεθα [1].

2. Ἐντεῦθεν καινίζεται τοὺς κατωτέρω τῶν ἰλλουστρίων ἤγουν πρωτοσπαθαρίων καὶ ἀπὸ μόνης γαμικῆς διαθέσεως γάμον συνιστᾶν κατὰ τὴν ρι̅ζ̅ νεαράν [2].

3. Ἐννόμους γάμους μεταξὺ ἀλλήλων συνιστῶμεν, ἡνίκα τὰ περὶ γάμων τοῖς νόμοις διηγορευμένα φυλάξομεν. δεῖ δὲ τοὺς μὲν ἄῤῥενας ἐφήβους εἶναι, τὰς δὲ θηλείας ἀνδρὸς δεκτικὰς, τουτέστι τοὺς μὲν ὑπερβεβηκέναι τὸ ι̅δ̅ ἔτος, τὰς δὲ μείζους εἶναι τῶν ι̅β̅ ἐνιαυτῶν. ταῦτα δὲ λέγομεν, εἴτε αὐτεξούσιοί εἰσιν εἴτε ὑπεξούσιοι οἱ πρὸς γάμον συνιόντες [3].

4. Οὐ γίνεται γάμος, εἰ μὴ συναινέσουσιν οἱ συναπτόμενοι καὶ οἱ τούτους ἔχοντες ὑπεξουσίους [4].

5. Ὁ αὐτεξούσιος τελείαν ἄγων τὴν ἡλικίαν καὶ χωρὶς τῆς τοῦ πατρὸς συναινέσεως γαμεῖν δύναται [5].

---

[14] Cod. V, 3, 6 ex Epan. h. t. c. 12. [15] Cod. V, 3, 13 ex Epan. h. t. c. 13. [16] Cod. V, 3, 9 ex Epan. h. t. c. 14.

[1] Dig. XXIII, 2, 1 ex Epan. XVI, 1. [2] Epan. h. t. schol. a. [3] Inst. I, 10 pr. ex Epan. h. t. c. 2. [4] Dig. XXIII, 2, 2 ex Epan. h. t. c. 3. [5] Dig. eod. 25 ex Epan. h. t. c. 4.

6. Ἡ αὐτεξουσία τελείαν ἄγουσα τὴν ἡλικίαν καὶ ἄκοντος τοῦ πατρὸς νομίμῳ συνάπτεται ἀνδρί [6].

7. Ἐὰν ὁ πάππος μαίνηται, ὁ πατὴρ συναινεῖ. εἰ δὲ ὁ πατὴρ, ἀρκεῖ ὁ πάππος συναινῶν, εἰ φρονεῖ [7].

8. Ὅτε ὁ πατήρ ἐστιν ὑπεξούσιος τῷ πάππῳ δηλονότι [8].

9. Καὶ κατὰ τὰ παρ᾽ ἡμῶν ἀρτίως εὐσεβῶς νομοθετηθέντα, ὁ ἐν σωφροσύνῃ διάγων μὴ ἀναγκαζέσθω πρὸς γάμον ἐλθεῖν παρὰ τοῦ ἰδίου πατρὸς, κἂν ὑπεξούσιός ἐστιν [9].

10. Οἰκείᾳ γνώμῃ γαμεῖν ἡ ὀρφανὴ δύναται. ἡ γὰρ τῶν πραγμάτων αὐτῆς διοίκησις πρὸς τὸ ὀφφίκιον τοῦ κουράτωρος ἀναφέρεται, οὐ μὴν ὁ γάμος αὐτῆς [10].

11. Εἴσω τριετίας τοῦ αἰχμαλώτου μὴ ὑποστρέφοντος, οἱ παῖδες αὐτοῦ δύνανται γαμεῖν [11].

12. Ἐὰν ἐπὶ τριετίαν ὁ πατὴρ ἠγνόηται ποῦ διάγει καὶ εἰ περίεστι, δύνανται οἱ ἑκατέρας φύσεως αὐτοῦ παῖδες νομίμως γαμεῖν [12].

13. Υἱὸς ὑπεξούσιος ἀσώτως πολιτευόμενος μὴ παραιτείσθω γάμον [13].

14. Ἐὰν πρὸ τριετίας οἱ παῖδες τοῦ αἰχμαλώτου ἢ τοῦ ἀπόντος γαμήσωσι, καὶ δῆλόν ἐστι μὴ ἐπαρέσκειν τῷ πατρὶ τὸ πρόσωπον, οὐκ ἔῤῥωται ὁ γάμος [14].

15. Καὶ τοῖς πρὸ ἡμῶν νομοθέταις γέγραπται νόμος, ἥτις ἐστὶν ὑπερβᾶσα τὸν κε̅ τῆς ἡλικίας χρόνον, δύναται ἐπιῤῥίπτειν ἑαυτὴν, ᾧτινι βούλεται, μηδαμῶς ἐκ ταύτης τῆς αἰτίας δυναμένου τοῦ ταύτης πατρὸς γράφειν ἀπόκληρον. πλὴν καὶ τοῦτο θεσπίζομεν, ἵνα κἂν ὁ πατὴρ αὐτῆς περὶ τὸν γάμον ἐῤῥαθύμησε, μὴ ἐξεῖναι αὐτῇ ᾧτινι βούλεται ἑαυτὴν ἐπιῤῥίπτειν, ἀλλὰ μηνυέτω ἐν μὲν τῇ κωνσταντινουπόλει τῷ ἐπάρχῳ ἢ τῷ κοιαίστωρι, ἐν δὲ ταῖς ἐπαρχίαις τῷ κατὰ τὸν τόπον ἄρχοντι, καὶ αὐτοὶ ἀναγκαζέτωσαν τοὺς γονεῖς αὐτῆς ἐκγαμίζειν τε καὶ προικίζειν κατὰ τὴν τῆς περιουσίας αὐτῶν δύναμιν [15].

16. Ὁ γάμος καὶ χωρὶς προικῴων συμβολαίων συνίσταται, δηλονότι φυλαττομένης τῆς ἄλλης τοῦ νόμου παρατηρήσεως [16].

---

[6] Epan. h. t. c. 5. [7] Dig. cit. 9 pr. ex Epan. h. t. c. 6. [8] Epan. h. t. schol. b. [9] Proch. IV, 22. (Cf. Epan. h. t. not. 2.) [10] Dig. XXIII, 2, 20 ex Epan. h. t. 7. [11] Dig. eod. 9 §. 1 ex Epan. h. t. 8. [12] Dig. eod. 10 ex Epan. h. t. 9. [13] Proch. IV, 23. (Cf. Epan. h. t. not. 2.) [14] Dig. cit. 11 ex Epan. h. t. 10. [15] Proch. IV, 24. (Cf. Epan. h. t. not. 2.) [16] Epan. h. t. c. 11.

17. Τὸν γάμον οὐ τὸ συγκαθευθῆναι ἀλλήλοις ἄνδρα καὶ γυναῖκα συνίστησιν, ἀλλὰ τὸ γαμικῇ αὐτῶν διαθέσει [17].

18. Ἡ ἥττων τῶν ιβ ἐτῶν γαμηθεῖσα τότε γίνεται νόμιμος γαμετὴ, ὅτε παρὰ τῷ ἀνδρὶ τὰ ιβ ἔτη πληρώσει [18].

19. Ἡ ἐλάττων τῶν κε ἐνιαυτῶν αὐτεξουσία μέλλουσα δευτερογαμεῖν γνώμῃ τοῦ πατρὸς γαμείσθω. εἰ δὲ ἐτελεύτησεν ὁ πατὴρ, γνώμῃ τῶν συγγενῶν. εἰ δὲ ἐναντιοῦνται αὐτοῖς, ὁ ἄρχων κρινέτω τὴν βελτίονα γνώμην, ἵνα ἐὰν ἶσοι ὦσιν οἱ δύο μνηστῆρες, καὶ γένηται ἐπιλογὴ, προτιμᾶται ἡ τῆς γυναικὸς κρίσις [19].

20. Ὅτε περὶ γάμου τῆς ἀνήβου καὶ ὀρφανῆς κόρης ἀμφιβάλλουσι μήτηρ καὶ συγγενεῖς καὶ ἐπίτροποι, ὀφείλει ὁ ἄρχων τὰ περὶ τούτου διακρῖναι [20].

21. Εὕρομεν τοῖς ἀρχαίοις περιέχεσθαι νόμοις καὶ πρόσγε παρὰ τοῦ εὐσεβεστάτου ἰουστινιανοῦ κεκύρωται, δι᾽ οὗ καὶ μέχρι τετάρτου γάμου ἐξεῖναι παρεκτείνεσθαι τοῖς βουλομένοις τὰ συνοικέσια· ἴσως καταστοχαζομένου, ὡς τοῖς πολλοῖς εἰκὸς τοῦτο συμβαίνειν διὰ τὸ τὸ συνοικοῦν αὐτοῖς πρόσωπον ἀποβαλέσθαι, εἰ νέοι ἔτι τοῦτο πάθοιεν καὶ οὐδὲ ἀνθίστασθαι πρὸς τὰς τῆς φύσεως ὁρμὰς δύνανται, ὥστε τούτους συμβαίνειν τῶν σωφρόνων ἀποτρέπεσθαι γάμων, φοιτᾶν δὲ εἴς τινας μίξεις ἀπηγορευμένας. ἐχρῆν δὲ καὶ ἡμᾶς ὡς τῆς αὐτῆς φύσεως καὶ ἀσθενείας κεκοινωνηκότας τοῖς παλαιοῖς ἐμμεῖναι νόμοις· ἀλλ᾽ ὁρῶμεν θεῖον νόμον ἡμᾶς εἴργοντα. διὰ τοῦτο ἡ ἡμετέρα γαληνότης, ταῖς ἀνειμέναις τῶν ἐρώντων ἐπιθυμίαις ἐπιθεῖναι χαλινὸν βουλομένη, τοσοῦτον ἀπαγορεύει τὸ πρὸς τέταρτον συνοικέσιον ἀφικέσθαι τινὰ, ὥστε καὶ τοὺς εἰς τρίτον ἐλθόντας τοῖς ἐκκλησιαστικοῖς ὑποβάλλεσθαι κανόσιν. ὥστε οὖν τὰ αὐτὰ δίκαια προβαίνει καὶ ἐπὶ τρίτου συνοικεσίου, ὁπόσα καὶ ἐπὶ δευτέρου. ἔστω οὖν πᾶσι κατάδηλον, ὡς εἴ τις τολμήσειε πρὸς τέταρτον γάμον τὸν οὐ γάμον ἐλθεῖν, οὐ μόνον ἀντ᾽ οὐδενὸς ὁ τοιοῦτος γάμος λογισθήσεται, ἀλλ᾽ οὔτε οἱ ἐξ αὐτοῦ τεχθέντες παῖδες γνήσιοι γνωρισθήσονται, ὑποβαλλόμενοι ταῖς ποιναῖς τῶν μεμολυσμένων τοῖς τῆς πορνείας ῥυπάσμασιν, ἀπ᾽ ἀλλήλων τῶν τοιούτων προσώπων διϊσταμένων [21].

22. Ἐπειδὴ δὲ παρὰ τοῖς παλαιοῖς ἀνειμένην εὕρομεν τὴν

---

[17] Dig. L, 17, 30 ex Epan. h. t. c. 12. [18] Dig. XXIII, 2, 4 ex Epan. h. t. 13. [19] Cod. V, 4, 18 ex Epan. h. t. 14. [20] Cod. V, 4, 1 ex Epan. h. t. 15. [21] Proch. IV, 25. (Cf. Epan. h. t. not. 2.)

κοινωνίαν τῆς παλλακῆς πρὸς τὸν βουλόμενον αὐτῇ κοινωνεῖν, οὐκ ἔδοξεν ἡμῖν ἀμνημόνευτον ἐᾶσαι τὴν τοιαύτην νομοθεσίαν, ἵνα μὴ καταχραίνηται ἡμῶν ἡ πολιτεία γάμοις οὐκ εὐπρεπέσιν. ὅθεν κελεύομεν, ἀπὸ τοῦ νῦν μηδενὶ ἐξὸν ὑπάρχειν, παλλακὴν ἐν τῷ ἰδίῳ οἴκῳ κατέχειν· μικρὸν γὰρ ἢ οὐδὲν διαφέρειν τῆς πορνείας αὐτὸ νομίζομεν. ἀλλ' εἰ βούλοιτο αὐτῇ κοινωνεῖν, γαμικὸν ποιείτω πρὸς αὐτὴν συνάλλαγμα κατὰ τὴν τοῦ νόμου ἀκρίβειαν. εἰ μέντοιγε ἀναξίαν αὐτῷ ταύτην κρίνοι γυναῖκα ἔννομον κεκλῆσθαι, μηδεμίαν πρὸς αὐτὴν κατὰ συνουσίαν ἐχέτω κοινωνίαν, ἀλλ' ἀποδιωκέτω, καὶ λήψοιτο ἣν ἂν ἑαυτῷ κρίνοι λυσιτελές. εἰ δὲ σωφρόνως βιοῦν αἱρεῖται, εὐκτέον ἡμῖν τοῦτο [22].

23. Τὰ πένθη τῶν ἀνιόντων οὐκ ἐμποδίζει τοῖς γάμοις τῶν πενθούντων [23].

24. Ἡ μήτηρ τῆς ἐπιτροπευθείσης παιδὸς δύναται τῷ ἐπιτρόπῳ τῆς ἰδίας θυγατρὸς γαμηθῆναι [24].

25. Ἐὰν ἡ ἐπιτροπευθεῖσα παρά τινος λάβῃ τοὺς λογισμοὺς τῆς διοικήσεως καὶ ὑπερβῇ τὸν κε ἐνιαυτὸν, δύναται αὐτὴν ὁ τοῦ ἐπιτροπεύσαντος υἱὸς ἀγαγέσθαι [25].

26. Ἐὰν ἡ ὀρφανὴ πληρώσῃ τὸν κε χρόνον καὶ ἕτερον ἕνα ἐνιαυτὸν καὶ δώσει τοὺς λόγους ὁ ἐπίτροπος, δύναται ταύτην γαμεῖν [26].

27. Ὁ ἐλευθερώσας δούλην δύναται αὐτὴν ἀγαγέσθαι [γνησίας μὴ ὑπούσης αὐτῷ γονῆς], (ἀλλὰ καὶ γονῆς ὑπούσης ἐὰν γένηται προικῷον κατὰ τὴν νεαρὰν,) καὶ οἱ τεχθέντες παῖδες νόμιμοί εἰσιν [27].

28. Οἱ τοῦ ἄφρονος καὶ οἱ τοῦ μαινομένου παῖδες οἱασδήποτε φύσεως ὄντες δύνανται γάμοις ὁμιλεῖν, τῆς ὑπὲρ αὐτῶν προικὸς ἢ πρὸ γάμου δωρεᾶς κρίσει τοῦ ἐπάρχου τῆς πόλεως ἢ τοῦ κοιαίστωρος ἢ τοῦ κατὰ τόπον ἄρχοντος ἢ τοῦ ἐπισκόπου παρὰ τοῦ ἰδίου κουράτωρος διδομένης [28].

29. Μηδεὶς μυστικῶς στεφανούσθω, ἀλλὰ παρόντων πλειόνων. ὁ γὰρ τοῦτο κατατολμήσας ἐργάσασθαι, σωφρονιζέσθω τιμωρούμενος, δηλονότι τοῦ ἱερέως ὡς ἐν ἀπρεπέσιν ἑαυτὸν

---

[22] Proch. IV, 26. (Cf. Epan. h. t. not. 2.) [23] Dig. III, 2, 11 pr. ex Epan. h. t. 16. [24] Cod. V, 6, 2 ex Epan. h. t. c. 17. [25] Cod. V, 6, 6 ex Epan. h. t. c. 18. [26] Epan. h. t. c. 19. [27] Cod. V, 4, 15 ex Epan. h. t. c. 20 et schol. c. [28] Cod. I, 4, 28 ex Epan. h. t. c. 21.

ἐμβάλλοντος τὰς ἀξίας εὐθύνας εἰσπραττομένου κατὰ τῶν ἐκκλησιαστικῶν κανόνων διάταξιν [29].

30. Ὁ ἀδίκως κωλύων γαμεῖν ἢ γαμεῖσθαι τοὺς ἰδίους ὑπεξουσίους, ἢ μὴ διδοὺς προῖκα, διὰ τῶν ἀρχόντων ἀναγκάζεται ἐκγαμίζειν καὶ προικίζειν· κωλύειν δὲ δοκεῖ ὁ μὴ ζητῶν μνηστείαν [30].

31. Οὐ δύνανται οἱ παῖδες διαλύειν τοὺς ὑπὲρ ἑαυτῶν γάμους εἰς βλάβην καὶ ζημίαν τῶν ὑπὲρ αὐτῶν τὰς προῖκας καὶ πρὸ γάμου δωρεὰς ἐπιδεδωκότων [31].

32. Ἡ κατὰ γνώμην τοῦ πατρὸς συναλλάξασα γάμον δύναται καὶ παρὰ γνώμην τοῦ πατρὸς ἐπιμένειν τῷ γάμῳ, καὶ οὐ δοκεῖ προσκροῦσαι ὡς εὔλογον αἰτίαν παρεχομένη [32].

33. Ὁ αἰχμάλωτον ἀγοράσας καὶ ταύτῃ μιγεὶς ὡς γυναικὶ, ὡς προλήψει δοκῶν αὐτῇ συγχωρεῖν τὸ τίμημα εἰς τὴν φυσικὴν εὐγένειαν ἀνατρέχειν ταύτην συγχωρεῖ, καὶ τοὺς ἐξ αὐτῆς τικτομένους παῖδας νομίμους ἔχειν δοκεῖ [33].

34. Ἡ γυνὴ τοῦ γάμου συνεστῶτος ἐν ἀπορίᾳ τοῦ ἀνδρὸς τὰ ὑποκείμενα πράγματα τοῦ ἀνδρὸς ὑπὲρ τῆς προικὸς καὶ τῆς πρὸ γάμου δωρεᾶς καὶ τῶν ἐξωπροίκων ἐκδικήσασα ἤγουν καὶ κατέχουσα, οὐ δύναται ταῦτα ἐκποιεῖν, ἀλλ' ἐξ αὐτῶν ἀναγκάζεται καὶ τὸν ἄνδρα καὶ τοὺς παῖδας ἀποτρέφειν [34].

35. Εἴ τις ἄπορον γυναῖκα κατὰ τὴν τοῦ νόμου παρατήρησιν λάβοι καὶ αὐτῆς προτελευτήσοι, εἰ μὲν ἄχρι τριῶν παίδων ἔχει ὁ ταύτης ἀνὴρ εἴτε ἐξ αὐτῆς εἴτε ἐξ ἑτέρου συνοικεσίου, τὸ τέταρτον μέρος τῆς οὐσίας τοῦ ἀνδρὸς λαμβάνει, οὕτω μέντοιγε ὥστε μὴ ὑπερβαίνειν τῶν δύο τοῦ χρυσίου λιτρῶν ποσότητα. εἰ δὲ πλείονες ἦσαν οἱ παῖδες, τοσοῦτον ἐπὶ τοῦ τοιούτου θέματος λαμβάνειν κελεύομεν τὴν γυναῖκα, ὅσον ἑνὶ τῶν παίδων ἁρμόζει. οὕτω δηλαδὴ, ὥστε χρῆσιν μόνην ἐπὶ τοῖς τοιούτοις πράγμασι τὴν γυναῖκα ἔχειν, τὴν δεσποτείαν δὲ ἐκείνοις τοῖς παισὶ φυλάττεσθαι, οὓς ἐξ αὐτοῦ τοῦ γάμου ἔσχεν. εἰ δὲ τοιαύτη γυνὴ παῖδας μὴ ἔχῃ, κελεύομεν καὶ δεσποτείας δίκαιον ἔχειν αὐτὴν εἰς τὰ τοιαῦτα πράγματα τὰ ἐξ ἀνδρὸς περιελθόντα αὐτῇ [35].

36. Ἀπὼν ὁ ἀνὴρ δύναται διὰ μέσου καὶ δι' ἐπιστολῆς

---

[29] Proch. IV, 27. (Cf. Epan. h. t. not. 2.) [30] Dig. XXIII, 2, 19 ex Epan. h. t. c. 22. [31] Cod. V, 17, 12 ex Epan. h. t. c. 23. [32] Cod. III, 28, 18 ex Epan. h. t. c. 24. [33] Cod. III, 50, 13 ex Epan. h. t. c. 25. [34] Cod. V, 12, 29 ex Epan. XIX, 4. [35] Nov. 117 c. 5 (Proch. V, 6. Epan. XIX, 17.)

γαμεῖν, τῆς γυναικὸς εἰς τὸν οἶκον αὐτοῦ ἀνιούσης· ἡ δὲ γυνὴ ἐὰν ἀπολιμπάνηται, οὐ δύναται τοῦτο γενέσθαι· δεῖ γὰρ εἰς τὸν οἶκον τοῦ ἀνδρὸς ἀνελθεῖν τὴν γυναῖκα· καὶ ἐὰν ἀποθάνῃ πρὸ τοῦ ἐπανελθεῖν, πενθεῖται παρὰ τῆς γυναικὸς, καὶ συμβαίνει παρθένον προῖκα ἔχειν καὶ περὶ προικὸς ἀγωγήν [36].

37. Ἐὰν γυνὴ δι' ἐπιστολῆς ἢ δι' ἀγγέλου τὸν ἄνδρα προτρέψηται εἰς τὸν οἶκον αὐτῆς ἐλθεῖν, τῷ τρόπῳ τούτῳ γάμον συστῆναι οὐ δυνατόν. δεῖ γὰρ μᾶλλον τὴν γυναῖκα εἰς τὸν τοῦ ἀνδρὸς [ἀνελθεῖν] πεισθεῖσαν τοῖς αὐτοῦ γράμμασι. καὶ μήπω συναφείας ἐπακολουθησάσης συνίσταται μνηστεία [37].

38. *Νεαρὰ λέοντος.* — Εἴ τις εὐνοῦχος πρὸς γάμον ἥκων ὀφθείη, καὶ αὐτὸν μὲν τῇ τῆς πορνείας ὑποκεῖσθαι κολάσει, καὶ τὸν τολμήσαντα ἱερέα τοῦτο συναρμόσαι καθαιρεῖσθαι προστάσσομεν [38].

39. Τῆς μαινομένης ὁ γάμος μένει ἐῤῥωμένος καὶ καλῶς αὐτῇ στέλλεται διαζύγιον· ἔοικε γὰρ τῷ ἀγνοοῦντι. αὕτη δὲ οὐ στέλλει, οὔτε ὁ κουράτωρ αὐτῆς· οὔτε ὁ πατὴρ δύναται τοῦτο ποιεῖν [39].

40. Ἡ ἄσημος τουτέστιν ἡ ἄτιμος παῖς ἢ πατρώνισσα λαμβάνει τὸν ἴδιον ἀπελεύθερον. τοῦτο δὲ ἀπὸ διαγνώσεως τοῦ ἄρχοντος [40].

41. Οἰκείᾳ γνώμῃ ἡ ἀφῆλιξ γαμεῖν δύναται. ἡ γὰρ τῶν πραγμάτων διοίκησις πρὸς τὸ ὀφφίκιον τοῦ κουράτωρος φέρεται, οὐ μὴν ὁ γάμος αὐτῆς [41].

42. Ὁ πρὸς ἐλευθέραν μὴ ποιησαμένην πόρον ἐκ τοῦ σώματος ἔχων συνήθειαν, οὐ παλλακὴν ἀλλὰ γαμετὴν αὐτὴν ἔχειν δοκεῖ [42].

43. Φανερῶς δὲ δοκεῖ πόρον ποιεῖν οὐ μόνον ἡ ἑαυτὴν ἐν χαμαιτυπίῳ προστήσασα, ἀλλὰ καὶ ἡ τῆς οἰκείας αἰδοῦς ἐν ἐργαστηρίῳ μὴ φεισαμένη. καὶ ἡ διὰ χρημάτων πόρον ποιοῦσα καὶ ἐπιμίξασα τούτοις συναριθμεῖται, ἀλλὰ καὶ ἡ διὰ ἡδυπάθειαν τοῦτο ποιοῦσα. συγγινώσκεται ἡ λέγουσα, κατὰ πενίαν ἐπόρνευον [43].

44. Τοῖς κληρικοῖς ἐπιτέτραπται νομίμους ἔχειν γυναῖκας [44].

---

[36] Dig. XXIII, 2, 5—7 ex Epan. h. t. c. 26. [37] Dig. XXIII, 2, 7 ex Basil. XXVIII, 4, 6. [38] Nov. Leonis 98. [39] Dig. XXIV, 2, 4 ex Basil. XXVIII, 7, 11. [40] Dig. XXIII, 2, 13 ex Basil. XXVIII, 4, 10. [41] Dig. cit. 20 ex Basil. cit. 12. [42] Dig. cit. 24 ex Basil. cit. 13. [43] Dig. cit. 43 ex Basil. cit. [44] Proch. V, 1.

45. Ὁ πατὴρ ὁ μὴ ἐναντιούμενος τοῖς γάμοις τοῦ παιδὸς, συναινεῖν δοκεῖ καὶ τὸν ἐκ τούτου τικτόμενον ἔκγονον ἀναγκάζεται ἀποτρέφειν [45].

46. Ἡ τεκοῦσα ἐν τῷ πενθίμῳ, παραχρῆμα δύναται γαμεῖν [46].

47. Ἡ ἐν τῷ πενθεῖν τὸν ἄνδρα γεννήσασα, ἔτι κωλύεται πρὸς γάμον ἐλθεῖν ἕως οὗ χρόνος παρέλθῃ [47].

48. Αἱ τῶν πενθουμένων καὶ αἱ τῶν μὴ πενθουμένων ἀνδρῶν γαμεταὶ κωλύονται ἐν τῷ πενθίμῳ καιρῷ γαμεῖσθαι [48].

49. Ὁ μὴ ὢν ἐκτετμημένος, καὶ γαμεῖν δύναται καὶ προῖκα λαμβάνειν [49].

50. Μετὰ σύστασιν τοῦ γάμου καλῶς συμφωνοῦσιν, εἰ καὶ τὴν ἀρχὴν μηδὲν συνεφωνήθη [50].

51. Οἱ παῖδες τοῦ αἰχμαλώτου καὶ τοῦ μαινομένου μόνοι συμφωνοῦσι περὶ προικός [51].

52. Καὶ συνεστῶτος τοῦ γάμου δυνατὸν συμφωνεῖν τὴν διατετιμημένην προῖκα γενέσθαι ἀδιατίμητον καὶ τῇ γυναικὶ κινδυνεύειν. εἰ δὲ βλάψῃ τοὺς ἀγροὺς ὁ ἀνὴρ, ἐνέχεται τῇ περὶ τῆς προικὸς ἀγωγῇ [52].

53. Ὁ μαινόμενος ἔχει τοὺς παῖδας ὑπεξουσίους καὶ [τοὺς] πρὸ τῆς μανίας καὶ τοὺς μετὰ τὴν μανίαν. τὸ αὐτὸ κἂν ἡ γυνὴ μανῇ ἢ καὶ οἱ δύο. γαμεῖν μὲν ὁ μαινόμενος οὐ δύναται, ὁ συστὰς δὲ γάμος οὐ διαλύεται, εἰ ὕστερόν τις μανῇ. καὶ προσπορίζεται τῷ μαινομένῳ διὰ τῶν αὐτοῦ παίδων τὸ κέρδος, ὃ αὐτοὶ ἐπεκτήσαντο [53].

54. Οἱ ἀπὸ ἰλλουστρίων ἤτοι πρωτοσπαθαρίων καὶ πρὸς τὰ ἄνω χωρὶς προικῴων συμβολαίων οὐ δύνανται γαμεῖν. εἰ μέντοι προγεγαμηκότες ἔτυχον ἥττονες ὄντες ἀξίας καὶ μετὰ ταῦτα προβιβασθῶσι, καὶ χωρὶς τῶν προικῴων συμβολαίων τὸν γεγονότα ἐν αὐτοῖς γάμον ἔχουσι κεκυρωμένον [54].

55. Σχόλιον λέοντος [βασιλέως]. — Ὥστε οὖν ἡ δίχα τῆς παρατηρήσεως τῆς τοιαύτης συναπτομένη γυνὴ ἐπ' ἀνδρὶ τοιούτῳ οὐ γνησία γυνὴ ἔσται ἀλλὰ παλλακὴ, καὶ οἱ ἐξ αὐτῆς οὐ γνήσιοι παῖδες ἀλλὰ νόθοι· καὶ ἀποδιωχθήσεται ἀπὸ τοῦ

45 Cod. V, 4, 5 ex Basil. cit. 27. 46 Dig. III, 2, 11 ex Basil. XXI, 2, 11. 47 Dig. et Basil. cit. Cf. Epan. XVII, 26. 48 Dig. et Basil. cit. Cf. Epan. XVII, 27. 49 Dig. XXIII, 3, 39 §. 1 ex Basil. XXIX, 1, 35. 50 Dig. XXIII, 4, 1 pr. ex Basil. XXIX, 5, 1. 51 Dig. cit. 8 ex Basil. cit. 8. 52 Dig. cit. 29 pr. ex Basil. cit. 27. 53 Dig. I, 6, 8 ex Basil. XXXI, 1, 8. 54 Nov. 117 c. 4 ex Epan. h. t. c. 27.

ἀνδρός, κατὰ μὲν τοὺς παλαιοὺς εἴ γε βούλοιτο ἐκεῖνος, κατὰ δὲ τὸ νῦν καὶ εἰ μὴ βούλοιτο. καὶ παίδων μὲν γνησίων ὄντων τῷ ἀνδρὶ οὐδὲν λήψεται αὐτὴ σὺν τοῖς αὐτῆς παισὶν ἐκ τῆς ἐκείνου ὑποστάσεως ἐξ ἀδιαθέτου· ἀπὸ διαθήκης δὲ παῖδας μὲν ἔχουσα μίαν οὐγγίαν λήψεται σὺν αὐτοῖς, αὐτὴ δὲ μόνη οὖσα ἡμιούγγιον. γνησίων δὲ παίδων οὐκ ὄντων τῷ ἀνδρί, ἐξ ἀδιαθέτου μὲν δ̄ οὐγγίας σὺν τοῖς παισὶ λήψεται, αὐτὴ δὲ μόνη οὖσα οὐδέν· ἀπὸ διαθήκης δὲ πατέρων μὲν ὄντων τῷ ἀνδρὶ αὕτη σὺν τοῖς παισὶν ἢ καὶ μόνη τὸ ὀκταούγγιον λήψεται, μὴ ὄντων δὲ ἀνιόντων, εἴ γε βούλοιτο ὁ ἀνήρ, καὶ τὸ δωδεκαούγγιον ἢ συν τοῖς παισὶν ἢ καὶ ἄπαις οὖσα λήψεται μόνη. ταῦτα γάρ εἰσιν ἐπί τε παλλακῶν καὶ νόθων παίδων. εἰ μέντοι τὰ πάλαι προικῷα τῶν ἄρτι γαμικῶν στεφάνων καὶ εὐλογιῶν εἴτε κυριώτερα εἴτε ἀσθενέστερα πρὸς σύστασιν γνησίου γάμου ὦσιν, ἄδηλον. τοῦτο γὰρ νομοθετικῆς ἐπικρίσεώς τε ὁμοῦ καὶ δυνάμεως αὐτὸ ἀποφήνασθαι[55].

56. *Ὁ μεθ' ὅρκου ἐν τάξει γαμετῆς προσλαβόμενος γυναῖκα, καὶ τελευτῶν ἢ καὶ ἀλόγως αὐτὴν ἀποπεμπόμενος, [τὸ δ̄ αὐτῇ μέρος] δώσει τῆς οἰκείας περιουσίας, ἔχων καὶ τοὺς ἐξ αὐτῆς παῖδας γνησίους, τῆς γυναικὸς ἀναγκαζομένης ἀποδεῖξαι ὅτι ἀλόγως αὐτὴν ἀπεδίωξεν*[56].

57. *Ὁ ἐξ ἐννόμου γάμου τικτόμενος υἱὸς ἕπεται τῷ πατρί, ὁ δὲ πορνογενὴς τῇ μητρί*[57].

ΤΙΤΛΟΣ ιε'.

Περὶ γάμων κεκωλυμένων.

1. *Ἡ συγγένεια ὄνομά ἐστι γενικόν. διαιρεῖται δὲ εἰς τρία, εἰς ἀνιόντας, εἰς κατιόντας καὶ τοὺς ἐκ πλαγίου. καὶ ἀνιόντες μέν εἰσιν οἱ ἡμᾶς γεγεννηκότες, οἷον πατὴρ μήτηρ πάππος μάμμη καὶ οἱ τούτων ἀνώτεροι. κατιόντες δὲ οἱ ἐξ ἡμῶν γεννώμενοι, οἷον υἱὸς θυγάτηρ ἔκγονος ἐκγόνη προέκγονος προεκγόνη καὶ ἔτι τούτων κατώτεροι. ἐκ πλαγίου δὲ οἱ μήτε ἡμᾶς γεγεννηκότες μήτε ἐξ ἡμῶν γεννώμενοι, τῆς δὲ αὐτῆς ἡμῖν γονῆς καὶ ῥίζης κεκοινωνηκότες, οἷον ἀδελφὸς ἀδελφὴ θεῖος θεία*

[55] Epan. h. t. schol. d. [56] Athan. X parat. §. 11. [57] Dig. I, 5, 19 ex Basil. XLVI, 1, 15.

ἀνεψιὸς ἀνεψιὰ ἐξάδελφος ἐξαδέλφη καὶ οἱ ἐκ τούτων τικτόμενοι. ἑκάστη δὲ τάξις συγγενείας ποικίλους ἔχει καὶ διαφόρους βαθμούς. ἀλλ' ἐπὶ μὲν τῶν ἀνιόντων καὶ κατιόντων ἁπλουστέρα τὶς καὶ εὐχερὴς [ἡ κατάληψις τῶν βαθμῶν]· ἕκαστον γὰρ τούτων τῶν προσώπων βαθμὸν ἀποτελεῖ, καὶ ἁπλῶς ὅσαι γεννήσεις, τοσοῦτοι καὶ βαθμοί. δυσχερεστέρα δὲ καὶ οὐκ εὐκατάληπτος ἡ τῶν ἐκ πλαγίου βαθμῶν εὕρεσις· δεῖ γὰρ ἡμᾶς οὐκ εὐθέως τρέχειν ἐπὶ τὸ ἐκ πλαγίου πρόσωπον, ἀλλὰ πρότερον ποιεῖσθαι τὴν ἀνάβασιν ἐπὶ τοὺς ἀνιόντας μέχρις ὅτου φθάσωμεν ἐκεῖνο τὸ αἴτιον τῆς γεννήσεως τοῦ ἐκ πλαγίου, εἶτα τοῦτο εὑρόντας κατιέναι ἐπὶ τὸ ζητούμενον πρόσωπον τοῦ ἐκ πλαγίου, καὶ οὕτως πάσας συναριθμεῖν τὰς γεννήσεις τὰς συναγομένας τοῦτο μὲν ἐπὶ τῆς ἀνόδου τοῦτο δὲ καὶ ἐπὶ τῆς καθόδου· ἑκάστην γὰρ γέννησιν ἐν ἰδιάζοντι τάττων βαθμῷ ποιοῦ τὸν ἀριθμόν. καὶ ἐπὶ μὲν τῶν κατιόντων εὐχερὲς τοῦτο. οἷον ὁ υἱός μου πόστου ἐστὶ βαθμοῦ; ἐγὼ ἔτεκον· ἰδοὺ μία γέννησις ἕνα βαθμὸν ἀπετέλεσεν· οὐκοῦν πρώτου μου ἐστὶ βαθμοῦ. ὁ ἔκγονος πόστου; ἐγὼ ἐγέννησα τὸν υἱόν, ὁ υἱὸς τὸν ἔκγονον· ἰδοὺ δύο γεννήσεις δύο βαθμοὺς ἀπετέλεσαν· οὐκοῦν ὁ ἔκγονός ἐστι δευτέρου βαθμοῦ. τὸ αὐτὸ ἐφεξῆς ἐπὶ προγόνου καὶ ἀπεκγόνου. ὁμοίως καὶ ἐπὶ τῶν ἀνιόντων. ὁ πατὴρ πόστου ἐστὶ βαθμοῦ; ἐμὲ ἐγέννησεν ὁ πατήρ· ἰδοὺ μία γέννησις ἕνα βαθμὸν ἀπετέλεσεν, ὥστε οὖν πρώτου μου ἐστὶ βαθμοῦ. ὁ πάππος πόστου; ἐμὲ ἐγέννησεν ὁ πατήρ, τὸν πατέρα ὁ πάππος· ἰδοὺ δύο γεννήσεις δύο βαθμοὺς ἀπετέλεσαν· ἐστὶν οὖν ὁ πάππος δευτέρου βαθμοῦ. τὸ αὐτὸ καὶ ἐπὶ μητρὸς καὶ μάμμης καὶ πάντων τῶν ἀνιόντων ἀῤῥένων καὶ θηλειῶν. ἐπὶ δὲ τῶν ἐκ πλαγίου, ὡς εἴρηται, δεῖ ἀνιέναι ἐπὶ τὸ τῆς συγγενείας αἴτιον πρόσωπον, ἕως ἔλθωμεν εἰς τὸ πρόσωπον περὶ οὗ ἡ ζήτησις. εἰ γάρ τίς σε ἐρωτήσει· ὁ ἀδελφὸς πόστου σοι ἐστὶ βαθμοῦ; λέγε δευτέρου. διὰ τί; ἀνέρχου πρὸς τὸν πατέρα· ἰδοὺ μία γέννησις ἀπὸ τοῦ πατρὸς εἰς σὲ ἕνα βαθμὸν ἀπετέλεσεν. εἶτα ἐπειδὴ εὗρες τὸ αἴτιον τῆς γεννήσεως πρόσωπον, κάτελθε πρὸς τὸν ἀδελφὸν προστιθεὶς ἐνταῦθα ἑτέραν γέννησιν. ἰδοὺ δύο γεννήσεις δύο βαθμοὺς ἀπετέλεσαν· οὐκοῦν καλῶς εἴρηται, ὅτι ὁ ἀδελφὸς δευτέρου βαθμοῦ ἐστιν. πάλιν ἐάν τίς σε ἐρωτᾷ· ὁ θεῖος πόστου σοι ἐστὶ βαθμοῦ; λέγε τρίτου. ἀνάγκη γάρ σε ἀνιέναι ἐπὶ τὸν σὸν πατέρα καὶ λέγειν· ἐμὲ ἐγέννησεν ὁ πατήρ, τὸν πατέρα ὁ πάππος· ἰδοὺ δύο γεννήσεις· ὁ αὐτὸς πάππος τὸν ἐμὸν θεῖον· ἰδοὺ τρεῖς γεννήσεις τρεῖς βαθμοὺς ἀπετέλε-

σαν, ὥστε τρίτου μοι ἐστὶ βαθμοῦ ὁ θεῖος. οὕτω καὶ ἐπὶ τῶν ἑξῆς τῷ αὐτῷ προσέχων κανόνι δύνασαι καταλαβεῖν τοὺς βαθμούς [1].

2. *Τοὺς κεκωλυμένους βαθμοὺς ὁρίζομεν οὕτως· ἐπὶ μὲν τῶν ἀνιόντων καὶ κατιόντων εἰς ἀπέραντον ὁ γάμος κεκώλυται, εἰ καὶ μὴ ἐξ ἐννόμων γάμων ὦσιν. οὐ δύναται γὰρ λαμβάνειν τὶς τὴν ἰδίαν μάμμην, οὐδὲ τὴν ἐκγόνην, εἴτε φυσικαί εἰσιν εἴτε θεταί, κἂν μάλιστα ἡ θέσις ἐλύθη τῷ τρόπῳ τῆς αὐτεξουσιότητος. αἰσχυνέσθωσαν γὰρ νῦν τὴν πάλαι τοῦ πατρὸς ἢ τοῦ πάππου προσηγορίαν ἐπ' αὐτῷ καλεῖσθαι* [2].

3. *Καὶ μεταξὺ δὲ τῶν ἐκ πλαγίου προσώπων ἐστὶ κώλυσις. τὴν τοῦ ἀδελφοῦ γὰρ ἢ τῆς ἀδελφῆς θυγατέρα λαμβάνειν πρὸς γάμον οὐ θέμις* [3].

4. *Ἀλλ' οὐδὲ τὴν τούτων ἐκγόνην, εἰ καὶ μάλιστα τοῦ τετάρτου βαθμοῦ ἐστι, ἐξ οὗ δὴ βαθμοῦ δύναταί τις λαμβάνειν πρὸς γάμον, οἷον τὴν θυγατέρα τοῦ θείου ἢ τῆς θείας, τουτέστι τὴν ἐξάδελφον. ἀλλ' οὐδὲ ὁ υἱός μου τὴν ἐκγόνην αὐτῶν, οἵτινες λέγονται δισεξάδελφοι. κανὼν γὰρ ἔστω σοι καθολικός· ἐκείνου τοῦ προσώπου, οὗ τὴν θυγατέρα λαβεῖν οὐκ ἐχώρει σοι πρὸς γάμον, ἀλλ' οὐδὲ τὴν ἐκγόνην. ὡσαύτως καὶ ὁ υἱός σου* [4].

5. *Ἀλλ' οὐδὲ τὴν πρὸς πατρὸς ἢ πρὸς μητρὸς θείαν δυνατόν σοι λαβεῖν, κἂν θεταὶ ὦσιν, ἐπειδὴ μητέρων τάξιν ἔχουσι. καὶ πῶς συμβαίνει εἶναι θετὴν θείαν; οἷον ὁ πάππος μου ὁ πρὸς πατρὸς ἔχων υἱὸν τὸν ἐμὸν πατέρα ἔλαβε κόρην τινὰ εἰς θέσιν, καὶ ὁ μὲν ἐμὸς πατὴρ ἐκάλει αὐτὴν ἀδελφὴν, ἐγὼ δὲ θείαν* [5].

6. *Ὡσαύτως οὐδὲ τὴν μεγάλην θείαν δύναμαι λαβεῖν τουτέστι τὴν τοῦ πάππου ἀδελφὴν, εἰ καὶ θετή ἐστιν, ἐπειδὴ μάμμης τάξιν ἔχει* [6].

7. *Τοῦτο τὸ κεφάλαιον ἐν τοῖς ἰνστιτούτοις κατὰ τοιαύτην ἐῤῥέθη διάνοιαν, ὅτι δύναται μέν τις ἐκ τοῦ δ̄ βαθμοῦ οἷον τὴν ἐξάδελφον λαμβάνειν. τοῦτο γὰρ τότε οὐκ ἐκωλύετο. τὴν γὰρ ἐκγόνην τῆς ἀδελφῆς, κἂν τετάρτου βαθμοῦ ἐστιν, οὐδεὶς λαμβάνει· ἕτερος γὰρ τοῦτο κωλύει κανὼν, ὃν ἑξῆς φησιν. ἐπεὶ δὲ σήμερον οὐ μόνον ὁ τέταρτος κεκώλυται, ἀλλὰ καὶ ὁ ε̄ καὶ ὁ ϛ̄, περισσὸν οἶμαι*

---

[1] Theoph. Inst. III, 2 pr. ex Epan. XVII, 1. [2] Theoph. Inst. I, 10 §. 1 ex Epan. h. t. c. 2. [3] Theoph. cit. §. 2. 3 ex Epan. h. t. c. 3. [4] Theoph. cit §. 3 ex Epan. h. t. c. 4. [5] Theoph. cit. §. 5 ex Epan. h. t. c. 5. [6] Theoph. cit. ex Epan. h. t. c. 6.

καὶ τὸ εἰ καὶ μάλιστα, καὶ τὸ ἐξ οὗ βαθμοῦ δύναταί τις, ἀλλὰ καὶ αὐτὸς ὁ κανὼν βέλτιον οὕτως ῥηθήσεται· καὶ μεταξὺ τῶν ἐκ πλαγίου συγγενῶν ἐστὶ κώλυσις. τὴν τοῦ ἀδελφοῦ γὰρ ἢ τῆς ἀδελφῆς θυγατέρα λαμβάνειν πρὸς γάμον οὐ θέμις. οὐδὲ τὴν θυγατέρα τοῦ θείου ἢ τῆς θείας, τουτέστι τὴν ἐξάδελφον· ἀλλ' οὐδὲ ὁ υἱός μου τὴν ἐκγόνην αὐτῶν, οἵτινες λέγονται δισεξάδελφοι[7].

8. Τὸ ἐκ τετάρτου βαθμοῦ δύνασθαι λαμβάνειν πρὸς γάμον τῆς ἀρχαιοτέρας νομοθεσίας ὃν ἀνῃρέθη ὑπὸ τοῦ ἰσαυρικοῦ νόμου[8], ὃς καὶ πολιτεύεται νῦν μέχρι ἕκτου βαθμοῦ κωλύων τὸν γάμον. οἱ γὰρ δισεξάδελφοι ἕκτου εἰσὶ βαθμοῦ. ὥστε οὖν τὸ κἂν τετάρτου εἰσὶ βαθμοῦ καὶ τὸ ἐξ οὗ βαθμοῦ δύναμαι λαβεῖν ἀνῃρημένον.

9. Τὰ περὶ τῶν θετῶν θείων, σχεδὸν δὲ καὶ τὰ τῆς ἄλλης διὰ θέσεως συγγενείας ἀργεῖ σήμερον, ἐπειδὴ καὶ τὰ τῆς υἱοθεσίας παντελῶς ἐνηλλάγη, οὐχ ὑποκειμένων τῶν υἱοθετουμένων τῇ δουλείᾳ τῆς ἀρχαίας ὑπεξουσιότητος ἧς λυομένης καὶ αὐτὴ ἡ υἱοθεσία ἐλύετο, οὐδὲ κερδαινόντων τῶν θετῶν πατέρων τῆς τῶν θετῶν υἱῶν ὑποστάσεως.

10. Εἰσὶ δὲ καὶ ἕτεροι οὐ διὰ θεσμὸν συγγενείας διὰ δὲ ἀγχιστείαν μὴ προβαίνοντες γάμοι. ἀγχιστεία δέ ἐστιν οἰκειότης προσώπων ἐκ γάμων ἡμῖν συνημμένων συγγενείας ἐκτός. οἷον οὐ δύναμαι λαμβάνειν τὴν ἐμὴν προγονὴν ἢ νύμφην. καὶ προγονὴ μέν ἐστιν ἡ ἐξ ἄλλου ἀνδρὸς θυγάτηρ καὶ ἐκγόνη καὶ προεκγόνη τῆς γαμετῆς μου· νύμφη δὲ ἡ τοῦ υἱοῦ καὶ ἐκγόνου καὶ προεκγόνου γαμετή[9].

11. Πενθερά ἐστιν ἡ μήτηρ καὶ ἡ μάμμη καὶ ἡ προμάμμη τῆς γαμετῆς μου, καὶ οὐδεμίαν αὐτῶν δύναταί τις λαμβάνειν, ἐπειδὴ μητέρων τάξιν ἔχουσιν[10].

12. Ἐπὶ τῶν θετῶν συγγενῶν φασὶν οἱ παλαιοὶ τοὺς ἀνιόντας καὶ κατιόντας πρὸς τοὺς ἀλλήλων γάμους κωλύεσθαι, κἂν ἡ θέσις ἐλύθη δι' αὐτεξουσιότητος, ἐπὶ δὲ τῶν ἐκ πλαγίου τὸν θετὸν υἱὸν πρὸς μὲν [τὴν πρὸς πατρὸς θείαν κωλύουσι, κἂν αὐτεξούσιος γένηται, πρὸς δὲ τὴν πρὸς] μητρὸς θείαν κἂν ὑπεξούσιός ἐστιν οὐ κωλύουσι, τὴν ἀπὸ θηλυγονίας συγγένειαν οὐδὲ εἶναι πρὸς τὴν θέσιν λέγοντες·* ἀλλὰ καὶ τὸν πρὸς τοὺς ἀδελφοὺς γάμον, ἡνίκα ἡ θέσις λυθῇ, ἀκώλυτον ἡγοῦνται.

---

[7] Epan. h. t. schol. a. [8] Cf. Ecloga II, 2. [9] Theoph. cit. §. 6 ex Epan. h. t. c. 7. [10] Dig. XXIII, 2, 14 §. 3 ex Epan. h. t. c. 8.

ὁμοίως δὲ καὶ τὸν πρὸς τοὺς ἐξ ἀῤῥενογονίας ἀνεψιούς· τὸν γὰρ πρὸς τοὺς ἐκ θηλυγονίας καὶ συνεστώσης τῆς θέσεως οὐ κωλύουσι. καὶ τὸν μὲν δεσμὸν τῆς θέσεως τὴν ὑπεξουσιότητα νομίζουσι· μετὰ δὲ τὴν αὐτεξουσιότητα ἐξαλείφεσθαι τῆς θετῆς φαμιλίας φασὶ τὴν συγγένειαν. καὶ ταῦτα μὲν ἡ ἀρχαιότης. μήπω δὲ τῆς νεαρᾶς διαφορὰν ἔχοντας πάλιν τοὺς ἐξ ἀῤῥενογονίας πρὸς τοὺς ἐκ θηλυγονίας περὶ τὰς κληρονομίας εἰς ἀδιάφορον ὁμοιότητα μεθαρμοσάσης δοκεῖ σιωπηρῶς καὶ τὰ τῶν θετῶν διορθωθῆναι. καὶ μήποτε τῆς καθ' ἡμᾶς θέσεως ἐν ἁγίοις ναοῖς καὶ δι' εὐχῶν ὁσίων καὶ χειροθεσίας ἱερέων συνισταμένης, ἄλυτος ὁ δεσμὸς διαμένει, καὶ καθάπερ ἐπὶ τῆς φυσικῆς συγγενείας οὕτω καὶ ἐπὶ τῆς θετῆς τοὺς γάμους κωλύεσθαι [11].

13. *Οὐ μόνον ἡ τοῦ πατρὸς ἀλλὰ καὶ ἡ τοῦ πάππου γαμετὴ μητρυιὰ λέγεται, καὶ κωλύομαι λαβεῖν αὐτάς· κἂν πολλὰς ἔσχεν ὁ πατὴρ, οὐδεμίαν αὐτῶν λαμβάνω. ἀλλ' οὐδὲ τὴν μνηστὴν αὐτοῦ λαμβάνω* [12].

14. *Οὐδὲ τὴν μητέρα τῆς ποτε μνηστῆς. γέγονε γὰρ πενθερά* [13].

15. *Οὐδὲ τήν ποτε γυναῖκα τοῦ προγόνου* [14].

16. *Οὐδὲ ἡ μητρυιὰ λαμβάνει τὸν γενόμενον ἄνδρα τῆς προγονῆς* [15].

17. *Τὴν προεκγόνην τῆς ἀδελφῆς γαμεῖν οὐ δύναταί τις· γονέων γὰρ τάξιν ἔχει* [16].

18. *Οὐδὲ τὴν θυγατέρα τῆς ἀποζευχθείσης γυναικὸς τὴν μετὰ διάζευξιν [ἐξ ἑτέρου] ἀνδρὸς τεχθεῖσαν* [17].

19. *Οὐδὲ τὴν τοῦ πατρὸς ἢ ἀδελφοῦ μνηστὴν, κἂν γαμεταὶ αὐτῶν οὐ γεγόνασιν· ἡ μὲν γὰρ μητρυιᾶς, ἡ δὲ νύμφης τάξιν ἔχει* [18].

20. *Ὁ φυσικὸς πατὴρ οὐ λαμβάνει τὴν πορνογενῆ αὐτοῦ θυγατέρα· τὸ φύσει γὰρ δίκαιον καὶ εὐπρεπὲς ζητοῦμεν* [19].

21. *Τὴν ἐκ πορνείας ἀδελφὴν οὐδεὶς λαμβάνει. τὰ αὐτὰ καὶ περὶ δουλικῆς συγγενείας καὶ ἀγχιστείας* [20].

---

[11] Epan. h. t. schol. b. [12] Dig. XXIII, 2, 14 §. 3 ex Epan. h. t. c. 9. [13] Dig. cit. §. 4 ex Epan. h. t c. 10. [14] Dig. cit. 15 ex Epan. h. t. c. 11. [15] Dig. cit. ex Epan. h. t. c. 12. [16] Dig. cit. 39 ex Epan. h. t. c. 13. [17] Theoph. Inst. I, 10, 9 ex Epan. h. t. c. 15. [18] Theoph. cit. ex Epan. h. t. c. 16. [19] Dig. XXIII, 2, 14 §. 3 ex Epan. h. t. c. 17. [20] Dig. cit. 54 ex Epan. h. t. c. 19.

22. Ὁ θετὸς πατὴρ τὴν τοῦ υἱοῦ θυγατέρα ἢ ἐκγόνην λαμβάνειν οὐ δύναται [21].

23. Οὔτε ὁ θετὸς υἱὸς τὴν τοῦ πατρὸς μητέρα ἢ θείαν ἢ ἐκγόνην, εἰ καὶ μὴ ἅπτεται τοῦ γένους αὐτῶν [22].

24. Ὁ αὐτεξούσιος οὐ δύναται λαβεῖν τὴν γενομένην γαμετὴν τοῦ θετοῦ πατρὸς, ὥσπερ οὐδὲ τὴν αὐτοῦ ὁ ποιήσας αὐτὸν αὐτεξούσιον θετὸς πατήρ [23].

25. Οὐκ εὐπρεπῶς ἡ γυνὴ τοῦ ἰδίου πάτρωνος γαμεῖται τῷ ἀπελευθέρῳ αὐτοῦ, κἂν ἀποδῷ τοὺς λόγους [24].

26. Οὔτε ὁ πατὴρ τοῦ ἐπιτρόπου οὔτε ὁ συνυπεξούσιος ἀδελφὸς δύναται γαμεῖν τὴν ὀρφανήν [25].

27. Καὶ ὁ κουράτωρ τῆς γαστρὸς ἢ τῆς οὐσίας ὑπόκειται τῇ κωλύσει· χρεωστεῖ γὰρ ἀποδοῦναι τοὺς λόγους· καὶ ἀδιάφορον, εἴτε πολύν τις διῴκησε χρόνον εἴτε ὀλίγον [26].

28. Ὁ ἐπὶ μοιχείᾳ γυναικὸς κατηγορηθεὶς οὐ δύναται αὐτὴν γαμετὴν ἀγαγέσθαι [27].

29. Ὁ παρθένον ἢ χήραν ἁρπάσας οὐ δύναται ταύτην γαμεῖν, οὐδὲ συναινοῦντος τοῦ ταύτης πατρὸς καὶ συγχωροῦντος τὸ ἔγκλημα [28].

30. Ὁ τὴν ἰδίαν συγγάλακτον ἢ ἀναθρεπτὴν ἐλευθερώσας οὐ δύναται ταύτην πρὸς γάμον ἀγαγέσθαι [29].

31. Ὁ ἀπὸ τοῦ ἁγίου βαπτίσματος ἀναδεξάμενος οὐ δύναται αὐτὴν ὕστερον ἀγαγέσθαι, ὡς δῆθεν θυγατέρα αὐτοῦ γενομένην, οὐδὲ τὴν μητέρα ἢ θυγατέρα αὐτῆς. ἀλλ' οὐδὲ ὁ υἱὸς αὐτοῦ, ἐπειδὴ πατρικὴν ἔχει διάθεσιν [30].

ΤΙΤΛΟΣ ις'.

Περὶ προικός.

1. Ἡ διατετιμημένη προῒξ τῷ ἀνδρὶ κινδυνεύεται· κἂν ἀποθάνωσι τὰ ζῶα, κἂν ἡ γυνὴ τὴν ἐσθῆτα τρίψῃ, τὴν ἀποτίμωσιν αὐτῶν δίδωσιν [1].

---

[21] Dig. cit. 55 pr. ex Epan. h. t. c. 20. [22] Dig. cit. 55 §. 1 ex Epan. h. t. c. 21. [23] Epan. h. t. c. 22. [24] Dig. cit. 62 §. 1 ex Epan. h. t. c. 23. [25] Dig. cit. 67 §. 2 ex Epan. h. t. c. 24. [26] Dig. cit. ex Epan. h. t. c. 25. [27] Dig. cit. 26 ex Epan. h. t. c. 28. [28] Cod. IX, 13, 1 §. 1 ex Epan. h. t. c. 29. [29] Cod. V, 4, 26 ex Epan. h. t. c. 30. [30] Cod. cit. ex Epan. h. t. c. 31.

[1] Dig. XXIII, 3, 10 pr. ex Epan. XVIII, 1.

2. Διατιμήσεως γενομένης τὸ τίμημα χρεωστείσθω μόνον, εἰ μὴ τὸ ἐναντίον συνεφωνήθη ἢ οὐ δικαία γέγονεν ἡ ἀποτίμησις [2].

3. Διατιμηθείσης τῆς προικὸς αὐτῆς χρεωστείσθω ἡ διατίμησις καὶ μὴ τὰ πράγματα, κἂν μείωσιν ἢ αὔξησιν δέξωνται [3].

4. Τῆς δὲ ἀτιμήτου προικὸς καὶ ἡ αὔξησις καὶ ἡ μείωσις τὴν γυναῖκα ὁρᾷ. καὶ αὕτη λαμβάνει τὸν τοκετὸν τῶν δούλων, τοὺς δὲ καρποὺς καὶ τὴν γονὴν τῶν θρεμμάτων ὁ ἀνὴρ λαμβάνει, πρότερον μέντοι πληρῶν τὰ βάρη τῶν πρωτοτύπων καὶ ὑποβάλλων ἀντὶ τῶν τελευτώντων ἀπὸ τῶν ἐπιγινομένων. ἐὰν δὲ πρὸ τοῦ γάμου τελευτήσῃ τινὰ τῶν διατετιμημένων, ἡ γυνὴ ζημιοῦται [4].

5. Ἀγρὸς διατιμηθεὶς καὶ εἰς προῖκα δοθεὶς μηδὲ ἐκποιείσθω μηδὲ ὑποτιθέσθω, κἂν συναινέσῃ ἡ γυνή. καὶ τοῦτο μὴ ἐπὶ μόνου ἰταλικοῦ, ἀλλὰ καὶ ἐπὶ παντὸς κρατεῖ ἀγροῦ [5].

6. Ἐν ᾧ εὑρήσεις, ὅτι οἱ καρποὶ τῶν προικιμαίων πραγμάτων τῷ ἀνδρὶ διαφέρουσι, δηλονότι κἂν ἀδιατίμητά εἰσι. γνῶθι ὅτι καὶ τὴν τῆς προικὸς ζημίαν αὐτὸς ὑποστήσεται [6].

7. Ὁ ἀνὴρ τῆς προικὸς τοὺς καρποὺς λαμβάνει διὰ τὰ βάρη τοῦ γάμου. οἱ μέντοι πρὸ τοῦ γάμου ληφθέντες καρποὶ τῆς προικὸς γίνονται, εἰ μὴ τὸ ἐναντίον συνεφωνήθη [7].

8. Ἐὰν εἰς αὐτὸ τὸ δοῦναι περιγραφῇ γυνὴ, ἀναλαμβάνει τὸ πρᾶγμα· εἰ δὲ περὶ τὴν διατίμησιν, ἐπιλογὴν ἔχει ὁ ἀνὴρ ἢ τὸ πρᾶγμα ἀποδοῦναι ἢ τὴν διατίμησιν. εἰ δὲ δοῦλος ὢν ἴσως ἐτελεύτησε, μόνον τὸ συμφωνηθὲν δίδωσιν [8].

9. Ὅπου τὰ βάρη τοῦ γάμου, ἐκεῖ ἡ προῖξ ὀφείλει εἶναι. παραχρῆμα δὲ τοῦ ἀποθανεῖν τὸν πατέρα τῷ υἱῷ ἕπονται, ὥσπερ καὶ οἱ παῖδες καὶ ἡ γυνή [9].

10. Τῶν γάμων μὴ γενομένων οὐ τὴν διατίμησιν τῶν δοθέντων διατετιμημένων, ἀλλὰ τὰ πράγματα ἡ γυνὴ λαμβάνει [10].

11. Ἐὰν αὐτὸ τὸ πρᾶγμα τῆς προικὸς δοῦναι γράψῃ ὁ ἀνὴρ, ἡ γυνὴ ἀναλαμβάνει τὸ πρᾶγμα· εἰ δὲ τὴν διατίμησιν, ἐπιλογὴν ἔχει ὁ ἀνὴρ ἢ τὸ πρᾶγμα ἀποδοῦναι ἢ τὴν δικαίαν διατίμησιν [11].

---

[2] Cod. V, 12, 5. [3] Cod. V, 12, 10. [4] Dig. XXIII, 3, 10 §. 1—5 ex Epan. h. t. c. 2. [5] Cod. V, 13 §. 15. [6] Cod. V, 12, 10. Cf. (Theodori) Schol. 1 ad Bas. XXIX, 1, 97. [7] Dig. XXIII, 3, 7 pr. §. 1 ex Epan. h. t. c. 3. [8] Dig. cit. 12 §. 1 ex Epan. h. t. schol. a. [9] Dig. cit. 56 §. 1. 2 ex Epan. h. t. c. 4. [10] Dig. cit. 17 §. 1 ex Epan. h. t. c. 5. [11] Dig. cit. 12 §. 1 ex Epan. h. t. c. 6.

12. Ἐὰν ἀνδράποδα διατετιμημένα τῆς προικὸς λάβῃ ὁ ἀνὴρ, ἐφ᾽ ᾧ λυομένου τοῦ γάμου ἀποδοῦναι ὑπὸ τὴν αὐτὴν διατίμησιν, αὐτῷ ἐκκινδυνεύεται, καὶ ὁ τοκετὸς αὐτῶν παρ᾽ αὐτῷ μένει [12].

13. Μετὰ τὸν γάμον οὐ δύναται ὁ πατὴρ χείρονα τὴν αἵρεσιν ποιῆσαι προικὸς, ἐπειδὴ οὔτε καταβάλλεται αὐτῷ ἡ προῖξ ἀκούσης τῆς θυγατρός [13].

14. Μεταξὺ δούλων καὶ ἐλευθέρων οὐ συνίσταται γάμος οὔτε προῖξ οὔτε πρὸ γάμου δωρεά [14].

15. Ὁ πατὴρ προῖκα ἢ πρὸ γάμου δωρεὰν ὑπὲρ τῶν ἑαυτοῦ παίδων ἐπερωτώμενος δοκεῖ ἐκ τῆς ἰδίας ὑποστάσεως ταύτην ποιεῖσθαι. ὅθεν εἰ πράγματα ἔχει ὁ παῖς ἀπροσπόριστα, μένουσι σῶα, μὴ δυναμένου τοῦ πατρὸς μετὰ ταῦτα λέγειν ὡς ἐκ τούτων τήν τε προῖκα ἢ πρὸ γάμου δωρεὰν ἐποιησάμην. ἐχρῆν γὰρ ἐν τῷ καιρῷ τῆς ἐπερωτήσεως ταῦτα προειπεῖν [15].

16. Ἐὰν οἱ παῖδες ἔχωσιν ἴδια πράγματα εἴτε ἐκ μητρῴας εἴτε ἐξ ἑτέρας αὐτοῖς αἰτίας προσγεγονότα, ἐφ᾽ οἷς ὁ πατὴρ ἐξουσίαν ἔχει, ὅμως ἐν τῷ ἐπιδιδόναι αὐτὸν ὑπὲρ τῶν παίδων προῖκα ἢ πρὸ γάμου δωρεὰν, εἰ μὴ προσδιορίσηται πόθεν αὐτὴν ἐπιδίδωσιν, αὐτὸς οἴκοθεν ἀπαιτεῖται. εἰ δὲ προσδιοριζόμενος εἴπῃ, ἐκ τῶν ἐμῶν καὶ ἐκ τῶν τοῦ παιδὸς, τότε εἰ μὲν ἄπορός ἐστι παντελῶς ὁ πατὴρ, ἐκ τῶν πραγμάτων τοῦ παιδὸς δίδοται τὸ πᾶν, εἰ δὲ εὐπόρως ἔχει ὁ πατὴρ καὶ οὕτως ἀπαιτεῖται τὸ ὅλον. ἐχρῆν γὰρ αὐτόν, φησι, τῆς μὲν ἰδίας ἐπιδόσεως φανερῶσαι τὸ ποσὸν καὶ οὕτως τῷ παιδὶ συναινέσαι βουλομένῳ ἐκ τῶν ἰδίων ὁπόσον μέρος ἐπιδοῦναι [16].

17. Ἐὰν γνώμῃ τῆς αὐτεξουσίας μου θυγατρὸς ἐπιδώσω τὰ δωρηθέντα αὐτῇ παρ᾽ ἐμοῦ, οὐκ ἐγὼ ἀλλ᾽ αὐτὴ δεδωκέναι δοκεῖ [17].

18. Ἐὰν ἐξωτικὸς ἐπαγγειλάμενος προῖκα ἀπορήσῃ, ὁ ἀνὴρ ὡς μὴ ἀπαιτήσας ἐκκινδυνεύει, εἰ μὴ ἄρα κατὰ δωρεὰν ἐπηγγείλατο. τότε γὰρ τοῦ ἀνδρὸς φειδόμεθα ὡς μὴ καταναγκάσαντος πρὸς καταβολὴν τὸν δωρησάμενον, ἐπειδὴ καὶ οἱ δωρούμενοι μέχρις εὐπορίας καταδικάζονται [18].

19. Ὁ ἀνὴρ καὶ ἄπορος ὢν πᾶσαν τὴν προῖκα χρεωστεῖ [19].

---

[12] Dig. cit. 18 ex Epan. h. t. c. 7. [13] Dig. cit. 28 ex Epan. h. t. c. 8. [14] Athanas. X, 2 ex Nov. 22. [15] Cod. V, 11, 7 ex Epan. h. t. c. 9. [16] Cod. V, 11, 7 ex Epan. h. t. schol. b. [17] Dig. XXIII, 3, 51 ex Epan. h. t. c. 10. [18] Dig. cit. 33 ex Epan. h. t. c. 11. [19] Cod. V, 18, 8 ex Epan. h. t. c. 13.

20. *Ἐὰν ὁμολογήσῃ τὶς εἴσω ἐνιαυτοῦ διδόναι προῖκα, ὁ ἐνιαυτὸς οὐκ ἀπὸ τῆς ἡμέρας τῆς ἐπερωτήσεως, ἀλλ᾽ ἀπὸ τῶν γάμων ἀριθμεῖται* [20].

21. *Ὁ ἀνὴρ ἐπιτρέπων ἑτέρῳ τινὶ δοθῆναι τὴν προῖκα, αὐτὸς πιστεύεται αὐτὴν εἰληφέναι* [21].

22. *Ὁ ἐπερωτηθεὶς προῖκα τῷ γαμβρῷ αὐτοῦ καὶ πρὸ τοῦ ἐπιδοθῆναι αὐτὴν λεγάτον εἶναι ταύτην τῇ θυγατρὶ αὐτοῦ διαθέμενος, οὐ ποιεῖ τοῖς δυσὶν ἔνοχον τὸν ἴδιον κληρονόμον, ἀλλ᾽ εἰς μόνον ἀπαιτεῖται, ὡς συναρέσει αὐτοῖς* [22].

23. *Ὁ πενθερὸς ἀπὸ τοῦ γαμβροῦ καὶ ἡ γυνὴ ἀπὸ τοῦ ἀνδρὸς ἀπαιτούμενοι ἣν ἐπηρωτήθησαν προῖκα, πρὸς τὸ μέρος τῆς οὐσίας αὐτῶν καταδικάζονται* [23].

24. *Τοῦτο τὸ κεφάλαιον ἐν τῷ πλάτει οὕτως ἔχει. ἐὰν ὁ πατὴρ ὁμολογήσας προῖκα λεγατεύσῃ, εἰ μὲν τῷ γαμβρῷ, ἀνίσχυρον τὸ λεγάτον· οὐ γὰρ ἐῤῥωμένως τὶς λεγατεύει τῷ δανειστῇ αὐτοῦ ὅπερ αὐτῷ χρεωστεῖ· εἰ δὲ τῇ θυγατρὶ, ἔῤῥωται. ἡ μὲν γὰρ προῖξ τῷ ἀνδρὶ ἀπὸ τῆς ἐπερωτήσεως ἕπεται, τὸ δὲ λεγάτον τῇ θυγατρὶ κεχρεώστηται, καὶ λαμβάνει ἑκάτερον ἡ θυγάτηρ, ἐὰν δόξῃ τοῦτο βουληθῆναι τὸν πατέρα. εἰ δὲ ἓν ἠθέλησε δοθῆναι, εἰ μὲν θυγάτηρ ἀπαιτεῖ τὸ λεγάτον, οὐ λαμβάνει, εἰ μὴ ἀσφαλίσηται δεφενδεύειν τὸν κληρονόμον πρὸς τὸν ἄνδρα. εἰ δὲ ὁ ἀνὴρ κινεῖ, χωρὶς δεφενσίωνος λαμβάνει, καὶ μετ᾽ αὐτὸν ἡ θυγάτηρ ἐνάγουσα ἐκβάλλεται τῇ παραγραφῇ* [24].

25. *Τὰ ἐκ τῶν προικιμαίων χρημάτων ἀγορασθέντα προικιμαῖά εἰσιν* [25].

26. *Δοκεῖ πως τοῦτο ἐναντίον τῷ ἐν τῷ ε̄ βι. τοῦ κώδικος ὑπὸ Θαλελαίου λεγομένῳ, ὅτι τὸ ἐκ τῶν προικιμαίων νομίσματων ἀγοραζόμενον οὐκ ἐστὶ τῆς δεσποτείας τῆς γυναικός. καί φησιν, ὅτι τοῦτο μὲν, ἡνίκα ὁ ἀνὴρ ἀπορεῖ· χρεωστῶν γὰρ τὰ νομίσματα δίδωσιν αὐτὰ καὶ οὐ τὸ ἐκ τούτων ἀγορασθέν. τὸ δὲ ἕτερον, ἡνίκα παντελῶς ἀπορήσει ὁ ἀνὴρ θεματίζεται· μὴ γὰρ εὐπορῶν ἀναδοῦναι τὰ χρήματα, ὑπὸ τὴν τῆς γυναικὸς ἐξουσίαν ὅσα ἐξ αὐτῶν ἠγοράσθη καταλιμπάνει* [26].

27. *Συνεστῶτος τοῦ γάμου δύναται ἡ προῖξ ὑπὸ τῆς γυναικὸς κενοῦσθαι ἐκ τούτων τῶν αἰτιῶν· οἷον ἵνα ἑαυτὴν καὶ*

---

[20] Dig. XXIII, 3, 48 pr. ex Epan. h. t. c. 14. [21] Dig. cit. 22 §. 12 ex Epan h. t. c. 15. [22] Dig. XXXIII, 4, 1 §. 9 ex Epan. h. t. c. 16. [23] Dig. XXIV, 3, 17 ex Epan. h. t. c. 12. [24] Dig. XXXIII, 4, 1 §. 9 ex Epan. h. t. schol. c. [25] Dig. XXIII, 3, 54 ex Epan. h. t. c. 17. [26] Epan. h. t. schol. d.

τὸν ἄνδρα καὶ τοὺς ἰδίους παῖδας θρέψῃ, ἵνα ἀγρὸν ἐπιτήδειον ἀγοράσῃ, ἵνα τὸν ἐξόριστον πατέρα θρέψῃ, ἵνα τοὺς ἀδελφοὺς πενομένους ἐλεήσῃ. ταῦτα δὲ κρίσει τοῦ ἐπάρχου ἢ τοῦ κοιαίστορος ἢ τῶν ἀρχόντων ἢ τῶν ἐπισκόπων γίνεσθαι [27].

28. Τὸ λεγόμενον, ὅτι τὰ ἀναγκαῖα δαπανήματα τῷ αὐτῷ δικαίῳ μειοῖ τὴν προῖκα, τοῦτο δηλοῖ, ὥστε τὸν ἄνδρα παρακρατεῖν τὸν ἀγρὸν ἢ μέρος αὐτοῦ ἕως οὗ λάβῃ τὴν δαπάνην. εἰ δὲ κατὰ μέρος εἰς τὸν ἀγρὸν ἐδαπανήθη ὅσου ἦν ἄξιος, παύεται εἶναι προικιμαῖος, εἰ μὴ ἐντὸς ἐνιαυτοῦ παράσχῃ τὰς δαπάνας. εἰ δὲ ἦσαν σὺν τῷ ἀγρῷ καὶ χρήματα ἐν προικὶ, τὰ χρήματα μειοῦται. καταβαλλούσης δὲ τῆς γυναικὸς τὰς δαπάνας, ὑποστρέφει ὁ ἀγρὸς εἰς τὴν προῖκα. ἐν τῷ μεταξὺ δὲ κωλύεται ἡ ἐκποίησις αὐτοῦ [28].

29. Εἰ καὶ ἐν τῇ ἐξουσίᾳ τοῦ ἀνδρός ἐστιν ἡ προῖξ, ὅμως τῆς γυναικός ἐστι. ὅθεν ἐκδικουμένου τοῦ προικιμαίου ἀγροῦ ἡ γυνὴ κινεῖ περὶ ἐκνικήσεως· αὐτῇ γὰρ διαφέρει. ἐὰν γὰρ μὴ ἐκνικήσῃ, παύεται αὐτὸν ἔχειν ἐν προικί. ἐν ὅσῳ δὲ παρὰ τῷ ἀνδρί ἐστιν ἡ γυνὴ, τὸ κέρδος αὐτοῦ ἔχει ὁ ἀνὴρ διὰ τὰ βάρη [29].

30. Ἐὰν γυνὴ κατ᾽ ἀψιμαχίαν λαβοῦσα τοὺς παῖδας ἀναχωρήσῃ τοῦ ἀνδρὸς, ὁ δὲ ὥσπερ ἀγοράζων τὴν φιλίαν αὐτῆς συμφωνήσῃ μὴ ἀπαιτεῖσθαι τὴν προῖκα, εἴγε πρὸς αὐτὸν ἐπιστρέψει, οὐκ ἔῤῥωται τὸ σύμφωνον [30].

31. Ἐάν τις συμφωνήσῃ πρὸς τὸν πενθερὸν, ἵνα ἐὰν συμβῇ αὐτὸν ἐν τῷ γάμῳ τελευτῆσαι παίδων αὐτῷ ὑπόντων, τὸ ἥμισυ τῆς προικὸς μόνον ἀποδοθῇ, ἄχρηστόν ἐστι τὸ σύμφωνον [31].

32. Ἐὰν ὁ ἀνὴρ συμφωνήσῃ πρὸς τὴν γυναῖκα, ἵνα τελευτῶσαν αὐτὴν κληρονομήσῃ, τὸ σύμφωνον τοῦτο ἄχρηστόν ἐστιν. οὐδὲ γὰρ δυνατὸν διὰ συμφώνου τυποῦσθαι τὰ περὶ τῆς ἡμετέρας κληρονομίας. ἐξωτικὸς γὰρ ἄνθρωπος διαθήκης χωρὶς ἕτερον οὐ δύναται κληρονομῆσαι· ἡ γὰρ κληρονομία τοῖς ἐξωτικοῖς ἐν διαθήκῃ δίδοται [32].

33. Ἐὰν γένηται σύμφωνον, ἵνα προτελευτώσης τῆς γυναικὸς ἡ προῖξ ἀπομένῃ τῷ ἀνδρὶ, ἐὰν παρὰ τοῦ πατρὸς δέδοται ἡ προῖξ, ἔῤῥωται τὸ σύμφωνον καὶ ἀποκλείεται ὁ πατήρ. δυ-

---

[27] Dig. XXIII, 3, 73 §. 1 ex Epan. h. t. c. 18. [28] Dig. cit. 56 §. 3 ex Epan. h. t. c. 19. [29] Dig. cit. 75 ex Epan. h. t. c. 20. [30] Dig. XXIII, 4, 27 ex Epan. h. t. c. 21. [31] Cod. V, 14, 3 ex Epan. h. t. c. 22. [32] Cod. cit. 5 ex Epan. h. t. c. 23.

νατὸν γὰρ βλάπτεσθαι ἀπὸ συμφώνου τὴν προῖκα, ὅτε μόνος ὁ πατὴρ ὁ ταύτην οἴκοθεν δεδωκὼς μέλλει περὶ αὐτῆς ἐρευνᾶν [33].

34. Ἐὰν συμφωνηθῇ ἐξ ἀπαιδίας κερδᾶναι τὸν ἄνδρα τὴν προῖκα, καὶ ναυαγήσῃ ἡ γυνὴ μετὰ ἐνιαυσιαίου παιδὸς, δοκεῖ προτελευτᾶν τῆς μητρὸς ὁ παῖς, καὶ κερδαίνει ὁ ἀνήρ [34].

35. Ἐκ τοῦ ιη΄ τί. β΄ κεφ. τῶν διατ. — Ὁ προῖκα ποιήσας τῇ ἰδίᾳ δούλῃ, ἐλευθέραν αὐτὴν καὶ νόμιμον παρασκευάζει γαμετὴν, καὶ τοὺς παῖδας ἐλευθέρους τε καὶ γνησίους [35].

36. Περὶ προικὸς τοῦ πλάτους. — Τῆς προικὸς μὴ ἐπιδοθείσης ἐν συνεστῶτι τῷ γάμῳ, εἰ μὲν πρὸ τριετίας τελευτήσῃ ὁ ἀνὴρ, οὐδεμίαν μέμψιν ἔχει ὡς μὴ ἐπιζητήσας τὴν προῖκα. εἰ δὲ ἐπέζησεν ἐν τῷ γάμῳ ἐνήλικος ὢν ἕως δεκαετίας, αὐτὸς ὑπόκειται ἐκ τῶν ἰδίων καὶ ὅθεν δύναται πληροῖ τῇ γυναικὶ τὴν προῖκα. εἰ δὲ ἀνήλικος ἦν ἐν συνεστῶτι τῷ γάμῳ, μετὰ τὴν ἐνηλικιότητα ἐχέτω δεκαετίαν, καὶ εἰ μηδὲ τότε ἀπαιτήσῃ τὴν προῖκα, πάλιν αὐτὸς ὑποκείσθω τῇ γυναικί. εἰ δὲ μήτε κατὰ τὴν δεκαετίαν ἐν ὅλῃ τῇ συστάσει τοῦ γάμου ἀνήλικος, μήτε μετὰ τὴν ἐνηλικιότητα καὶ τὴν προσθήκην τῆς δεκαετίας μηδὲν ἀπαιτήσας, τελευτήσῃ, πρὸς τοὺς κληρονόμους αὐτοῦ ἔστω ἡ ζημία. ἐλλιποῦς δὲ τοῦ χρόνου ὄντος, εἴτε τοῦ ἀπὸ τῆς ἀρχῆς τοῦ γάμου ἀνηλίκου ὄντος εἴτε τοῦ ἀπὸ τῆς ἀνηλικιότητος προκόψαντος εἰς τὸν ἐνήλικον χρόνον, συμπληρούσθωσαν μετὰ θάνατον αὐτοῦ οἱ εἰρημένοι χρόνοι, καὶ τότε οἱ κληρονόμοι αὐτοῦ, εἰ μὲν ἐνήλικοί εἰσι, τριμήνου διάσκεψιν λαμβάνοντες καταβαλλέτωσαν τῇ γυναικὶ τὴν προῖκα, εἰ δὲ ἀνήλικοί εἰσι, τελειούμενοι καὶ αὐτοὶ κατὰ τὴν ἡλικίαν ἐχέτωσαν διάσκεψιν διετίας χρόνον, καὶ εἶθ' οὕτως χρεῶσταί εἰσι διδόναι τὴν προῖκα τῇ γυναικί [36].

37. Ἐὰν ἐγράφη μὲν ἐν τῷ προικῴῳ συμβολαίῳ ποσότης προικὸς, μὴ ἐπεδόθη δὲ, ἔξεστι καὶ τῷ ἀνδρὶ καὶ τοῖς κληρονόμοις αὐτοῦ καὶ τῷ τοῦ ἀνδρὸς πατρὶ, εἰ συνυπεδέξατο τὴν προῖκα, καὶ τοῖς κληρονόμοις αὐτοῦ καὶ ἁπλῶς παντὶ προσώπῳ προῖκα αἰτουμένῳ ἀντιτιθέναι τῇ γυναικὶ καὶ τοῖς αὐτῆς κληρονόμοις ἀναργυρίαν εἴσω ἐνιαυτοῦ ἀριθμουμένου συναπτῶς μετὰ τὴν λύσιν τοῦ γάμου [37].

38. Περὶ τῆς ἐπὶ τῆς προικὸς λεγομένης ἀναργυρίας ἑτέ-

---

[33] Cod. cit. 6 ex Epan. h. t. c. 24. [34] Dig. XXIII, 4, 26 ex Epan. h. t. c. 25. [35] Athanas. XVIII, 2. [36] Epan. h. t. c. 26 ex Nov. 100. [37] Cod. V, 15, 3 ex Epan. h. t. schol. h.

ρως ἡ ἑκατοστὴ νεαρὰ διαλαμβάνει, κελεύουσα· εἰ μὲν εἴσω διετίας ὁ γάμος λυθῇ ἢ θανάτῳ ἢ ῥεπουδίῳ ἤτοι ἐν ζωῇ διαλύσει, ἔχειν καὶ τὸν ἄνδρα καὶ τοὺς αὐτοῦ κληρονόμους τέλειον ἐνιαυτὸν ἀριθμούμενον [συναπτῶς] ἀπὸ τῆς αὐτοῦ τοῦ γάμου διαλύσεως εἰς τὸ ἐπιμέμψασθαι τοῖς ὑποσχομένοις τὴν προῖκα, ὅτι οὐκ ἀπέδωκαν αὐτήν. εἰ δὲ ὑπερβὰς τὴν διετίαν ὁ γάμος μέχρι δεκαετίας διαλυθῇ, τότε καὶ ὁ ἀνὴρ καὶ οἱ κληρονόμοι αὐτοῦ τρίμηνον ἄλλο μετὰ τὴν λύσιν τοῦ γάμου λαμβάνουσιν· εἰ δὲ ὑπερέβη ἡ δεκαετία, οὔτε ὁ ἀνὴρ οὔτε οἱ κληρονόμοι αὐτοῦ ἕτερόν τινα χρόνον λαμβάνουσι. μέμψιν δέ φησιν οὐ τὴν ἁπλῶς καὶ ὡς ἔτυχε γινομένην, ἀλλὰ τὴν ἐγγράφως ἐπὶ μαρτύρων στελλομένην ἢ ἐν δικαστηρίῳ γινομένην ἔγκλησιν. καὶ ταῦτα μέν, εἴγε καὶ ὁ ἀνὴρ τέλειός ἐστι καὶ οἱ αὐτοῦ κληρονόμοι. εἰ γὰρ εἴτε ὁ ἀνήρ ἐστιν ἀφῆλιξ, μέχρι τοῦ κ̅ζ̅ χρόνου δύναται μόνον σιωπήσας κινεῖν, ὃν ὑπερβὰς ἐφ' ὅλον σεσιγηκὼς μετὰ τῶν αὐτοῦ κληρονόμων ἀποκλείεται· εἰ δὲ οἱ κληρονόμοι τοῦ ἀνδρός εἰσιν ἀφήλικες, ἡνίκα ἢ τὸν ἐνιαυτὸν ἢ τὸ τρίμηνον λαμβάνουσιν, ὅσου ἂν εἰσι χρόνου ὀλίγου, πενταετίαν ἔχουσι μόνην. εἴσω δὲ τοῦ κ̅ζ̅ χρόνου τελευτῶντος τοῦ ἀφήλικος ἀνδρὸς καὶ κατὰ μηδὲν μεμψαμένου, τέλειον ἐνιαυτὸν οἱ αὐτοῦ κληρονόμοι λαμβάνουσιν τέλειοι ὄντες. εἰ δὲ καὶ αὐτοί εἰσιν ἀτελεῖς πάντες, πάλιν τὴν πενταετίαν κἀνταῦθα. ἐν κεφαλαίῳ οὖν ἔστιν εἰπεῖν· διετίας εἴσω τοῦ γάμου διαλυθέντος καὶ τοῦ ἀνδρὸς σεσιγηκότος καὶ μηδὲν μεμψαμένου κατὰ τὸν χρόνον τῆς διετίας καὶ λαμβάνοντος μετὰ τὴν λύσιν τὸν ἐνιαυτὸν καὶ μηδὲ κατὰ τοῦτον ἐνάγοντος, ἢ τῶν αὐτοῦ κληρονόμων τῶν τὸν ἐνιαυτὸν λαμβανόντων, ἢ τοῦ γάμου μέχρι δεκαετίας λυομένου καὶ κατὰ πάντα τοῦτον τὸν χρόνον σιγῶντος τοῦ ἀνδρὸς, ἢ καὶ ἐν τῷ τριμήνῳ αὐτοῦ τε καὶ τῶν αὐτοῦ κληρονόμων οὐ μεμφομένων, καὶ ἐπ' αὐτοῖς καὶ ἐπὶ τοῖς προστεθειμένοις διὰ τὴν ἀνηλικιότητα αὐτῶν καθάπερ εἴρηται χρόνοις οὔτε ἐγγράφως μεμψαμένων καὶ προφωνησάντων τοῖς ὑποσχομένοις τὴν προῖκα, ὅτι οὐκ ἐπέδωκαν αὐτὴν αὐτοῖς, οὔτε μὴν ἐν δικαστηρίῳ ἐναγωγὴν ποιησαμένων. οὔτε ὁ ἀνὴρ μετὰ ταῦτα οὔτε οἱ κληρονόμοι αὐτοῦ δύνανται τὴν οἱανοῦν κίνησιν ποιεῖσθαι κατὰ τῶν χρεωστούντων τὴν προῖκα, ἀλλ' αὐτοὶ ὡς εἰληφότες αὐτὴν χρεωστοῦσι τῇ γυναικὶ καὶ ταύτην ἀναδιδόασι. [καὶ ταῦτα οὐχ ὡς δοκεῖ τοῖς πολλοῖς ἁπλῶς καὶ ἀεὶ καὶ ἀπροσδιορίστως, ἀλλ' ὡς ὑπεμφαίνει ἡ νεαρά, ἢ περιόντος τοῦ ὑποσχομένου ἢ φάσκοντος ἐπιδεδωκέναι, ἢ τελευτήσαντος καὶ ἀδήλου ὄντος εἴτε ἔδω-

κεν εἴτε οὐκ ἔδωκε, τὰ εἰρημένα τρακταΐζεται. τότε γὰρ ἡ χρονία σιγὴ τοῦ ἀνδρὸς τῶν ὑποσχομένων αὐτῷ τὴν προῖκα τὴν εὐπορίαν τῶν ἀποδείξεων, ὥς φησιν ἡ νεαρὰ, διαχέουσα] ὑπεύθυνον αὐτὸν καὶ τὸ αὐτοῦ μέρος τῇ γυναικὶ ἀπεργάζεται. εἰ γὰρ ἄλλως ὁμολογούμενον εἴη, τυχὸν αὐτοῦ τοῦ ὑποσχομένου ὁμολογοῦντος, ὅτι οὐδέπω τὴν προῖκα ἐπέδωκα, πῶς ἂν εἴη δίκαιον, ὥς τινές φασι, μὴ τὸν ὑποσχόμενον καὶ ταῦτα εὐποροῦντα κἂν ὁπόσος ἂν ῥυῇ χρόνος ἀπαιτηθῆναι τὴν προῖκα, ἀλλὰ τὸν μηδὲν λαβόντα ἄνδρα, εἰ τυχὸν δι' ἐπιείκειαν καὶ τὴν πρὸς τοὺς γονεῖς εὐλάβειαν ἐσιώπησε, ταύτην εἰσπράττεσθαι; εἰ μέντοι ἐν τῷ μεταξὺ ὁ ὑποσχόμενος ἀπορήσειεν, ἐστὶν ἕτερος νόμος περὶ τούτου. ἐπὶ τούτοις ζητεῖται, εἰ καταδικαζόμενος ὁ ἀνὴρ δοῦναι τὴν προῖκα καὶ πρὸ γάμου δωρεὰν ἀναγκασθείη δοῦναι, ἣν καὶ παράσχῃ τῇ γυναικί [38].

39. *Εἰ* μὲν ὁ ἀνὴρ παρὰ γνώμην τῆς ἰδίας γυναικὸς ὑπόθηται τὰ πράγματα αὐτῆς, οὐκ ἔῤῥωται ἡ ὑποθήκη· ἐὰν δὲ συναινούσης αὐτῆς ὑπόθηται, πάλιν ἐμποδίζει τὸ δόγμα· ἐὰν δὲ ὁ ἀνὴρ ὡς ἴδια τὰ τῆς γυναικὸς ὑπόθηται, ἀγνοῇ δὲ ὁ συναλλάσσων τὸ δρᾶμα, ἡ γυνὴ δὲ συνειδυῖα καὶ καθορῶσα τὸν ἄνδρα ὡς ἴδια τὰ ἑαυτῆς ὑποθέμενον ἐσιώπησεν ἐπίτηδες, βουλομένη ζημιῶσαι τὸν συναλλάσσοντα, τότε οὐ βοηθεῖται. ταῖς γὰρ ἀπατωμέναις γυναιξὶ βοηθεῖ τὸ δόγμα, οὐ ταῖς πανούργοις [39].

40. *Ἐὰν* διὰ τὴν τοῦ ἀνδρὸς ἐνοχὴν παρέβαλεν ἑαυτὴν ἡ γυνὴ ἐν τῷ δεσμῷ τοῦ ἀλλοτρίου συναλλάγματος καὶ διὰ τῆς ἰδίας ὑποστάσεως τοῦτον ἀπαλλάξαι τῆς ἐνοχῆς ἐμελέτησεν, εἰ μὲν ὑποσχομένη κατέβαλε, τὸ καταβληθὲν διεκδικεῖν οὐ δύναται, δηλονότι τῶν ἐντελῶν οὖσα τοῦ νόμου χρόνων. εἰ δὲ μὴ κατέβαλεν, οὐδὲ καταβαλεῖν ἀπαιτηθήσεται [40].

41. *Εἴ* τις γυνὴ ἐν διανειακῷ γραμματείῳ συναινεῖ τῷ ἰδίῳ ἀνδρὶ ἢ ὑπογράψει καὶ τὴν οἰκείαν περιουσίαν ἢ καὶ ἑαυτὴν ἔνοχον ποιήσει, κελεύομεν μηδὲν τοιοῦτον ἰσχύειν ἢ κρατεῖν, εἴτε ἅπαξ εἴτε πολλάκις τοιοῦτο γένηται, εἴτε ἰδικὸν εἴτε δημόσιον εἴη τὸ χρέος. ἀλλ' οὕτως εἶναι, ὡς ἀντὶ μηδὲ γεγραμμένου, εἰ μὴ φανερῶς ἀποδειχθῇ, ὅτι τὰ χρήματα εἰς ἰδίας αὐτῆς τῆς γυναικὸς χρείας ἐδαπανήθη [41].

42. *Δύο* προικῴων ὑπό τινος χρεωστουμένων, εἰς μὲν τὰ

---

[38] Epan. h. t. schol. i.
[39] Cod. IV, 29, 5 ex Epan. h. t. c. 27.
[40] Cod. cit. 4 ex Epan. h. t. c. 28.
[41] Nov. 134 c. 8 ex Epan. h. t. c. 29.

φαινόμενα ἐκδικεῖται ὑπὸ τῶν τεχθέντων ἐξ ἑκάστου γάμου, εἰς δὲ τὰ μὴ φαινόμενα ἔχει προγενεσίαν ἡ πρώτη προῖξ ἀπαιτουμένη ὑπό τε τῆς γυναικὸς καὶ ὑπὸ τῶν κατιόντων αὐτῆς παίδων καὶ ὑπὸ τῶν λοιπῶν συγγενῶν αὐτῆς [42].

43. Παντὸς χρέους, δημοσίου μὲν τοῦ μεταγενεστέρου μόνον, ἰδιωτικοῦ δὲ καὶ τοῦ προγενεστέρου καὶ τοῦ μεταγενεστέρου, καὶ πάσης ὑποσχέσεως καὶ ἐνοχῆς τὴν γυναῖκα ζητοῦσαν τὴν προῖκα ἰσχυροτέραν εἶναι θεσπίζομεν. καὶ εἰ συμβῇ τὰ τοῦ ἀνδρὸς ὑπό τινος ὀργῆς βασιλικῆς, ὡς πολλάκις συμβαίνειν εἴωθεν, ἢ τῷ τῆς καθωσιώσεως ἁμαρτήματι διαταραχθῆναι καὶ διαφθαρῆναι, τῇ γυναικὶ τὴν προῖκα δοθῆναι κελεύομεν, καὶ εἶθ' οὕτως τὰ λοιπὰ ὡς τῷ δημοσίῳ ἔξεστι διοικηθήτω [43].

44. Γυνὴ ἐγγύας διδοῦσα ὑπὲρ χρηματικῆς δίκης ἐκτὸς προικὸς οὔτε εὐθύνεται οὔτε ἐνέχεται [44].

45. Ἐὰν γνώμῃ τῆς αὐτεξουσίας μου θυγατρὸς ἐπιδώσω τὰ δωρηθέντα αὐτῇ παρ' ἐμοῦ, οὐκ ἐγὼ ἀλλ' αὐτὴ δεδωκέναι δοκεῖ [45].

46. Τὰ ἐκ τῶν προικιμαίων πραγμάτων ἀγορασθέντα προικιμαῖά εἰσιν [46].

47. Ὅτι δεῖ τὸν μὴ δευτερογαμοῦντα ἄνδρα λαμβάνειν ἐκ τῆς προικὸς παιδὸς μοῖραν κατὰ δεσποτείαν [47].

48. Νεαρὰ λέοντος. — Αἱ ἄποροι καὶ ἄπροικοι γυναῖκες τὸ ἐπιλαγχάνον αὐταῖς μετὰ θάνατον τῶν συνοικούντων τέταρτον μέρος παίδων ὄντων καὶ μὴ δευτερογαμοῦσαι ἐκ τοῦ παρόντος νόμου κατὰ δεσποτείαν κερδαίνειν κελεύονται τοῖς παισὶ τὸ φαλκίδιον παραφυλάττουσαι [48].

49. Ἡ μήτηρ ὑπὲρ τῆς θυγατρὸς προῖκα ἐπιδιδόναι οὐκ ἀναγκάζεται, εἰ μὴ ἀπὸ μεγάλης καὶ δεδοκιμασμένης ἢ νομίμης αἰτίας (καθὰ περὶ αἱρετικῶν μητέρων διαγορεύει, αἵτινες ἀναγκάζονται προικίζειν τὴν ὀρθόδοξον θυγατέρα). ὁ δὲ πατὴρ ἐκ τῶν τῆς γυναικὸς πραγμάτων μὴ βουλομένης (ὀρθοδόξου ταύτης τυγχανούσης) οὐδεμίαν ἔχει ἐξουσίαν τοῦ διδόναι προῖκα [49].

50. Οὐδεὶς νόμος κωλύει, πᾶσαν ἅμα τὴν οὐσίαν τῆς γυναικὸς εἰς προῖκα ἐπιδιδόναι· καὶ γάρ, ἐὰν τελεία οὖσα (τῶν ἐντελῶν τοῦ νόμου) ἡ γυνὴ ἐπιδίδωσιν. εἰ δὲ ἀφῆλίξ ἐστι, δύ-

---

[42] Theod. Nov. 91 c. 1 ex Epan. h. t. c. 30. [43] Epan. h. t. c. 31. [44] Epan. h. t. c. 32. [45] Cf. supra c. 17. [46] Cf. supra c. 25. [47] Nov. Leonis 22. [48] Nov. Leonis 106. [49] Bas. XXIX, 1, 101 cum schol. Thalelaei.

ναται ἀποκατάστασιν αἰτῆσαι. ὁμοίως δὲ καὶ εἰ ἐπίτροπός ἐστιν αὐτῆς, ὃς δέδωκε τῷ μὴ ἀξίῳ, ἄχρηστος ἡ ἐπίδοσις, καθὼς ἡ ἑξηκοστὴ τοῦ κγ βι. τῶν διγέστων τί. γ διαλαμβάνει διάταξις [50].

51. Ἐὰν πρᾶγμα τῆς γυναικός μου ἢ τῆς θυγατρός μου ἀγνοούσης ἢ ἀκούσης αὐτῆς εἰς προῖκα τῆς θυγατρὸς ἡμῶν παράσχω, καλῶς ἐκδικοῦσιν αὐτὸ οἱ κληρονόμοι τῆς γυναικὸς, καὶ μειοῦται ἡ προῖξ καὶ ἐνάγει μοι ὁ γαμβρός μου [51].

52. Τὴν ὑπὲρ τῆς ἀπελευθέρας δοθεῖσαν προῖκα, κἂν ἀχάριστος εὑρεθῇ περὶ αὐτὸν, οὐ δύναται ὁ πάτρων ἀναλαμβάνειν, εἰ μὴ ἄρα ἐν τῷ καιρῷ τῆς ἐπιδόσεως ἢ συνεφώνησεν ἢ ἐπηρώτησεν εἰς ἑαυτὸν γενέσθαι τὴν ἐπανάδοσιν διαλυομένου τοῦ γάμου [52].

53. Ἐχέτω ἡ γυνὴ μὴ μόνον τὴν περὶ τῆς δεσποτείας τῆς προικὸς ἀγωγὴν, ἀλλὰ καὶ τὴν ὑποθηκαρίαν, προτιμωμένη πάντων τῶν τοῦ ἀνδρὸς δανειστῶν, τῶν τε προγενεστέρων καὶ τῶν μεταγενεστέρων [53].

54. Πάντα τὰ σύμφωνα τὰ ἐπὶ τῇ προικὶ γινόμενα μὴ παρὰ τοὺς νόμους ἰσχυέτωσαν, εἰ μὴ ἄρα διαζυγίῳ διελύθη ὁ γάμος. εἰ γὰρ διαζύγιον διαγένηται, ἀνάγκη κατὰ τὰς διατάξεις ἢ τὸν ἄνδρα κερδαίνειν τὴν προῖκα ἢ τὴν γυναῖκα τὴν πρὸ γάμου δωρεὰν, εἰ μὴ ἄρα κατὰ κοινὴν συναίνεσιν τὸν γάμον διέλυσαν· τότε γὰρ κρατεῖ τὰ σύμφωνα. πάντα δὲ ὅσα προνόμια εἶχεν ἡ προῖξ εἴτε ἀπὸ νόμων εἴτε ἀπὸ διατάξεων, ταῦτα ἐχέτω ἡ τὴν προῖκα ἀπαιτοῦσα ἀγωγή [54].

55. Ἐκ τοῦ η' τί. βι. [κη']. — Ἐὰν ὁ πατὴρ χωρὶς συναινέσεως τῆς θυγατρὸς ἀπαιτήσας τὴν προῖκα ἐπιδῷ ὑπὲρ αὐτῆς ἀνδρὶ ἑτέρῳ, ἔχει ὁ πρῶτος γάμος κατ' αὐτῆς ἀπαιτούσης δόλου παραγραφήν [55].

56. Ἐὰν ὁ ἀνὴρ ἀνέλῃ τὴν γαμετὴν, οὐ κερδαίνει τὴν προῖκα, ἀλλὰ τοῖς κληρονόμοις αὐτῆς ἀποδίδοται. τὸ αὐτὸ καὶ ἐκ τοῦ ἐναντίου [56].

57. Εἰ καὶ ἀλλότριον ἀγρὸν ἐπιδῷ γυνὴ ἐν εἰδήσει, ἀποδίδοται αὐτῇ μετὰ τὸ διαζύγιον σὺν τῇ ἀναλογίᾳ τῶν καρπῶν [57].

58. Μέχρις εὐπορίας ὁ ἀνὴρ, οὐ μὴν καὶ ὁ κληρονόμος αὐτοῦ καταδικάζεται. τὸ γὰρ προνόμιον προσωπικόν ἐστιν, ἔχει δὲ αὐτὸ καὶ ὁ ἐκδικητής [58].

---

[50] Bas. XXIX, 1, 91 c. schol. Thalel. [51] Bas. cit. 30. [52] Bas. cit. 111. [53] Bas. cit. 117 med. [54] Bas. cit. 119 th. ult. [55] Bas. XXVIII, 8, 4. [56] Bas. cit. 10 th. 2. [57] Bas. cit. 11. [58] Bas. eod. 12—14.

59. Καὶ ὁ πατὴρ τοῦ ἀνδρὸς μέχρις εὐπορίας καταδικάζεται ὑπὸ τῆς νύμφης [59].

60. Τάξιν ἀνδρὸς καὶ ὁ πενθερὸς ἔχει [60].

61. Ἐὰν τοῦ δικαστοῦ τὸ νόμιμον ἀγνοήσαντος εἰς ὁλόκληρον ὁ ἀνὴρ ἐπὶ τῇ προικὶ καταδικασθῇ, ἔχει δόλου παραγραφήν [61].

62. Ἐὰν ἀπατηθεῖσα γυνὴ δέξηται κατὰ μετάθεσιν χρεώστην ἄπορον ὑπὲρ τῆς προικὸς, σώζεται αὐτῇ ἡ τῆς προικὸς ἀγωγή [62].

63. Καὶ συνεστῶτος τοῦ γάμου κινεῖ περὶ τῆς προικὸς ἡ γυνὴ, ἀφ᾽ οὗ ἄρξεται μὴ ἀρκεῖν πρὸς τὸ ποσὸν αὐτῆς ἡ οὐσία τοῦ ταύτης ἀνδρός [63].

64. Ἐὰν τοῦ ἀνδρὸς προαγωγεύσαντος ἡ γυνὴ μοιχευθῇ, οὐδὲν ἐκ τῆς προικὸς παρακρατεῖ. πῶς γὰρ ἀποδοκιμάζει τοὺς τρόπους, οὓς ἔφθειρεν ἢ φθαρέντας ἀπεδέξατο; καὶ ἄλλος δέ τις κανὼν λέγει· τὸν προαγωγὸν μὴ δύνασθαι κατηγορεῖν τῆς γυναικὸς, ἀλλὰ ταῖς τοῦ νόμου ποιναῖς ὑποβάλλεσθαι [64].

65. Ἐὰν τῆς γυναικὸς χρωμένης ἐλαττωθῶσι τὰ διατετιμημένα, ὁ ἀνὴρ ζημιοῦται [65].

66. Ἐὰν συνεφωνήθη τὰ διατετιμημένα τῆς προικὸς ἀνδράποδα τῆς αὐτῆς τιμῆς ἀποδοθῆναι τῇ γυναικὶ, καὶ περὶ τοῦ τοκετοῦ οὐδὲν ἐλέχθη, μένει ὁ τοκετὸς παρὰ τῷ ἀνδρὶ ἀντὶ τοῦ κινδύνου τῶν ἀνδραπόδων [66].

67. Ἐὰν γυνή τις δούλῳ συνήφθη ἐν ἀγνοίᾳ καὶ προῖκα δέδωκε, δύναται ἐκ τῆς περὶ πεκουλίου ἀγωγῆς καὶ τὴν προῖκα ἀπαιτεῖν καὶ εἴ τι ἕτερον ἐξ αὐτοῦ ἐχρεωστήθη. οἱ δὲ παῖδες αὐτῆς ὡς ἀπὸ ἐλευθέρας γαστρὸς τεχθέντες εὐγενεῖς εἰσιν [67].

68. Ἐὰν γυνὴ παρὰ πολεμίοις ἐστὶν, εἰ μὲν ἔτι περίεστιν, οὐ δύναται ὁ ἀδελφὸς αὐτῆς ἀπαιτῆσαι τὴν προῖκα. ἐὰν δὲ ἐτελεύτησε, καλῶς ὁ ἀδελφὸς ὡς κληρονόμος ἐξ ἀπαιδίας ταύτην λαμβάνει [68].

69. Μὴ παρεχέτω ὁ ἀνὴρ ἐγγυητὴν ἐπὶ τῷ φυλάξαι τὴν προῖκα, κἂν μάλιστα νόμος ἢ συνήθεια ἐπιτρέπει τοῦτο γενέσθαι [69].

70. Ἡ διάταξις κελεύει, μήτε ἐγγυητὴν ἢ μανδάτορα δίδο-

---

[59] Bas. eod. 15 th. 3. [60] Bas. eod. 16. [61] Bas. eod. 17. [62] Bas. eod. 22. [63] Bas. eod. 24. [64] Bas. eod. 45. [65] Bas. eod. 49. [66] Bas. eod. 63. [67] Bas. eod. 67. [68] Bas. eod. 69. [69] Bas. XXVIII, 9, 2.

σθαι παρὰ τοῦ ἀνδρὸς ἢ παρὰ τοῦ μέρους αὐτοῦ εἰς τὸ παραλαβεῖν τὴν προῖκα [70].

71. Διακέρδειά εἰσι τοῦ ἀνδρὸς τὰ βελτίονα ποιοῦντα τὴν προῖκα· οἷον τὸ νεόφυτον ποιῆσαι ἢ ἀρτοκοπεῖον ἢ ἐργαστήριον ἢ τέχνας διδάξαι τοὺς δούλους. καὶ οὐ μειοῦσι μὲν τὴν προῖκα, ἀπαιτοῦνται δέ [71].

72. Ἐὰν ὁ ἀνὴρ ἀποδώσει πᾶσαν τὴν προῖκα, μὴ παρακρατήσας τὰ ἀναγκαῖα δαπανήματα, ἀπαιτεῖ αὐτά [72].

73. Τῶν δαπανημάτων τὰ μὲν δι᾿ ἀνάγκην γίνονται, τὰ δὲ διὰ τέρψιν, τὰ δὲ διὰ κέρδος. δι᾿ ἀνάγκην ἐστὶ τὰ ἀναγκαίως γινόμενα, καὶ τότε μειοῦσι τὴν προῖκα, ὅτε περὶ αὐτὴν γίνονται· αἱ γὰρ εἰς ἄλλο τὶ γινόμεναι δαπάναι οὐ λογίζονται τῇ προικί. ἀναγκαῖα δέ εἰσιν οἱ γινόμενοι μόλοι ἐν τῇ θαλάσσῃ ἢ ποταμῷ, καὶ τὸ γενέσθαι κατὰ τὸ ἀναγκαῖον ἀρτοκοπεῖον ἢ ὡρεῖον, ἢ οἴκημα καταπίπτον οἰκοδομῆσαι ἢ ἐλαιῶνα, καὶ τὸ δοῦναί τι διὰ τὸ μὴ βεβαιωθῆναι τὴν περὶ τῆς μελλούσης συμπτώσεως ἀσφάλειαν· ἢ [εἰς] ἀσθένειαν πρὸς ὑγείαν τῶν δούλων· καὶ τὸ νεόφυτα ποιῆσαι ἀμπέλων, ἢ φροντίσαι τῶν δένδρων, ἢ σπερματοθήκας ἐπὶ χρησιμότητι τοῦ ἀγροῦ ποιῆσαι. καὶ εἰ μὲν πρὸς τὴν παροῦσαν χρησιμότητα φαίνεται τὸ δαπανηθὲν καὶ τοὺς καρποὺς τοῦ ἐνιαυτοῦ, ἀντιλογίζεται ἡ δαπάνη· εἰ δὲ μὴ πρὸς τὸν παρόντα ἐνιαυτὸν ἀλλὰ πρὸς διηνεκῆ τὴν χρησιμότητα φέρεται ἡ δαπάνη, ἀναγκαία ἐστὶ καὶ μειοῖ τὴν προῖκα [73].

74. Ἐπιλογὴν ἔχει ἡ γυνὴ ἢ δοῦναι τὴν διὰ τέρψιν δαπάνην ἢ συγχωρῆσαι τῷ ἀνδρὶ περιελεῖν τὸ γεγονὸς, εἴγε δύναται περιαιρεθῆναι καὶ μέλλει ἔχειν αὐτὸ, ἐπεὶ οὐ περιαιρεῖ αὐτό. εἰ δὲ τὸ πρᾶγμα, περὶ ὃ γέγονεν ἡ δαπάνη, πράσιμον ᾖ, οὐκ ἔστι πρὸς τέρψιν ἀλλ᾿ ἐπ᾿ ὠφελείᾳ [74].

75. Ἐὰν γνώμῃ τῆς γυναικὸς γεγόνασι τὰ πρὸς τέρψιν δαπανήματα, οὐκ ἀπαιτοῦνται· καὶ ἡ τῆς δαπάνης δωρεὰ μεταξὺ τῶν συνοικούντων κεκώλυται [75].

76. Ἐὰν ὁ προικιμαῖος δοῦλος κλέψῃ τὶ τοῦ ἀνδρὸς, εἰ μὲν ᾔδει τοιοῦτον αὐτὸν ὄντα ἡ γυνὴ, εἰς τὸ πᾶν ἐνέχεται· εἰ δὲ μὴ ᾔδει, εἰς τὸ ἐκδοῦναι τὸν δοῦλον καταδικάζεται [76].

77. Ὁ ἀνὴρ ἐναγόμενος περὶ τῆς προικὸς, καλῶς ἀντιτίθησι συμψηφισμὸν τῇ γυναικὶ εἰς ἅπερ ἀπεσύλησε πράγματα [77].

---

[70] Bas. eod. 3. [71] Bas. XXVIII, 10, 5 th. 3 et c. 6. [72] Bas. eod. 5 th. 2. [73] Bas. eod. 1—3. [74] Bas. eod. 9. 10. [75] Bas. eod. 11. [76] Bas. XXVIII, 11, 21. [77] Bas. eod. 31.

78. *Ἐκ τοῦ κθ΄ βι. τί α΄.* — *Ἐὰν πρᾶγμα τῆς γυναικὸς μου ἀγνοούσης αὐτῆς εἰς προῖκα τῆς θυγατρὸς ἡμῶν παράσχω δεδομένον παρ᾽ αὐτῆς εἰς χρῆσιν τῇ κόρῃ, καλῶς ἐκδικοῦσιν αὐτὸ οἱ κληρονόμοι αὐτῆς, καὶ μειοῦται ἡ προῖξ τῆς θυγατρὸς, καὶ ἐνάγει μοι ὁ γαμβρός μου*[78].

79. *Ἐὰν δούλη δούλῳ ὡσανεὶ προῖκα ἐπιδέδωκε καὶ ἐλευθερωθῶσι μὴ ἀφαιρεθέντος τοῦ πεκουλίου καὶ μένωσι ἐν τῇ αὐτῇ συναφείᾳ, τὰ φαινόμενα ἐκ τῶν ἐπιδοθέντων σωμάτων σιωπηρῶς τῇ γυναικὶ κεχρεώστηται*[79].

80. *Καὶ ἄκοντος τοῦ δεσπότου ἐπερωτῶν ὁ δοῦλος ὀνόματι αὐτοῦ προῖκα, προσπορίζει αὐτῷ τὴν ἐνοχὴν, ὡς καὶ τὰς λοιπὰς ἐπερωτήσεις, ἃς ἄκοντος ποιεῖται τοῦ δεσπότου. ἀλλ᾽ οὐ φέρεται πρὸς τὸν δεσπότην ὁ κίνδυνος, ἔνθα τυχὸν χρεώστης τῆς γυναικὸς ὡμολόγησε τὴν προῖκα, καὶ ἐξ ἀπροόπτων γέγονεν ἄπορος*[80].

81. *Ὁ ἐγγυώμενος τὴν ἐπερωτηθεῖσαν προῖκα ἐνάγεται*[81].

82. *Ἐὰν τῷ προικιμαίῳ δούλῳ ἔλθῃ κληρονομία ἢ λεγάτον, ὅπερ ὁ διαθέμενος οὐκ ἠθέλησε διαφέρειν τῷ ἀνδρὶ, λυομένου τοῦ γάμου ἀποδίδοται τῇ γυναικί*[82].

83. *Ἐὰν δούλη γινώσκουσα ἢ ἀγνοοῦσα τὴν κατάστασιν παράσχῃ μοι πρᾶγμα ἐν προικὶ, οὐ ποιεῖ μὲν δεσπότην αὐτῶν, ἀλλ᾽ ἐκείνου εἰσὶν, οὗ καὶ πρότερον ἦσαν, εἰ μὴ διὰ τῆς χρήσεως ἐδεσπόθησαν. εἰ δὲ καὶ ἐλευθερωθῇ συνοικοῦσά μοι, οὐ δύναται τὴν αἰτίαν ἐναλλάξαι τῶν χρημάτων. ὅθεν οὐδὲ διαζυγίου γινομένου ἀπαιτεῖ αὐτὰ ἢ ὡς προικιμαῖα ἢ ὡς τυχὸν χρεωστούμενα, ἀλλ᾽ ὁ δεσπότης αὐτῶν ἐκδικεῖ αὐτά*[83].

84. *Κωφὸς καὶ ἄλαλος καὶ τυφλὸς ἐνέχονται περὶ προικὸς, ἐπειδὴ καὶ γαμεῖν δύνανται*[84].

85. *Ἐὰν ἐπηγγείλατο ἡ γυνὴ προῖκα διδόναι, μὴ εἴπῃ δὲ ποσότητα ἢ πρᾶγμα ῥητὸν, ἄχρηστός ἐστιν ἡ τῆς προικὸς ἐπαγγελία, ὡς δυναμένης τῆς γυναικὸς εὐτελέστατόν τι παρασχεῖν*[85].

86. *Ἐάν τις ἐπαγγειλάμενος προῖκα ἐπερωτηθῇ καὶ τόκους διδόναι, καλῶς αὐτοὺς ἀπαιτεῖται*[86].

87. *Οὐδεὶς νόμος κωλύει πᾶσαν ἅμα τὴν οὐσίαν τῆς γυναικὸς εἰς προῖκα διδόναι*[87].

88. *Ἐὰν γυνὴ ἀλλότριον εἰς προῖκα παρασχῇ εἰδότι τῷ*

---

[78] Basil. XXIX, 1, 30. [79] Bas. cod. 35. [80] Bas. cod. 42. [81] Bas. cod. 51. [82] Bas. cod. 61. [83] Bas. cod. 63. [84] Bas. cod. 69. [85] Bas. cod. 81. [86] Bas. cod. 82. [87] Bas. cod. 91.

ἀνδρὶ ἀλλότριον εἶναι, οὐδεμίαν δύναται ἐκεῖνος ἔχειν ἀγωγὴν ἐκδικουμένου τοῦ πράγματος, εἰ μὴ ἄρα ἡ ἐπαγγελία προικὸς ἢ ἐπερώτησις παρηκολούθησε· τότε γὰρ ἔχει τὴν ἀγωγὴν τὴν ἀπαιτοῦσαν τὴν προῖκα [88].

89. Καὶ ἀγράφως δυνατὸν ἐπιδοθῆναι τὴν προῖκα, καὶ ἐὰν ἐγγράφως ἐπιδοθῇ καὶ ἀπώλοντο τὰ συμβόλαια, οὐδὲν ἧττον ἀπαιτεῖται ἡ προῖξ, ἐὰν ὅλως ἀποδείκνυται, ὅτι παρεσχέθη. ἡ γὰρ τῶν δικαιωμάτων ἀπώλεια οὐκ ἀναιρεῖ τὰς ἀγωγάς [89].

90. Ἡ γυνὴ τὸν ἀγρὸν, ὃν ἐπέδωκεν εἰς προῖκα, οὐ δύναται πιπράσκειν· ὁ γὰρ ἀνήρ ἐστι δεσπότης [90].

91. Ἡ γυνὴ τῶν γάμων ἔτι συνισταμένων ἐὰν ἄπορον ὁρᾷ τὸν ἄνδρα, δύναται ὑπὲρ προικὸς καὶ πρὸ γάμου δωρεᾶς καὶ ἐξωπροίκων διακρατῆσαι τὴν αὐτοῦ οὐσίαν ὡς [ἀπὸ] ὑποθήκης [91].

92. Καλῶς συμφωνῶ, [ἵνα] ἐὰν ἀποθάνῃ ἡ θυγάτηρ μου, ἡ προῖξ ἀποδοθῇ μοι, εἰ δὲ προαποθάνω, δοθῇ τῷ υἱῷ μου, ἢ κἀκείνου προτελευτῶντος, δοθῇ τῷ κληρονόμῳ μου [92].

93. Ἐπαγγειλάμενος πατὴρ προῖκα συνεφώνησε μὴ ἀπαιτηθῆναι αὐτὴν ζῶντος αὐτοῦ, μήτε γάμου συνεστῶτος. κατὰ κοινοῦ ἕλκομεν τὸ ἐμοῦ ζῶντος· καὶ εἰ μὲν ζῶντος τοῦ πατρὸς ἀποθάνῃ ἡ θυγάτηρ ἢ χωρὶς ῥαθυμίας διαζυγῇ, οὐκ ἀπαιτεῖται ἡ προῖξ. εἰ δὲ συνεστῶτος τοῦ γάμου τελευτήσῃ ὁ πατὴρ, ἀπαιτεῖται ὁ κληρονόμος αὐτοῦ [93].

94. Δύναται συμφωνεῖν πρὸ τοῦ γάμου ἡ γυνὴ, ἵνα λαμβάνουσα τοὺς καρποὺς τῶν προικιμαίων πραγμάτων ἑαυτὴν ἀποτρέφῃ [94].

95. Καὶ ὁ μὴ δεσπόζων πράγματος καλῶς αὐτὸ ἐκποιεῖ. ὁ γὰρ ἀνὴρ δεσπότης ὢν τῆς προικὸς οὐ δύναται ἐκποιεῖν ἐξ αὐτῆς καὶ συναινούσης τῆς γυναικὸς ἢ ὑποτιθέναι· ὁ δὲ δανειστὴς ὁ μὴ δεσπόζων τὸ ἐνέχυρον δύναται πωλεῖν ἐκ συμφώνου καὶ κατὰ τὴν δύναμιν τῶν διατάξεων.

ΤΙΤΛΟΣ ιζ.

Περὶ προγαμιαίας δωρεᾶς.

1. Ἡ μὴ δευτερογαμοῦσα μήτηρ καὶ πᾶς ἀνιὼν μὴ δευτερογαμῶν πρὸς τῇ χρήσει τῶν γαμικῶν κερδῶν ἐχέτω καὶ παι-

---

[88] Bas. eod. 100. [89] Bas. eod. 102 c. schol. [90] Bas. eod. 110.
[91] Bas. eod. 116. [92] Bas. XXIX, 5, 9. [93] Bas. eod. 11. [94] Bas. eod. 32.

δὸς μοῖραν κατὰ δεσποτείαν· τοῦτο δὲ ἐπὶ τῶν τελευτῇ καὶ οὐ διαζυγίῳ λυομένων γάμων. τοῖς δὲ παισὶν ἁρμόσει πᾶν γαμικὸν κέρδος ἐξ οἱασδήποτε λύσεως κατὰ δεσποτείαν, κἂν μὴ δευτερογαμήσωσιν οἱ γονεῖς αὐτῶν, οἵτινες τὴν χρῆσιν τῶν τοιούτων γαμικῶν κερδῶν ἔχουσι τρέφοντες τοὺς αὐτῶν παῖδας [1].

2. Τῆς μητρὸς εἰς δευτέρους γάμους ἐλθούσης, κέρδος εὐθὺς ἁπάντων τῶν παίδων [τὴν δεσποτείαν] τῆς προγαμιαίας δωρεᾶς [γενέσθαι], καὶ μηδεμίαν ἄδειαν εἶναι τῇ μητρὶ τοὺς μὲν τῶν παίδων ἐπιλέγεσθαι, τοὺς δὲ ἀτιμάζειν, διότι πάντας ὁμοῦ τοῖς δευτέροις ὕβρισε γάμοις· ὥστε καὶ ἐπὶ [τοῦ παρόντος ἡ δεσποτεία τῆς προγαμιαίας δωρεᾶς ὅλη πρὸς] τοὺς παῖδας παραγενήσεται, τῆς χρήσεως παρὰ τῇ μητρὶ μέχρι περίεστι φυλαττομένης· καὶ εἰ μὲν ἡ μήτηρ προαπέλθῃ, τῇ παιδὶ τῆς ὅλης προγαμιαίας δωρεᾶς ἁρμοζούσης· [εἰ δὲ ἡ παῖς, μένειν μὲν] παρὰ τῇ μητρὶ τὸ ἐκ τοῦ τῆς ἀπαιδίας συμφώνου κέρδος, τὸ δὲ λοιπὸν τῇ παιδὶ ἢ τελευτώσης ἢ τελευτώντων τοῖς κληρονόμοις δίδοσθαι, αὐτῶν ἀπὸ τοῦ νόμου καλουμένων. ἐὰν γὰρ οὐ παιδὶ τυχὸν, ἀλλά τινι τῶν ἔξωθεν ἡ μήτηρ, ἔτι δευτέρων ἄπειρος οὖσα γάμων, μοῖράν τινα τῆς προγαμιαίας δωρεᾶς ἤ τινα πράγματα δωρήσεται εἴτε κατὰ ἄλλον τυχὸν τρόπον ἐκποιήσεται, εἶτα ὕστερον εἰς ἄνδρα φοιτήσειε δεύτερον, πρόδηλον ὅτι τὸ τῆς ἐκποιήσεως ἀνατροπῇ ἀνατραπήσεται. καὶ εἴπερ ὑπάρχουσι παῖδες, ἡ δεσποτεία πρὸς αὐτοὺς ἐρχομένη μηδὲν ἐπιδίδωσι τῇ γυναικὶ ὡς ἐπὶ βλάβῃ τῶν παίδων ἐργασαμένῃ· εἰ δὲ προτελευτήσαιεν ἅπαντες τῆς μητρὸς, μένειν τὸ συνάλλαγμα βέβαιον, οὐκ εἰς ὁλόκληρον, ἀλλὰ κατὰ τὸ ἐξ ἀπαιδίας σύμφωνον, καὶ κατά τινα μοῖραν ἔσται τὸ συνάλλαγμα βέβαιον, κατά τινα δὲ ἄκυρον ἀποφαίνεται, τουτέστι κατὰ μὲν τὸ μένον παρὰ τῇ μητρὶ προφάσει τοῦ ἐξ ἀπαιδίας συμφώνου κρατήσει, κατὰ δὲ τὸ παραπεμπόμενον εἰς τοὺς τοῦ παιδὸς διαδόχους ἄκυρον ἔσται· ὡς εἴγε ἡ μήτηρ μόνη τῷ παιδὶ διάδοχος εὑρεθῇ, τὸ πᾶν αὖθις κύριον ἔσται [2].

3. Θεσπίζομεν τὰ ἄλλα πράγματα τὰ μετὰ τῆς πρὸ γάμου δωρεᾶς εἰς τοὺς παῖδας ἀφιγμένα, εἰ μὲν ὁ παῖς διάθοιτο κατὰ νόμον, χωρεῖν ἐπὶ τοὺς γεγραμμένους κληρονόμους, ἐνταῦθα τῆς μητρὸς οὐ κωλυομένης γράφεσθαι παρὰ τοῦ παιδὸς κληρονόμου, ἀλλὰ καὶ τῶν κατὰ τῆς διαθήκης αὐτῇ διδομένων

---

[1] Theodor. Nov. 127 c. 3 et Nov. 98 c. 1 ex Epan. XIX, 12. [2] Nov. 2 c. 1. 2 ex Epan. h. t. c. 13.

δικαίων, εἴγε ὁ παῖς αὐτὴν παραλείψειεν ἢ καὶ ἀλόγως ἀποκληρονόμον ποιήσεται, φυλαττομένων. εἰ δὲ ἀδιάθετος τελευτήσειε, τῆς ἐκείνου μοίρας, εἰ μὲν ἔχει παῖδας ἰδίους, ἐπ᾿ αὐτοὺς ἀφικομένης· εἰ δὲ οὐκ ἔχει παῖδας, εἴη δὲ τῶν ἀδελφῶν ἡ κλῆσις, καὶ τῆς μητρὸς ἅμα αὐτοῖς ἐπὶ τὸν κλῆρον ἐρχομένης καὶ τοῦτον ἰσχυρῶς ἐχούσης, εἴτε δευτέροις ὁμιλήσειε γάμοις εἴτε καὶ μή. τῆς δὲ προγαμιαίας δωρεᾶς εἰς δεύτερον ἐλθοῦσα συνοικέσιον, μηδὲ καθ᾿ ὅσον κληρονομεῖ τοῦ παιδὸς ἀπολαυέτω, ἀλλὰ τοῦτο τῶν παίδων ἐστὶ μόνων, κέρδος αὐτοῖς παρὰ τοῦ νόμου διδόμενον, καὶ μὴ δοκοῦν εἶναι μέρος τοῦ κλήρου τοῦ παιδὸς, ἀλλ᾿ ἔτι τῆς προγαμιαίας δωρεᾶς οὐκ ἀποβαλὸν τὴν φύσιν [3]."

4. Εἰ δέ τινες τοῖς ἔμπροσθεν οὐκ ἀρκεσθέντες γάμοις καὶ πρὸς δεύτερον ἔλθοιεν, εἰ μὲν οὖν ἄπαιδες μείνοιεν ἐκ τῶν προτέρων γάμων, οὐδεμία πολυπραγμοσύνη περὶ τὰ μέτρα· ἀλλὰ ἄνδρες μὲν ἀπελεύσονται παντοίως πάσης παρατηρήσεως ἐλεύθεροι, γυναιξὶ δὲ μόνον ἐπικείσεται δέος ὥστε μὴ πρὸ τοῦ ἐνιαυσιαίου χρόνου πρὸς δεύτερον συνοικέσιον ἐλθεῖν, ἢ γινώσκειν, ὡς εἴ τι τοιοῦτον πράξαιεν καὶ ἀώρους συναλλάξαιεν γάμους, ὑφέξουσι ποινὰς, ἐλάττους μὲν εἴπερ ἄπαιδες ἐκ τῶν προτέρων ὦσι συνοικεσίων, μείζους δὲ εἰ καὶ παῖδες ὑπεῖεν. εἰ μὲν γὰρ οὐχ ὑπέστι γυνὴ, τὸ τῆς ἀτιμίας εὐθὺς ἀκολουθήσει καὶ ἔσται παντοίως ἡ γυνὴ διὰ τὴν τῶν γάμων σπουδὴν ἠτιμωμένη καὶ οὐ λήψεται τῶν παρὰ τοῦ προτέρου τὶ καταλελειμμένων αὐτῇ συνοικεσίου, οὐδὲ ἀπολαύσει τῆς προγαμιαίας δωρεᾶς, οὐδὲ τῷ συνοικοῦντι κατὰ δεύτερον γάμον περαιτέρω τῆς τρίτης τῆς οἰκείας περιουσίας ἐπιδώσει μοίρας, οὐ μὴν οὐδὲ τῆς ἔξωθεν αἰσθήσεται φιλοτιμίας, οὐδὲ λήψεται παρ᾿ οὐδενὸς παντελῶς τῶν ἔξωθεν, οὐ κλῆρον, οὐ λεγάτον, οὐ τὴν μετὰ θάνατον δωρεάν· ἀλλὰ ταῦτα ἐλεύσεται ἢ μενεῖ παρὰ τοῖς κληρονόμοις τοῦ συνοικήσαντός ποτε ἢ συγκληρονόμοις αὐτῆς, εἴγε ἠδύνατο κληρονομεῖν ὅλως· οἷα αὐτῆς οὐδ᾿ ὁτιοῦν ὄφελος ἐχούσης, ἀλλ᾿ εἰ γεγραμμένοι καὶ ἕτεροι τύχοιεν κληρονόμοι εἴτε ἐξ ἀδιαθέτου καλοῖντο, πρὸς ἐκείνους ἐλεύσεται τὰ τῇ τοιαύτῃ γυναικὶ καταλελειμμένα· οὐ γὰρ τὸ δημόσιον αὐτὰ οἰκειώσεται, μήποτε δόξωμεν τὰ τοιαῦτα σωφρονίζοντες τῆς τοῦ δημοσίου προνοεῖν ὠφελείας. ἀλλ᾿ οὕτω μὲν τὰ τῶν ἔξωθεν αὐτῇ καταλελειμμένα πρὸς ἑτέρους χωρήσει, τὰ δὲ παρὰ τοῦ προτέρου συνοικήσαν-

---

[3] Nov. 2 c. 3 ex Epan. h. t. c. 14.

τος ἀφίξεται παρ' αὐτῆς ἀφαιρούμενα πρὸς τὰ δέκα πρόσωπα τῆς τοῦ καταλιπόντος ἀνδρὸς συγγενείας, τουτέστιν ἀνιόντας κατιόντας ἢ τοὺς ἐκ πλαγίου μέχρι δευτέρου βαθμοῦ, τῶν βαθμῶν ἐπὶ τῆς οἰκείας φυλαττομένων τάξεως· ὧν οὐχ ὑφεστώτων ἐπὶ τὸ ταμιεῖον ἐλεύσεται. ἀλλ' οὐδὲ περαιτέρω κληρονομίαν ἐξ ἀδιαθέτου τῶν οἰκείων αὐτῆς ὑπελεύσεται συγγενῶν, ἀλλὰ μέχρι τρίτου βαθμοῦ πανταχόθεν στήσεται μόνον τὰ τῆς διαδοχῆς αὐτῆς, οἱ πόῤῥω δὲ αὐτῇ ἑτέρους ἕξουσι κληρονόμους. εἰ δὲ παῖδες ὑπεῖεν, ἔξεστι μὲν αὐτῇ βασιλέως ὑπὲρ τῆς ἀτιμίας δεῖσθαι, οὐ μὴν ὄφελός τι τῶν ἀντιγραφομένων ἔχειν, πλὴν εἰ μὴ βούλεται τὰς ἐκ τῆς βασιλείας ἔχειν ὠφελείας καὶ τῶν ἄλλων ἀπαλλαγῆναι ποινῶν, τοῖς ἐκ τοῦ πρώτου γάμου παισὶ τὴν ἡμίσειαν τῆς οἰκείας περιουσίας δωρουμένη μοῖραν καθαρὰν, πάσης αἱρέσεως χωρὶς καὶ οὐδὲ τὴν χρῆσιν παρακατέχουσα, ἀλλὰ πάσης τῆς οὐσίας ὅτε πρὸς τοὺς δευτέρους γάμους ἐφοίτα τὴν ἡμίσειαν μοῖραν τοῖς ἔμπροσθεν γινομένοις παισὶν ἐπιδῷ. καὶ διαιρήσονται ταύτην οἱ παῖδες ἅπαντες ἐξ ἴσης· εἰ δὲ οὐκ ἔχοιεν, τὰ τοῦ τελευτήσαντος ἢ τῶν τελευτησάντων μέρη λήψονται πάντως ἀναλόγως ἑκάτερα· εἰ δὲ πάντες ἀπέλθοιεν, ἐχέτω παραψυχὴν τῆς ἑαυτῆς δυσκληρίας ἡ γυνὴ ταῦτα πάντα λαβεῖν. καὶ ταῦτά φαμεν, εἴπερ ἀδιάθετοι τελευτήσαιεν οἱ παῖδες. οὐ γὰρ ἐπὶ τοῖς ἅπαξ γενομένοις ὑπ' αὐτῶν εἴρξομεν αὐτοὺς διαθήκας γράφειν [4].

5. Εἰ δὲ καὶ ἐμμένοι μὲν τὸν χρόνον ἡ γυνὴ καὶ αὐτὴ διαφύγῃ τὰς εἰρημένας ποινὰς, ἐπὶ δεύτερον δὲ ἀφίκοιτο συνοικέσιον τῶν προτέρων ἀμελήσασα γάμων, εἴπερ οὐκ ἔχει παῖδας, ἀκίνδυνον ἅπαν τὸ ἐντεῦθεν [5].

6. Ἐπειδὴ δὲ καὶ γυναῖκας τὰς εἰς δεύτερον γάμον οὐκ ἐρχομένας προτιμήσεώς τινος ἀξίας παρὰ τὰς δευτερογαμούσας εἶναι νομίζομεν, θεσπίζομεν, εἴ τις ἀποβαλλομένη τὸν ἄνδρα ἑτέρων ἀπόσχοιτο γάμον, ἔχειν μὲν αὐτὴν τὴν χρῆσιν τῆς προγάμου δωρεᾶς, καθὰ καὶ πρότερον ἐθεσπίσαμεν, ἔχειν δὲ αὐτὴν καὶ δεσποτείας τοσοῦτον, ὅσον ὡς πρὸς τοὺς παῖδας ἀναλογία ποιεῖ, ἵνα κατὰ τὸν τῆς δεσποτείας λόγον ἓν καὶ αὐτὴ παιδὸς πρόσωπον ἔχειν δοκεῖ. ταῦτα δὲ κρατεῖν οὐκ ἐπὶ μητέρων μόνων κελεύομεν, ἀλλὰ καὶ ἐπὶ πατέρων καὶ τῶν ἄλλων ἀνιόντων βουλόμεθα τῶν εἰς ἑτέρους γάμους οὐκέτι ἐρχομένων,

---

[4] Nov. 22 c. 22 ex Epan. h. t. c. 15. [5] Nov. 22 c. 23 ex Epan. h. t. c. 16. sed mutilo in fine. Nempe exemplar Epanagogae, quo auctor usus est, mutilatum fuisse videtur, ita ut desiderarentur titt. XX—XL.

καὶ ἔσονται ταῦτα αὐτοῖς οἰκεῖα καὶ οὐδὲν σχεδὸν τῆς ἄλλης αὐτῶν περιουσίας διαφέροντα [6].

ΤΙΤΛΟΣ ιη'.

Περὶ δωρεῶν μεταξὺ ἀνδρὸς καὶ γυναικός.

1. Μεταξὺ ἀνδρὸς καὶ γυναικὸς οὐκ ἔῤῥωται δωρεά, διὰ τὸν ἔρωτα καὶ διὰ τὸ μὴ ἔχειν αὐτοὺς διαζυγίου πρόφασιν καὶ διὰ τὸ μὴ γίνεσθαι τὸν εὔπορον ἄπορον καὶ τὸν ἄπορον εὔπορον [1].

2. Οὐ μόνον ἐπὶ τῶν συνεστώτων γάμων, ἀλλὰ καὶ ἐπὶ τῶν κεκωλυμένων ἀνίσχυροί εἰσιν αἱ δωρεαί [2].

3. Καὶ οἱ συνυπεξούσιοι τῶν γεγαμημένων, ἐλεύθεροί τε καὶ δοῦλοι, κωλύονται δωρεῖσθαι· καὶ ὑπεξούσιοι τοῖς ὑπεξουσίοις. ὅθεν ἡ γυνή μου τῷ ὑπεξουσίῳ μου υἱῷ οὐκ ἐῤῥωμένως δωρεῖται, εἰ μὴ ἐπὶ κάστρα ἀπιόντι· ἰδιόκτητα γὰρ αὐτοῦ γίνεται. καὶ ὁ ὑπεξούσιός μου ἐκ τοῦ ἰδίου πεκουλίου καλῶς δωρεῖται τῇ γαμετῇ μου. ὁ οὖν ἔχων υἱὸν αὐτεξούσιον καὶ τῇ ἰδίᾳ γαμετῇ καὶ τῇ νύμφῃ δωρεῖσθαι οὐ κωλύεται [3].

4. Ἡ πενθερὰ τῇ νύμφῃ καὶ ἡ νύμφη τῇ πενθερᾷ δωρεῖται. οὐ γὰρ ὕπεστι λόγος ὑπεξουσιότητος [4].

5. Εἰ μὲν μὴ ἔχων πρόθεσιν ὁ ἀνὴρ πωλῆσαι πέπρακε τῇ γυναικὶ διὰ τὸ δωρεῖσθαι αὐτῇ, ἄκυρος ἡ πρᾶσις. εἰ δὲ πωλῆσαι βουλόμενος ὀλίγου πέπρακεν, εἰς ὃ γέγονεν ἡ γυνὴ πλουσιωτέρα, ἀκυροῦται· τυχὸν γὰρ δοῦλον ιε νομισμάτων ἄξιον ἐπώλησεν [εἰς ε νομίσματα, καὶ νῦν ἄξιός ἐστι ι νομίσματα· τὰ ε δίδωσιν,] εἰς ἃ νῦν ἐστιν εὐπορωτέρα [5].

6. Ἐπὶ τῶν κεκωλυμένων γάμων εἰ μὲν φαίνεται τὰ δωρηθέντα, ἐκδικεῖται· εἰ δὲ δεδαπάνηται, ἀπαιτεῖται ὁ δεξάμενος μέχρις οὗ γέγονεν εὐπορώτερος [6].

7. Καλῶς ἀλλήλοις θανάτου αἰτίᾳ δωροῦνται· εἰς καιρὸν γὰρ ἀναφέρεται, ἐν ᾧ ὁ γάμος παύεται, καὶ τῷ θανάτῳ τοῦ δωρησαμένου γίνεται τοῦ λαβόντος, ἐν δὲ τῷ μεταξὺ τοῦ δω-

---

[6] Nov. 127 c. 3.

[1] Dig. XXIV, 1, 1—3 ex Proch. X, 1. [2] Dig. cit. 3 §. 1 ex Proch. h. t. c. 2. [3] Dig. cit. 3 §. 2—5 ex Proch. h. t. c. 3. [4] Dig. cit. 3 §. 7 ex Proch. h. t. c. 4. [5] Dig. cit. 5 §. 5 ex Proch. h. t. c. 5. [6] Dig. cit. 5 §. 18 ex Proch. h. t. c. 6.

ρησαμένου ἐστίν. πᾶσα γὰρ δωρεὰ θανάτου αἰτίᾳ μεταξὺ τῶν συνοικούντων ἔῤῥωται [7].

8. Διαζυγίου γινομένου ἢ θανάτου αἰτίᾳ δωρεὰ οὐκ ἔῤῥωται, ἀλλὰ ἀκυροῦται [8].

9. Καλῶς δωροῦμαι τῇ γαμετῇ μου τὸ ἀρκοῦν πρὸς ἀνανέωσιν τοῦ καυθέντος αὐτῇ οἴκου [9].

10. Αἱ πρὸ γάμου δωρεαὶ ἰσχύουσι, κἂν ἐν τῇ αὐτῇ ἡμέρᾳ γαμηθῶσιν [10].

11. Οὐ λαμβάνει ὁ ἀνὴρ, εἴ τι ἐδαπάνησεν εἰς τεχθέντας ἐκ τῶν προικιμαίων δούλων, ἢ δέδωκεν εἰς μάθησιν αὐτῶν ἢ εἰς τέρψεις ἢ εἰς τροφάς· τῇ γὰρ ὑπηρεσίᾳ αὐτῶν κέχρηται. τὸ δὲ δοθὲν ταῖς τροφοῖς λαμβάνει, ὡς ἐπὶ σωτηρίᾳ δοθέν· ὃν τρόπον εἰ παρὰ λῃστῶν τοὺς προικιμαίους ἐῤῥύσατο δούλους [11].

12. Ἐὰν ἧττω τῶν ιβ ἐνιαυτῶν ἀγαγόμενός τις δωρήσηται αὐτῇ, εἰ μὲν προϋπῆν μνηστεία, μένει καὶ ὡς πρὸς μνηστὴν ἡ δωρεὰ ἔῤῥωται. εἰ δὲ μὴ προῆν μνηστεία, ἄκυρος ἡ δωρεά. οὐ γὰρ πρὸς ἐξωτικὴν, ἀλλ' ὡς πρὸς γαμετὴν ἐγένετο [12].

13. Ἐὰν δωρεᾶς ἐν γάμῳ γενομένης συμβῇ συναποθανεῖν τὸν ἄνδρα καὶ τὴν γυναῖκα, οὐδέτερος ἐνάγει, ἐπειδὴ οὐδεὶς αὐτῶν ἐπέζησε τῷ ἑτέρῳ [13].

14. Περὶ δωρεῶν. — Τῶν δωρεῶν αἱ μέν εἰσιν ἐν ζωῇ γινόμεναι καὶ πρὸς ζωὴν τὴν χάριν καὶ τὴν εὐεργεσίαν γνωρίζουσαι καὶ τὴν εὐγνωμοσύνην ἐπιζητοῦσαι· αἱ δὲ ἐν αἰτίᾳ θανάτου γινόμεναι, καὶ μετὰ τὸν ὡς εἰπεῖν αἴτιον [ταύτης τῆς δωρεᾶς θάνατον] τὴν περαίωσιν καὶ βεβαίωσιν ἔχουσαι. πρὸ γὰρ τοῦ τελευτῆσαι τὸν δωρησάμενον οὐδὲν ἕξει ὁ τὴν δωρεὰν κατέχων ἐκ τοῦ δωρηθέντος κτήματος, διότι πρόσκειται τὸ μετὰ θάνατον [14].

15. Τῶν ἐν ζωῇ δωρεῶν αἱ μέν εἰσιν ἐξ αὐτῆς τῆς ὥρας καὶ τοῦ καιροῦ τὴν περαίωσιν δεχόμεναι, καὶ ὡς εἰπεῖν ἀπεντεῦθεν ἤδη τὴν περαίωσιν δεχόμεναι καὶ παραδιδόμεναι μηδεμιᾶς προφάσεως ἢ αἱρέσεως ἐγκειμένης· αἱ δὲ ὑπὸ αἵρεσιν διδόμεναι, ὡς ἂν ὁ δωρούμενος ἐπείποι καὶ προσδιορίσηται [15].

---

[7] Dig. cit. 9 §. 2—11 pr. §. 1 ex Proch. h. t. c. 7. [8] Dig. cit. 11 §. 10 ex Proch. h. t. c. 8. [9] Dig. cit. 14 ex Proch. h. t. c. 9. [10] Dig. cit. 27 ex Proch. h. t. c. 10. [11] Dig. cit. 28 §. 1 ex Proch. h. t. c. 11. [12] Dig. cit. 32 §. 27 ex Proch. h. t. c. 12. [13] Dig. cit. 32 §. 14 ex Proch. h. t. c. 13. [14] Inst. II, 7 ex Proch. XII, 1. [15] Proch. eod. c. 2.

16. *Μετὰ θάνατον δωρεά ἐστιν, ὅταν τὶς ἑαυτὸν θέλοι μᾶλλον ἔχειν ἢ τὸν λαμβάνοντα, τὸν δὲ λαβόντα πλέον τοῦ ἰδίου κληρονόμου* [16].

17. *Ἐὰν ἀπόντος τινὸς γένηται δωρεαστικὸν ὡσανεὶ δωρησαμένου αὐτοῦ, οὐδὲν αὐτῷ πρόκριμα γίνεται ἐκ τοῦ τοιούτου συμβολαίου· καὶ γὰρ δύναται τοῦτο παραγράφεσθαι ὡς παρὰ γνώμην αὐτοῦ γινόμενον* [17].

18. *Τρία ἐστὶν εἴδη τῶν ἐν αἰτίᾳ θανάτου δωρεῶν. ἓν μὲν, ὅτε μηδενὸς ἐπηρτημένου φόβου δωρεῖται, διὰ μόνην ἐλπίδα φυσικοῦ θανάτου. δεύτερον δὲ, ὅτε τὶς διὰ τὸν ἐπηρτημένον ἔξωθεν καὶ οὐκ ἐκ τοῦ λαμβάνοντος θάνατον δωρεῖται, ἐφ᾽ ᾧ παραχρῆμα δεσπόσαι τὸν λαβόντα. τρίτον δὲ, ὅτε δι᾽ ἀποδημίας κίνδυνον δίδοται, ἐφ᾽ ᾧ τὸν λαβόντα μὴ δεσπόσαι ἕως ἂν ὁ δεδωκὼς ἀποθάνῃ· οἷον κίνδυνον λῃστῶν ἢ πολεμίων ἢ ναυαγίου ἢ τόπους ἐπιβουλευομένους εὐλαβούμενος· ταῦτα γὰρ πάντα κίνδυνον ἐνεστῶτα σημαίνουσιν* [18].

19. *Ἐὰν δωρούμενος ἀποστείλω σοι πρᾶγμα καὶ πρὶν ἢ δοθῆναί σοι ἀποθάνω, οὐ γίνεται σόν* [19].

20. *Ἐὰν ὁ ὑπεξούσιος κελεύσει ἢ βουλήσει πατρὸς δωρήσηται, ὁ πατὴρ δωρεῖσθαι δοκεῖ. καὶ ἐάν τις τὸ σὸν πρᾶγμα βουλήσει τῇ σῇ δωρεῖταί τινι ὡς ἴδιον, δοκεῖς σὺ τοῦτο δωρεῖσθαι* [20].

21. *Ὅτι δεῖ τὰς δωρεὰς τὰς ὑπὲρ τῶν φ νομισμάτων οὔσας .... καὶ εἰ διὰ μαρτύρων πιστῶν βεβαιοῦνται, κἂν ἄρα ἄγραφός ἐστιν ἡ μαρτυρία, πιστὰς καὶ ἐῤῥωμένας εἶναι διατυποῦμεν* [21].

22. *Δύναται ὁ ἀνὴρ δωρήσασθαι τῇ γυναικὶ δοῦλον, ἵνα λαβοῦσα αὐτὸν ἐλευθερώσῃ* [22].

23. *Οἱ προγενέστεροι δανεισταὶ τοῦ ἀνδρὸς, εἰ μὴ ὑποθήκας ἔχουσιν, οὐ δύνανται τὰ τῇ μνηστῇ δωρηθέντα παρ᾽ αὐτοῦ πράγματα ἀποσπᾶν* [23].

24. *Ἐὰν ἐνισταμένοις τοῖς γάμοις ὁ ἀνὴρ ὡς δωρούμενος τῇ γυναικί τινα προσέθηκε τῇ προικὶ καὶ ἐτελεύτησεν ἐφησυχάσας τῇ δωρεᾷ, ἐνάγονται οἱ κληρονόμοι αὐτοῦ παρασχεῖν ὅπερ ὁ ἀνὴρ ἐδωρήσατο. τῷ γὰρ θανάτῳ τοῦ ἀνδρὸς ἴσχυσεν ἡ δωρεά* [24].

---

[16] Dig. XXXIX, 6, 1 pr. ex Proch. eod. c. 3. [17] Basil. XXII, 1, 52. [18] Dig. XXXIX, 6, 2—6 ex Proch. eod. c. 4. [19] Dig. XXXIX, 5, 2 §. 6 ex Proch. eod. c. 5. [20] Dig. cit. 9 §. 2 ex Proch. eod. c. 6. 7. [21] Nov. Leonis 50. [22] Basil. XXX, 1, 85. [23] Basil. XXVIII, 3, 13. [24] Basil. XXX, 1, 56.

25. *Τὰ τῷ ἀνδρὶ παρὰ τῆς γυναικὸς δωρούμενα διὰ τὸ τυχεῖν αὐτὸν ἀξίας, ἔῤῥωται μέχρι τοῦ προχωροῦντος ποσοῦ* [25].

26. *Καὶ εἰς προκοπὴν τοῦ ἀνδρὸς καλῶς ἡ γυνὴ δωρεῖται* [26].

27. *Διὰ τὸ τυχεῖν τιμῆς καὶ λαβεῖν ἀξίαν ἱππέως ἢ ἄλλην στρατείαν ἀριθμοῦ τινος ἢ τάγματος ἢ χάριν τινὸς θέας* [27].

28. *Καὶ ἐξορίας χάριν καλῶς ἀλλήλοις δωροῦνται ὅ τε ἀνὴρ καὶ ἡ γυνή* [28].

29. *Ἐὰν ἡ παλλακή μου ὅπερ ἐδωρησάμην αὐτῇ ἀμείψῃ πρός με μετὰ τὸν γάμον, οὐκ ἔστι δωρεὰ, ἀλλὰ συνάλλαγμα* [29].

30. *Ἐὰν ὁ ἀνὴρ δωρησάμενος τῇ γυναικὶ τελευτήσῃ ἐφησυχάσας τῇ δωρεᾷ, [βεβαιοῦται ἡ δωρεά.] ὅθεν εἰ ὁ δημόσιος ὡς ἀποκληρονόμητον διαδέξηται τὸν ἄνδρα, οὐ δύναται τὴν δωρεὰν ἀνατρέπειν* [30].

31. *Ἐὰν ὁ ἀνὴρ δούλην ἐξ οἰκείων νομισμάτων ἀγοράσῃ, εἰς ὄνομα δὲ τῆς γυναικὸς δωρεᾶς ἕνεκεν κελεύσῃ τῷ ὠνεακῷ συνταγῆναι, ὡς παρ᾽ αὐτῆς τὸ δοθὲν τίμημα καταβληθῇ, καὶ τὴν δούλην ἴσως λάβῃ, ἀποκαθίσταται αὐτῷ ἡ δωρεά. εἰ δὲ εἰς ὄνομα ἐξωτικοῦ τοῦτο παρεσκεύασε γενέσθαι ἢ ἐν οὐ γάμῳ εἰς ὄνομα τῆς δῆθεν γυναικὸς, ἴσχυσεν ἡ δωρεά* [31].

32. *Ἐάν τις αὐτεξούσιος ὢν δωρήσηται τῇ γυναικὶ καὶ τελευτήσει ἐφησυχάσας τῇ δωρεᾷ, βεβαιοῦται τὸ γεγονὸς, καὶ οὐ δύναται ὁ τούτου πατὴρ ἀφαιρεῖσθαι τὰ πράγματα, οὐδὲ εἰ φαρμάκοις λέγει ὑπὸ γυναικὸς τοῦτον ἀναιρεθῆναι. κεχώρισται γὰρ ὁ τοῦ ἐγκλήματος λόγος ἀπὸ τῶν δωρεῶν* [32].

33. *Ἐτήσιόν ἐστι τὸ παρεχόμενον τῇ γυναικὶ παρὰ τοῦ ἀνδρὸς καθ᾽ ἕκαστον ἐνιαυτὸν ἢ καθ᾽ ἕκαστον μῆνα εἰς ἰδιαζούσας αὐτῆς χρείας, τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον ὑπὲρ τοῦ βασιλικοῦ ἢ μύρων ἢ ὀψωνίων. τοῦτο δὲ τὸ ἐνιαυσιαῖον, εἰ μὲν ἐπαγγέλλεται ὁ ἀνὴρ, οὐκ ἀναγκάζεται διδόναι· εἰ δὲ δώσει καὶ λαβοῦσα ἡ γυνὴ δαπανήσει, οὐ δύναται ἀπαιτεῖν αὐτὸ ὁ ἀνήρ* [33].

34. *Δύναται ὁ ἀνὴρ δωρήσασθαι τῇ γυναικὶ δοῦλον, ἵνα λαβοῦσα αὐτὸν ἐλευθερώσῃ* [34].

35. *Ἐάν τις ἐπὶ ἐγκλήματι κατηγορηθῇ ἢ δημευθῇ, μὴ ἐνοχλείσθω τῆς ἐκείνου γαμετῆς ἡ οὐσία. ἀλλ᾽ ἐχέτω πάντα τὰ πράγματα τὰ ἴδια καὶ τὰ πατρῷα καὶ ὅσα ἀπὸ δωρεᾶς τοῦ*

---

[25] Bas. cit. 38. [26] Bas. cit. 39. [27] Bas. cit. 40. [28] Bas. cit. 41. [29] Bas. cit. 55. [30] Bas. cit. 64. [31] Bas. cit. 65. [32] Bas. cit. 73. [33] Bas. cit. 74. [34] Bas. cit. 85. Supra §. 22.

ἀνδρὸς εἰς αὐτὴν περιῆλθον· ταῦτα μὲν ἐὰν θάνατον ἐπήγαγεν αὐτοῦ ἡ τιμωρία, τῇ γὰρ προτελευτῇ τοῦ δωρησαμένου βεβαιοῦται ἡ δωρεά [35].

36. Αἱ παρὰ τοῦ βασιλέως εἰς τὴν δέσποιναν δωρεαὶ οὐ δέονται πράξεως ὑπομνημάτων [36].

ΤΙΤΛΟΣ ιθ'.

Περὶ ἀνατροπῆς δωρεῶν.

1. Ἐάν τις μὴ ἔχων υἱὸν πᾶσαν αὐτοῦ τὴν οὐσίαν ἢ μέρος αὐτῆς ἰδίῳ ἀπελευθέρῳ δωρήσηται, σχῇ δὲ παῖδας μετὰ ταῦτα, πᾶσα ἀκυρούσθω ἡ δωρεά, καὶ παλινδρομείτω πάντα πρὸς τὸν δωρησάμενον, ἔχοντα πάλιν ἐξουσίαν ὡς βουλῆς ἔχει διοικεῖν αὐτά [1].

2. Οὔτε ἄνηβος οὔτε ἄνους δύναται δωρεῖσθαι· ἐν οὐδενὶ γὰρ τούτων ἐστὶ βούλησις [2].

3. Ἐὰν ὁ τὴν δωρεὰν εἰληφὼς ἀχάριστος ὀφθῇ περὶ τὸν δωρησάμενον σκαιαῖς κατὰ τούτου χρησάμενος ὕβρεσι, ἢ χεῖρας ἀδίκους ἐπαγάγῃ, ἢ ζημίαν μεγίστην περιβάλλῃ ἐξ οἰκείας ἐπιβουλῆς, ἢ περὶ τὴν ζωὴν ἐπιβουλεύσῃ, ἢ τὰ ἐν τῇ δωρεᾷ πάντα εἴτε ἐγγράφως εἴτε ἀγράφως γεγονότα μὴ πληρώσῃ· μιᾶς γὰρ ἐκ τούτων τῶν αἰτιῶν ἐν δικαστηρίῳ κατὰ σύστασιν φανερῶς ἀποδεικνυμένης ἀνατρεπέσθωσαν αἱ γινόμεναι δωρεαί [3].

ΤΙΤΛΟΣ κ'.

Περὶ λύσεως γάμων καὶ τῶν αἰτιῶν αὐτοῦ.

1. Ἐπειδὴ πολλὰς ἐν τοῖς παλαιοῖς νόμοις εὕρομεν αἰτίας, ἐξ ὧν εὐχερῶς αἱ τῶν γάμων διαλύσεις γίνονται, τούτου ἕνεκα συνείδομεν ἐκ τούτων περιελεῖν τινας, αἵπερ ἡμῖν ἀνάξιοι πρὸς τὸ διαλύειν γάμους ἐφάνησαν, καὶ ταύτας μόνον ὀνομαστὶ [τῷ παρόντι ἐντάξαι νόμῳ], ὑπὲρ ὧν εὐλόγως τοὺς γάμους ἔξεστι διαλύειν δίχα ποινῆς [1]. τάδε εἰσίν·

---

[35] Bas. cit. 87. [36] Bas. cit. 89.

[1] Cod. VIII, 56, 8 ex Proch. XIII, 1. [2] Dig. XXXIX, 5, 23 ex Proch. h. t. c. 2. [3] Cod. VIII, 56, 10 ex Proch. h. t. c. 3.

[1] Nov. 117 c. 8 pr. ex Proch. XI, 1.

2. Διαλύεται γάμος κατὰ πρόφασιν ἀναγκαίαν τε καὶ οὐκ ἄλογον, ὅταν τὶς οὐχ οἷός τε εἴη συνιέναι τῇ γυναικὶ καὶ τὰ παρὰ τῆς φύσεως ἀνδράσι διδόμενα πράττειν, ἀλλὰ τριετία μὲν παραδράμῃ ἐκ τοῦ τῶν γάμων καιροῦ, ὁ δὲ ὅτι ταῖς ἀληθείαις ἐστὶν ἀνὴρ, οὐ δεικνύει, πάρεστι τῇ γυναικὶ ἢ τοῖς αὐτῆς πατράσι διαζευγνύναι τὸ συνοικέσιον καὶ στεῖλαι διάλυσιν, κἂν εἰ μὴ βούλοιτο τοῦτο ὁ συνοικῶν. κἀνταῦθα ἡ μὲν προῖξ, ἥτις ἐστὶν ὅλως ἐπιδεδομένη, ἀκολουθήσει τῇ γυναικὶ καὶ ἀποδώσει ταύτην ὁ ἀνὴρ εἴγε βούλοιτο λαβών· ἡ δὲ διὰ τῶν γάμων ἤτοι πρὸ τῶν γάμων δωρεὰ μένει παρὰ τῷ ἀνδρὶ μηδὲν οἴκοθεν ζημιουμένῳ [2].

3. Θεσπίζομεν καὶ τὸν ἐν αἰχμαλωσίᾳ διαλύεσθαι τοῦ γάμου, οὐχ ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλλ' ἕως μέν ἐστι φανερὸν περιεῖναι τὸν ἄνδρα ἢ τὴν γαμετὴν, μένειν ἄλυτα τὰ συνοικέσια συγχωροῦμεν, καὶ οὐκ ἐλεύσονται πρὸς δευτέρους γάμους οὔτε γυναῖκες οὔτε ἄνδρες, εἰ μὴ βούλοντο κατὰ προπέτειαν τοῦτο πρᾶξαι καὶ ὑποπεσεῖν ταῖς ποιναῖς, ὁ μὲν τῇ τῆς πρὸ γάμου δωρεᾶς ἐκτίσει, ἡ δὲ τῆς προικός. εἰ δὲ ἄδηλον καθεστοίη τὸ ἐν πολεμίοις ὂν πρόσωπον, τηνικαῦτα πενταετίαν μενετέον εἴτε τῷ ἀνδρὶ εἴτε τῇ γυναικὶ, ἕως σαφῆ γένοιτο τὰ τῆς τελευτῆς· εἰ δὲ ἄδηλον μένει, γαμεῖν ἔξεστιν ἀκινδύνως, ὥστε ἐνταῦθα οὐ διαισίῳ γίνεται καιρὸς, οὐδὲ τῶν προσώπων διεστώτων ἀπ' ἀλλήλων. καὶ οὐδεὶς ἐνταῦθα κερδαίνει, οὔτε ὁ ἀνὴρ τὴν προῖκα οὔτε ἡ γυνὴ τὴν προγάμου δωρεὰν, ἀλλ' ἕκαστος ἐπὶ τῶν οἰκείων μένει [3].

4. Ἐπειδὴ δὲ κατὰ συναίνεσιν ἢ καὶ διὰ σωφροσύνην ἐλύετο ὁ γάμος, θεσπίζομεν, μὴ ἄλλως πως ἢ παρευθὺς τὰ ἑκάτερα μέρη τῷ μονήρει βίῳ προσέρχεσθαι, ἀζημίων δηλονότι φυλαττομένων αὐτῶν· ἀπὸ γὰρ συναινέσεως οὐδεὶς λύειν γάμον δύναται [4].

5. Ἐξ αἰτίας διαλυθέντος γάμου, εἰ μὲν παρ' αἰτίαν τοῦ ἀνδρὸς, οἱ κοινοὶ παῖδες ἑκατέρας φύσεως ὄντες παρὰ τῇ μητρὶ μὴ δευτερογαμούσῃ διαγέτωσαν, ἐκ τῆς οὐσίας [τοῦ πατρὸς] ἀποτρεφόμενοι, οἳ καὶ δύνανται τοὺς γονεῖς κληρονομεῖν. εἰ δὲ παρ' αἰτίαν τῆς γυναικὸς ὁ γάμος διελύθη, παρὰ τῷ πατρὶ καὶ οἰκείτωσαν καὶ τρεφέσθωσαν. ἀποροῦντος δὲ τοῦ πατρὸς

---

[2] Nov. 22 c. 6 ex Proch. h. t. c. 2. [3] Nov. 22 c. 7 ex Proch. h. t. c. 3. [4] Proch. h. t. c. 4.

ἡ μήτηρ τούτους τρεφέτω. καὶ γὰρ πάντες οἱ ἀνιόντες καὶ κατιόντες πενομένους ἀλλήλους ἀναγκάζονται τρέφειν [5].

6. Καὶ προφάσει σωφροσύνης λύεται γάμος. εἰ δέ τις τῶν διὰ σωφροσύνην λυσάντων τὸν γάμον ἄλλην ἀγάγηται γαμετὴν ἢ πορνεύων φανῇ, τὴν πᾶσαν αὐτοῦ περιουσίαν οἱ παῖδες λήψονται, καὶ εἰ ἀτελοῦς ὦσιν ἡλικίας, διοικηθήσονται καὶ ἀνατραφήσονται παρὰ τοῦ μὴ πταίσαντος γονέως. ἀμφοτέρων δὲ πταισάντων, οἱ παῖδες τὸ πᾶν τῆς τούτων ὑποστάσεως [διαδέξονται], κουράτωρος τούτοις διδομένου παρὰ τοῦ προσφόρου δικαστοῦ. εἰ δὲ μὴ ἔχουσι παῖδας, ὁ δημόσιος ταῦτα διαδέξεται καὶ αὐτοὶ νομίμως τιμωρηθήσονται [6].

7. Τὰς αἰτίας, δι' ὧν ὁ ἀνὴρ χωριζόμενος τὴν προῖκα τῆς γυναικὸς ἀποκερδαίνειν δύναται, φυλαττομένης τῆς ἐπ' αὐτῇ δεσποτείας τοῖς ἐκ τοῦ αὐτοῦ γάμου παισὶν, ἢ παίδων οὐκ ὄντων ἀπολαβόντος αὐτοῦ καὶ τῆς δεσποτείας ταύτης ὄντος τούτου κυρίου, διατυποῦμεν [7].

8. Εἰ κατὰ τῆς βασιλείας βουλομένοις τισὶ σύνοιδεν ἡ γυνὴ καὶ μὴ τῷ ἰδίῳ ἀνδρὶ φανερώσῃ. εἰ δὲ ὁ ἀνὴρ τοῦτο παρὰ τῆς γυναικὸς προσαγγελθεὶς σιωπήσῃ, ἐξέστω τῇ γυναικὶ δι' οἱουδήποτε προσώπου ταῦτα προσαγγέλλειν τῇ βασιλείᾳ, ὥστε τὸν ἄνδρα μηδεμίαν ἐκ ταύτης τῆς αἰτίας λύσεως γάμου εὑρεῖν πρόφασιν [8].

9. Εἰ περὶ μοιχείας ὁ ἀνὴρ νομίσῃ δύνασθαι τὴν αὐτοῦ γαμετὴν ἐλεγχθῆναι, προσήκει τὸν ἄνδρα πρότερον ἐγγράφεσθαι τὴν [9] γυναῖκα ἢ τὸν μοιχόν· καὶ εἴπερ ἡ τοιαύτη κατηγορία ἀληθὴς ἀποδειχθῇ, τηνικαῦτα χωρισμοῦ γινομένου ἔχειν τὸν ἄνδρα πρὸς τῇ προγάμου δωρεᾷ καὶ τὴν προῖκα, καὶ πρὸς τούτοις, εἰ παῖδας μὴ ἔχοι, τοσοῦτον λαμβάνειν ἐκ τῆς ἄλλης τῆς γυναικὸς περιουσίας, ὅσον τῆς προικὸς εἶναι τὸ τρίτον μέρος γινώσκεται, ὥστε τῇ αὐτοῦ δεσποτείᾳ καὶ τὴν προῖκα καὶ τὴν παρ' ἡμῶν ὁρισθεῖσαν ποινὴν προσκυροῦσθαι. εἰ δὲ παῖδας ἔχοι ἐκ τοῦ αὐτοῦ συνοικεσίου, κελεύομεν καὶ τὴν προῖκα καὶ τὴν ἄλλην τῆς γυναικὸς περιουσίαν τοῖς παισὶ φυλάττεσθαι, καὶ οὕτως τὸν μοιχὸν νομίμως ἐλεγχόμενον ἅμα τῇ γυναικὶ τιμωρήσασθαι. καὶ εἰ μὲν ἔχει ὁ μοιχὸς γυναῖκα, ἀναλαμβάνειν αὐτὴν τὴν ἰδίαν προῖκα καὶ τὴν πρὸ γάμου δωρεὰν, ὥστε εἰ

---

[5] Athan. X, 9 ex Nov. 117. [6] Athan. X, 9 ex Nov. 117. [7] Nov. 117 c. 8 ex Proch. h. t. c. 5. [8] Nov. cit. ex Proch. h. t. c. 6. [9] Alii καὶ οὕτως τὴν γ.

παῖδας ἔχοι, μόνον τῆς χρήσεως αὐτὴν ἀπολαύειν, τῆς δεσποτείας τοῖς [παισὶ φυλαττομένης· τὴν δὲ ἄλλην τοῦ ἀνδρὸς περιουσίαν τοῖς] παισὶν αὐτοῦ δωρούμεθα. ἢ παίδων οὐκ ὄντων τῆς μὲν προγαμιαίας δωρεᾶς τὴν δεσποτείαν τῇ γυναικὶ διαφέρειν θεσπίζομεν, τὴν δὲ ἄλλην τοῦ ἀνδρὸς περιουσίαν τῷ φίσκῳ κατὰ τοὺς παλαιοὺς προσκυροῦσθαι νόμους [10].

10. *Ἐὰν οἱῳδήποτε τρόπῳ ἡ γυνὴ τῇ ζωῇ τοῦ ἀνδρὸς ἐπιβουλεύσῃ, ἢ ἄλλοις τισὶ τοῦτο ποιοῦσι συνειδυῖα τῷ ἀνδρὶ μὴ φανερώσῃ* [11].

11. *Ἐὰν ἀνδράσι μὴ βουλομένου τοῦ ἀνδρὸς ἐξωτικοῖς συμποσιάζῃ ἢ συλλούηται* [12].

12. *Ἐὰν μὴ βουλομένου τοῦ ἀνδρὸς ἔξω τοῦ οἴκου μείνῃ, εἰ μήτοιγε τυχοῦσα παρὰ τοῖς ἰδίοις γονεῦσιν* [13].

13. *Ἐὰν ἱππικοῖς ἢ θεάτροις ἢ κυνηγίοις παραγενήσεται ἐπὶ τὸ θεωρῆσαι ἀγνοοῦντος ἢ κωλύοντος τοῦ ἀνδρός* [14].

14. *Ἐὰν δὲ συμβῇ τινα δίχα μιᾶς τῶν εἰρημένων τούτων αἰτιῶν τὴν ἑαυτοῦ γαμετὴν τοῦ ἰδίου οἴκου ἐξωθῆσαι, ὥστε ἐκείνην μὴ ἔχουσαν γονεῖς, πρὸς οὓς δύναται ἀπελθοῦσα μένειν, ἐξ ἀνάγκης ἔξω τὴν νύκτα διάγειν, κελεύομεν μηδεμίαν εἶναι τῷ ἀνδρὶ ἄδειαν διὰ ταύτην τὴν αἰτίαν χωρίζεσθαι τῆς γυναικός, διότιπερ αὐτὸς εἰς τοῦτο αἴτιος γίνεται* [15].

15. *Τὰς αἰτίας, δι' ὧν εὐλόγως δύναται ἡ γυνὴ τοῦ ἀνδρὸς χωρισθῆναι καὶ ἐξ ὧν δύναται τὴν προῖκα λαμβάνειν καὶ τὴν διὰ τοὺς γάμους ἀπαιτεῖν δωρεάν, ὁμοίως τοῖς παισὶ φυλαττομένης τῆς ἐπὶ τῇ δωρεᾷ δεσποτείας, ἢ παίδων μὴ ὄντων, αὐτῆς ἐχούσης καὶ τὴν ταύτης δεσποτείαν, ταύτας εἶναι διατυποῦμεν* [16].

16. *Εἰ κατὰ τῆς βασιλείας ἢ αὐτὸς βουλεύσηταί τι ἢ τοῦτό τισι βουλευομένοις συνιδὼν μὴ φανερώσῃ τῇ βασιλείᾳ ἢ δι' ἑαυτοῦ ἢ δι' οἱουδήποτε προσώπου* [17].

17. *Ἐὰν οἱῳδήποτε τρόπῳ ὁ ἀνὴρ τῇ ζωῇ τῆς γυναικὸς ἐπιβουλεύσῃ, ἢ ἄλλῳ τοῦτο βουλομένῳ εἰδὼς μὴ φανερώσῃ τῇ γυναικὶ καὶ σπουδάσῃ κατὰ τοὺς νόμους ἐκδικῆσαι* [18].

18. *Ἐὰν ὁ ἀνὴρ τῇ τῆς γυναικὸς σωφροσύνῃ ἐπιβουλεύων ἄλλοις αὐτὴν εἰς τὸ μοιχευθῆναι ἐπιχειρήσει προδοῦναι* [19].

---

[10] Nov. cit. ex Proch. h. t. c. 7.
[11] Nov. cit. ex Proch. h. t. c. 8.
[12] Nov. cit. ex Proch. h. t. c. 9.
[13] Nov. cit. ex Proch. h. t. c. 10.
[14] Nov. cit. ex Proch. h. t. c. 11.
[15] Nov. cit. ex Proch. h. t. c. 12.
[16] Nov. 117 c. 9 ex Proch. h. t. c. 13.
[17] Nov. cit. ex Proch. h. t. c. 14.
[18] Nov. cit. ex Proch. h. t. c. 15.
[19] Nov. cit. ex Proch. h. t. c. 16.

19. Ἐὰν ὁ ἀνὴρ ἐπὶ μοιχείᾳ τῆς γυναικὸς ἐγγράψηται καὶ τὴν μοιχείαν μὴ ἀποδείξῃ, ἐξεῖναι τῇ γυναικὶ βουλομένῃ καὶ ὑπὲρ τῆς τοιαύτης αἰτίας χωρίζεσθαι τοῦ ἀνδρὸς, καὶ ἀπολαμβάνει μὲν τὴν ἰδίαν προῖκα, κομίζεται δὲ καὶ τὴν προγάμου δωρεὰν, καὶ ὑπὲρ τῆς τοιαύτης συκοφαντίας, εἰ παῖδας μὴ ἔχοι ἐκ τοῦ αὐτοῦ συνοικεσίου, τοσοῦτον λαμβάνει ἐκ τῆς ἄλλης τοῦ ἀνδρὸς περιουσίας, ὅσον τῆς προγαμιαίας δωρεᾶς τὸ τρίτον μέρος εἶναι γινώσκεται. εἰ γὰρ παῖδας ἔχοι, κελεύομεν τὴν πᾶσαν τοῦ ἀνδρὸς περιουσίαν τοῖς παισὶ φυλάττεσθαι, βεβαίων μενόντων τῶν περὶ τῆς προγαμιαίας δωρεᾶς, τῶν τοῖς ἄλλοις περιεχομένων νόμοις, οὕτω μέντοιγε ὥστε καὶ διὰ τὴν ἐπαχθεῖσαν [τῆς μοιχείας κατηγορίαν καὶ μὴ ἀποδειχθεῖσαν] κἀκείναις τὸν ἄνδρα ταῖς τιμωρίαις ὑποβληθῆναι, ἃς ἔμελλεν ἡ γυνὴ ὑπομένειν, εἴπερ ἂν ἡ τοιαύτη ἀπεδείχθη κατηγορία [20].

20. Ἐὰν ὁ ἀνὴρ ἐν τῷ αὐτοῦ οἴκῳ, καθ' ὃν μετὰ τῆς αὐτοῦ γυναικὸς συνοικεῖ, περιφρονῶν αὐτὴν μεθ' ἑτέρας εὑρίσκηται ἐν τῷ αὐτοῦ οἴκῳ μένων, ἢ κατὰ τὴν αὐτὴν πόλιν διάγων ἐν ἑτέρῳ οἴκῳ μετὰ ἄλλης γυναικὸς συνεχῶς μένων ἐλέγχηται, καὶ ἅπαξ ἢ δὶς ἐγκληθεὶς, ἢ διὰ τῶν αὐτοῦ γονέων ἢ διὰ τῶν τῆς γυναικὸς ἢ δι' ἑτέρων τινῶν ἀξιοπίστων μαρτύρων, τῆς τοιαύτης ἀσελγείας μὴ ἀπόσχηται, ἐξεῖναι τῇ γυναικὶ καὶ ὑπὲρ ταύτης τῆς αἰτίας διαλύειν τὸν γάμον, καὶ ἀναλαμβάνειν τὴν δεδομένην προῖκα καὶ τὴν προγάμου δωρεὰν, καὶ ὑπὲρ τῆς τοιαύτης ὕβρεως τρίτον μέρος τῆς διατιμήσεως ἣν ἡ προγαμιαία ποιεῖται δωρεὰ, ἐκ τῆς ἄλλης αὐτοῦ περιουσίας λαμβάνειν. οὕτω μέντοιγε ὥστε εἰ παῖδας ἔχοι, τῆς χρήσεως μόνης ἀπολαύειν τὴν γυναῖκα τῶν πραγμάτων τῆς τε προγαμιαίας δωρεᾶς καὶ τοῦ τρίτου αὐτῆς, τῆς δεσποτείας τοῖς κοινοῖς φυλαττομένης παισίν. εἰ δὲ γὰρ παῖδας μὴ ἔχοι ἐκ τοῦ αὐτοῦ συνοικεσίου, ἔχειν αὐτὴν τῶν τοιούτων πραγμάτων καὶ τὴν δεσποτείαν κελεύομεν [21].

21. Εἴτε στρατιῶται εἶεν εἴτε φοιδεράτοι εἴτε σχολάριοι εἴτε ἄλλοι τινὲς ὑφ' ἑτέραν οἱανοῦν στρατείαν ἔνοπλον καταλεγόμενοι, κελεύομεν, ὁσουσδήποτε ἐνιαυτοὺς ἐν ἐξπεδίτῳ μένουσι, περιμένειν τὰς τούτων γαμετὰς, κἂν μὴ γράμματα ἢ ἀπόκρισίν τινα παρὰ τῶν ἰδίων ἀνδρῶν δέξωνται [22].

22. Εἰ δέ τις ἐκ τῶν τοιούτων γυναικῶν τὸν ἴδιον ἄνδρα

---

[20] Nov. cit. ex Proch. h. t. c. 17. [21] Nov. cit. ex Proch. h. t. c. 18.
[22] Nov. 117 c. 11 ex Proch. h. t. c. 19.

ἀκούσηται τετελευτηκέναι, οὐδέποτε [εἰς ἑτέρους αὐτὴν ἐλθεῖν γάμους ἐπιτρέπομεν, εἰ μὴ πρότερον] παραγενήσεται εἴτε δι' ἑαυτῆς ἢ διὰ τῶν ἰδίων γονέων ἢ δι' ἄλλου οἱουδήποτε προσώπου πρὸς τοὺς χαρτουλαρίους ἢ λεγαρίους ἢ τριβούνους τοῦ ἀριθμοῦ, ἐν ᾧ ὁ ταύτης ἀνὴρ ἐστρατεύετο, καὶ ἐρωτήσει εἰ ταῖς ἀληθείαις ἐτελεύτησεν ὁ αὐτῇ συνοικήσας, ὥστε ἐκείνους τῶν ἁγίων εὐαγγελίων προκειμένων ἐπὶ πράξεως ὑπομνημάτων [καταθέσθαι, εἰ ταῖς ἀληθείαις ὁ ἀνὴρ τετελεύτηκεν· καὶ μεθ' ὃ ταῦτα πράξει ὑπομνημάτων] ἀναληφθέντα ἡ γυνὴ ὑπὲρ τῆς ἰδίας μαρτυρίας ἐκλάβῃ, καὶ μετὰ ταῦτα κελεύομεν μένειν αὐτὴν ἑνὸς ἐνιαυτοῦ διάστημα, ὥστε μετὰ τὴν αὐτοῦ παραδρομὴν ἐξεῖναι τῇ γυναικὶ νομίμως συναλλάττειν γάμον. εἰ δὲ παρὰ ταύτην τὴν παρατήρησιν ἡ γυνὴ τολμήσῃ εἰς ἕτερον ἐλθεῖν γάμον, καὶ αὐτὴ καὶ ὁ ἀγόμενος αὐτὴν εἰς γάμον ὡς μοιχοὶ τιμωρείσθωσαν [23].

23. Εἰ δὲ ἐπὶ πράξεως ὑπομνημάτων μεθ' ὅρκου καταθέμενοι ἐλεγχθῶσι μετὰ ταῦτα πλαστῶς καταθέμενοι, αὐτοὶ μὲν τῆς στρατείας γυμνούμενοι δέκα χρυσίου λιτρῶν ποινὴν συνελαθήσονται καταβαλεῖν ἐπ' ἐκεῖνον, ὃν ἐψεύσαντο τετελευτηκέναι, αὐτὸς δὲ ἄδειαν ἐχέτω, εἰ βουληθείη, τὴν ἰδίαν γαμετὴν ἀναλαμβάνειν [24].

24. Διαλύεται τὸ συνοικέσιον διαζυγίῳ, ἢ θανάτῳ, ἢ αἰχμαλωσίας ἢ ἄλλης δουλείας συμβαινούσης ἑνὶ τῶν συνοικούντων [25].

25. Καὶ ἐπὶ τῇ συστάσει τῆς μνηστείας δεῖ τελεῖσθαι διαζύγιον καὶ οὕτως συντίθεται. ἀδιάφορον, εἴτε αὐτῷ παρόντι ἀπαγορευθῇ, εἴτε ἀπόντι διὰ τοῦ ὑπεξουσίου αὐτοῦ ἢ τοῦ ἴσως ἔχοντος αὐτὸν ὑπεξούσιον [26].

26. Διαζύγιον οὐκ ἐστὶ τὸ μὴ ὂν ἀληθὲς καὶ ἐπὶ διηνεκεῖ διαιρέσει. ὅθεν ὡς διὰ θερμότητα πέμψασα διαζύγιον καὶ συντόμως ὑποστρέψασα οὔτε διαζυγῆναι δοκεῖ [27].

27. Οὐκ ἔῤῥωται τὸ διαζύγιον εἰ μὴ προσληφθῶσιν ζ̄ μάρτυρες ῥωμαῖοι ἔφηβοι, ἐν οἷς οὐκ ἐστιν ἀπελεύθερος τοῦ ποιοῦντος τὸ διαζύγιον ἢ τοῦ πατρὸς αὐτοῦ ἢ τοῦ πάππου ἢ τῶν ἄλλων ἀνιόντων ἢ κατιόντων [28].

28. Οὐ δύναται ἡ μήτηρ διαζύγιον πέμπειν τῷ ἀνδρὶ τῆς θυγατρός [29].

---

[23] Nov. cit. ex Proch. h. t. c. 20. [24] Nov. cit. ex Proch. h. t. c. 21. [25] Basil. XXVIII, 7, 8. [26] Basil. eod. 9. [27] Bas. eod. 10. [28] Bas. eod. 15. [29] Bas. eod. 18.

29. *Περιορισμὸς ἢ ἐξορία οὐ λύει τὰ συνοικέσια* [30].

30. *Δύναται ὁ ἀνὴρ ἐκ τῶν καρπῶν, ὧν μετὰ τὸ διαζύγιον ἔλαβε, παρακρατεῖν ἅπερ ἐδωρήσατο τῇ γυναικὶ, καὶ ἅπερ ἀφείλετο* [31].

31. *Ἐὰν μετὰ τὸ διαζύγιον ἐνάγει περὶ τῆς προικὸς ἡ γυνὴ, καὶ ὑποστρέψῃ εἰς τὸν γάμον, σβέννυται τὸ διαζύγιον καὶ μένει πάντα ἐν τῇ προτέρᾳ καταστάσει* [32].

32. *Ἐὰν ὁ εἷς τῶν συνοικούντων μανῇ, ὁ ἕτερος διαζύγιον οὐ δύναται στέλλειν. εἰ δὲ φορητή ἐστιν ἡ μανία, εἴτε διηνεκὴς εἴτε ἐκ διαλειμμάτων, οὐκ ὀφείλει ὁ νήφων στέλλειν τῷ μαινομένῳ διαζύγιον. εἰ δὲ στείλει, δοκεῖ κατὰ προπέτειαν αὐτοῦ λύειν τὸν γάμον* [33].

33. *Εἰ μέντοι περιφρονεῖ τῆς γυναικὸς, μηδεμίαν αὐτῆς φροντίδα ποιούμενος, καὶ τῇ προικὶ κατακέχρηται, ἄδειαν ἔχει ὁ κουράτωρ καὶ οἱ συγγενεῖς αὐτῆς προσιέναι τῷ ἁρμοδίῳ ἄρχοντι, καὶ ἀναγκάζειν τὸν ἄνδρα τρέφειν αὐτὴν καὶ φροντίζειν τῆς ἰατρείας αὐτῆς καὶ μηδὲν παραλείπειν τῶν ἀνδρὶ πρεπόντων πρὸς τὸ ποσὸν τῆς προικός. εἰ δὲ σκορπίζει τὴν προῖκα, μεσεγγυᾶται ἐφ᾽ ᾧ τὴν γυναῖκα καὶ τὰς μετ᾽ αὐτὴν ἐντεῦθεν ἀξίαν σχεῖν παραμυθίαν, φυλαττομένων τῶν ἐξ ἀρχῆς συμφώνων* [34].

34. *Ἐὰν ὁ ἀνὴρ μετὰ διαζύγιον κατὰ πλάνην πλέον τοῦ ποσοῦ τῆς προικὸς ἐπερωτηθῇ, οὐ βλάπτεται, [εἴτε κατὰ πλάνην] εἴτε μὴ πλέον ἐπηρώτησεν ἡ γυνή* [35].

35. *Ἐὰν μετὰ διαζύγιον δοῦλος γυναικὸς κλέψῃ, καὶ τῇ περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἐνέχεται* [36].

36. *Ἡ γυνὴ κλέψασά τι τοῦ ἀνδρὸς τῇ περὶ ἀφαιρέσεως πραγμάτων ἀγωγῇ ἐνάγεται μετὰ τὸ διαζύγιον, οὐ μὴν τῇ περὶ κλοπῆς εἰς τὸ διπλάσιον, ὥσπερ καὶ ἡ θυγάτηρ κλέψασά τι τοῦ πατρός. ἄτιμος γὰρ ἀγωγὴ κατὰ γαμετῆς οὐ δίδοται* [37].

37. *Ἐὰν ἐν καιρῷ διαζυγίου ἡ γυνὴ εἰσαγάγῃ κλέπτας εἰς τὸν οἶκον τοῦ ἀνδρὸς, εἴτε περιέλθῃ εἰς αὐτὴν ἃ ἔκλεψαν εἴτε μὴ, κατέχεται* [38].

38. *Ἐὰν ὅπερ ἠγόρασα καλῇ πίστει ἡ γυνή μου διαζυγίου αἰτίᾳ ὑφέληται, ἢ τῷ κλέπτοντι συνεισήγαγε σπουδὴν, ἐνέχεται τῇ περὶ ἀφαιρέσεως πραγμάτων ἀγωγῇ* [39].

---

[30] Bas. eod. 16. [31] Bas. XXVIII, 8, 7 th. 5. [32] Bas. eod. 19. [33] Bas. eod. 22 th. 8. [34] Bas. eod. 22 th. 9. [35] Bas. eod. 63 th. 5. [36] Bas. XXVIII, 11, 3. [37] Bas. eod. 1. [38] Bas. eod. 19. [39] Bas. eod. 20.

39. Ἐὰν ἡ γυνὴ ἀπελπίσασα τὴν ζωὴν τοῦ ἀνδρὸς κλέψῃ καὶ διαζυγῇ, ὑγιάνας ὁ ἀνὴρ ἕξει κατὰ ταύτης τὴν περὶ ἀφαιρέσεως πραγμάτων ἀγωγήν [40].

40. Ἐὰν δοῦλος τῆς γυναικὸς διαζυγίου αἰτίᾳ κατὰ κέλευσιν αὐτῆς ὑφέληται τοῦ ἀνδρός τι, οὔτε κλέπτης ἐστὶν, ὡς μὴ διὰ κέρδος ἴδιον τοῦτο ποιήσας, οὔτε κλέπτειν ἡ γυνὴ δοκεῖ· ἡ γὰρ γυνὴ οὐ κλέπτει. εἰ καὶ μάλιστα δοῦλος ἐν τοῖς ἁμαρτήμασιν οὐκ ὀφείλει τῷ δεσπότῃ πειθαρχεῖν. ἡ δὲ γυνὴ ἐνέχεται μόνον τῇ περὶ ἀφαιρέσεως πραγμάτων ἀγωγῇ [41].

41. Εἴτε ὁ ἀνὴρ ἀπὸ τῆς γυναικὸς ἀποσυλήσει πράγματα διαζυγίου ἕνεκεν, εἴτε ἡ γυνὴ ἀπὸ τοῦ ἀνδρὸς, [ἐστὶν] ἡ περὶ ἀφαιρέσεως πραγμάτων ἀγωγή [42].

42. Ἐὰν διαζευχθεῖσα γυνὴ καὶ μήπω ἀνακαλεσαμένη τὰ προικῷα αὐτῆς ὑποστρέψῃ εἰς τὸν γάμον, ἀνανεοῦν δοκεῖ τὴν προῖκα [43].

43. Ἐὰν διαζυγίου γενομένου μὴ ἀσφαλίσηται παρὰ τῆς γυναικὸς ὁ ἀνὴρ περὶ τῆς προικὸς καὶ γαμηθεῖσα ἑτέρῳ ὑποστρέψῃ πρὸς τὸν πρῶτον, ἀνανεοῦται σιωπηρῶς ἡ προῖξ [44].

44. Ἐὰν μετὰ διαζύγιον ὁ ἀνὴρ λέγει τὴν γυναῖκα ἐγκυμονεῖν, αὕτη δὲ ἀρνεῖται, ἐπιλέγεται ὁ ἄρχων τρεῖς μαίας δοκίμους τὴν τέχνην καὶ τὴν πίστιν, καὶ θεωροῦσι. καὶ ἐὰν αἱ τρεῖς ἢ καὶ δύο εἴπωσιν αὐτὴν μὴ ἐγκυμονεῖν, οὐ δέχεται φυλακὴν, καὶ ὁ ἀνὴρ αὐτῆς εἰς ὕβριν καὶ ἀτιμίαν δοκεῖ τοῦτο πεποιηκέναι. τὸ γὰρ ἐγκυμονούμενον πρὶν ἢ τεχθῆναι μέρος ἐστὶ τῆς μητρός. εἰ δὲ ἐρωτωμένη εἴπῃ ἐγκυμονεῖν, χώρα τῷ δόγματι. εἰ δὲ ἀρνεῖται, τότε αἱ μαῖαι προσκαλοῦνται, οὐ παρὰ τοῦ ἀνδρὸς ἢ τῆς γυναικὸς, ἀλλὰ παρὰ τοῦ ἄρχοντος, καὶ ἐπιλέγεται ὁ ἄρχων οἶκον σεμνῆς γυναικὸς καὶ θεωρεῖται ἐν αὐτῷ ἡ γυνή. εἰ δὲ μὴ ἀνάσχηται ἐλθεῖν εἰς τὸν οἶκον ἢ θεωρηθῆναι, ὁ ἄρχων αὐτὴν ἀναγκάζει. ἔχει δὲ τριάκοντα ἡμέρας εἰς θεωρίαν [45].

45. Ἐὰν τοῦ ἀνδρὸς τελευτήσαντος ἡ γυνή φησιν ἐγκυμονεῖν, ὀφείλει δεύτερον τῷ μηνὶ παραγγέλλειν οἷς διαφέρει ἢ προκουράτωρσιν αὐτῶν, ἵνα εἰ βούλονται πέμψωσι τὰς ὀφειλούσας ἐπιδεῖν τὴν γαστέρα. πέμπονται δὲ πέντε γυναῖκες ἐλεύθεραι καὶ ἅμα πᾶσαι ἐφορῶσι, καὶ οὐδεμία τούτων ἀκούσης τῆς γυναικὸς ἅπτεται τῆς γαστρὸς αὐτῆς. τίκτει δὲ ἐν

---

[40] Bas. eod. 21 th. 1. [41] Bas. eod. 21 th. 2. [42] Bas. eod. 32. [43] Bas. XXIX, 1, 36. [44] Bas. eod. 60. [45] Basil. XXXI, 7, 1.

οἴκῳ σεμνῆς γυναικὸς ἐπιλεγομένῳ παρὰ τοῦ ἄρχοντος. πρὸ λ̄ δὲ ἡμερῶν τοῦ νομίζειν τίκτειν στελλέτω τὴν παραγγελίαν ἡ γυνὴ, καὶ μὴ ἐχέτω ὁ κοιτὼν εἰς ὃν τίκτει πολλὰς εἰσόδους, ἀλλὰ μίαν· εἴπερ δὲ εἰσὶ καὶ λοιπαὶ, σανίσι ταύτας ἀποφράττειν. καὶ πρὸ τῆς οἰκίας τρεῖς ἐλεύθεροι καὶ τρεῖς ἐλεύθεραι καὶ δύο στρατιῶται φυλάττουσι, καὶ τοὺς εἰς τὸν κοιτῶνα πολλάκις εἰσιόντας ψηλαφῶσιν. ἀλλὰ καὶ τὰς φυλαττούσας καὶ διδομένας μετὰ τῶν μαιῶν γυναῖκας μὴ ἐγκυμονεῖν. ἔστωσαν δὲ φῶτα τρία· ἡ γὰρ σκοτία συμβάλλεται τῷ ποιοῦντι ὑποβολιμαῖον. καὶ τότε τὸ τεχθὲν μηνῶν ἕως τῶν ς̄ ἅπαξ τοῦ μηνὸς, ἀπὸ δὲ τῶν ς̄ μηνῶν ἕως οὗ γένηται ἐνιαύσιον ὑπὲρ μῆνα, ἀπὸ δὲ τοῦ ἐνιαυτοῦ ἕως οὗ ἄρξηται λαλεῖν ἅπαξ καθ᾽ ἑξάμηνον . . .[46].

46. Ἐὰν ἐπιφέροντος τοῦ κληρονόμου ὀμόσῃ ἐγκυμονεῖν ἡ γυνὴ, φυλάττεται ὁ ὅρκος, καὶ οὐκ ἐνέχεται ὡς συκοφαντίᾳ εἰς νομὴν πεμφθεῖσα, οὔτε γίνεται αὐτῇ βία μετὰ τὸν ὅρκον. μετὰ δὲ τὸ τεκεῖν ζητεῖται, εἰ ἐκ τοῦ τελευτήσαντος ἦν ἔγκυος. οὔτε γὰρ ἄλλῳ τοκετῷ συμβάλλεται ἢ λυμαίνεται ὁ ἑτέρου ὅρκος [47].

47. Εἰ δὲ συμβῇ τὸν ἄνδρα τῇ ἑαυτοῦ γαμετῇ ἢ εἰς ἀναίρεσιν ἢ εἰς ἔκστασιν τῆς διανοίας δοῦναι φάρμακον, ἢ τὴν γαμετὴν τῷ ἀνδρὶ, ἢ ἄλλῳ τρόπῳ τὸν ἕτερον τῇ τοῦ ἑτέρου ζωῇ ἐπιβουλεῦσαι, τὸ τοιοῦτον ἔγκλημα πούβλικον ὑπάρχον κατὰ νόμους ἐξετάζεσθαι καὶ νομίμης ἐκδικήσεως ἀξιοῦσθαι θεσπίζομεν [48].

ΤΙΤΛΟΣ κα΄.

Περὶ πράσεως καὶ ἀγορασίας.

1. Πρᾶσις καὶ ἀγορασία συνίσταται, ἡνίκα περὶ τοῦ τιμήματος ἑκάτερον συναινέσει μέρος, καὶ ὁ μὲν τὴν καταβολὴν ποιήσεται τοῦ τιμήματος, ὁ δὲ παραδώσει τὸ πιπρασκόμενον. ἀλλὰ κἂν ὁ ἕτερος τούτων ἢ τὴν καταβληθεῖσαν τιμὴν ἀναλάβοι, ἢ τὸ διαπραθὲν πρᾶγμα παραλάβοι, ἐφ᾽ ᾧ τὴν πρᾶσιν ἀδιάσειστον προβῆναι, καὶ οὕτως τὰ τῆς πράσεως ἔῤῥωται [1].

2. Τὸ δὲ ἀῤῥαβῶνος χάριν παρασχόμενον ἔλεγχός ἐστι καὶ ἀπόδειξις πράσεως καὶ ἀγορασίας συστάσεως, οὐ μὴν δὲ αὐτὸ

---

[46] Bas. eod. [47] Bas. XXXI, 9, 1. [48] Non invenio.

[1] Theoph. Inst. III, 23 ex Proch. XIV, 1.

μόνον σύστασις, ἀλλὰ σὺν τοῖς λοιποῖς. ταῦτα δὲ περὶ πράσεως καὶ ἀγορασίας λέγομεν [τῆς ἀγράφως γινομένης. ἐπὶ δὲ τῆς ἐγγράφως γινομένης οὐχ ἑτέρως τὸ τέλειον προσγενήσεσθαι λέγομεν], εἰ μὴ καὶ τὰ συμβόλαια τῆς πράσεως ἐγράφη, ἢ οἰκείᾳ χειρὶ τοῦ πεπρακότος, ἢ ὑπὸ ἑτέρου μὲν ἐγράφη, ὑπογράψῃ δὲ ὁ πιπράσκων· εἰ δὲ διὰ ταβελλίωνος γένηται, καὶ κόμβλα παρακολουθήσει προταχθείσης καὶ ὑποταγείσης ὑπογραφῆς τοῦ συμβολαίου [2].

3. Τὸ ἀῤῥαβῶνος χάριν μεταδιδόμενον, εἰ μὲν πράτης ἦν ὁ μεταμελούμενος, διπλάσιον [ἀναγκάζεται] ἀποδοῦναι ὅπερ ἔλαβεν· εἰ δὲ ὁ ἀγοραστὴς, ἀπόλλυσιν ὃ δέδωκε, φυλαττομένου καὶ [τοῦ ἐκ] τοῦ συμβολαίου προστίμου [3].

4. Οὐδεὶς ἐκ τοῦ παρ᾽ αὐτοῦ ἐγχειριζομένου ὀφφικίου ἀγοράζειν τὶ δύναται κινητὸν δι᾽ ἑτέρου ἢ δι᾽ ἑαυτοῦ. καὶ γὰρ τοῦ πράγματος ἐκπίπτει καὶ τὸ δοθὲν οὐκ ἀναλαμβάνει τίμημα. ὅπερ κρατεῖ καὶ ἐπὶ τοῦ κουράτωρος τοῦ βασιλέως, εἰ μὴ παρὰ τοῦ δημοσίου [4].

5. Μετὰ τὸ πραθῆναι καὶ ἀγορασθῆναί τι κατὰ τοὺς ὡρισμένους χαρακτῆρας τῆς τε ἀγράφου καὶ ἐγγράφου πράσεως καὶ ἀγορασίας, ὁ κίνδυνος τοῦ πεπραμένου πράγματος τὸν ἀγοραστὴν ὁρᾷ, εἰ καὶ μήπω τὸ πρᾶγμα παραδέδοται. τοιγαροῦν εἴτε οἰκέτης ἐστὶν ὁ πεπραμένος, καὶ τελευτήσῃ ἢ μέρος τὶ βλαβῇ τοῦ σώματος, πόδα ἢ χεῖρα ἢ ὀφθαλμὸν, ἢ οἰκία οὖσα ἡ πεπραμένη ἢ πᾶσα ἢ ἐκ μέρους πυρὶ δαπανηθῇ, ἢ ἀγρὸς διὰ ποταμοῦ ὅλος ἢ μέρος ἀπόληται εἴτε τῇ πλημμύρᾳ τοῦ ὕδατος ἢ δένδρων ἐξ ἀνέμων καταπεσόντων πολλῶν ἢ ἥττων καὶ χείρων γένηται ὁ ἀγρὸς, ἐπὶ τούτων πάντων ἡ ζημία τὸν ἀγοραστὴν ὁρᾷ. καθόλου γὰρ ἴσθι, ὅτι δίχα δόλου ἢ ῥᾳθυμίας τοῦ πράτου εἰ συμβῇ πρᾶγμά τι τοιοῦτον, ἕξει τὸ ἀμέριμνον ὁ πράτης [5].

6. Ὥσπερ ἡ ἐκ τύχης ἐλάττωσις ἤτοι ἀπώλεια τοῦ πεπραμένου πράγματος εἰς τὸν ἀγοραστὴν ἀνατρέχει, οὕτως καὶ εἴ τι προσγέγονε κέρδος τῷ πεπραμένῳ πράγματι, τὸν ἀγοραστὴν ὠφελήσει. ὅθεν εἰ καὶ διὰ προσκλύσεως ἤτοι προσχώσεως ποταμοῦ μείζων γέγονεν ὁ ἀγρὸς μετὰ τὸ συστῆναι τὴν πρᾶσιν, τὸ κέρδος ὁ ἀγοραστὴς ἀπολαύσει [6].

---

[2] Theoph. cit. ex Proch. eod. [3] Theoph. cit. ex Proch. eod. [4] Dig. XVIII, 1, 46. 62 ex Proch. h. t. c. 2. [5] Theoph. Inst. III, 23, 3 ex Proch. h. t. c. 3. [6] Theoph. ib. ex Proch. h. t. c. 4.

7. Ἡ πρᾶσις καὶ ἀπεντεῦθεν ἤδη ἤγουν εὐθέως χωρὶς χρόνου ἀναβολῆς τελειούσθω, ὡς ὅταν δίδως τόσον εἰς τὸ λαβεῖν τόδε· καὶ ὑπὸ αἵρεσιν γίνεται, οἷον ὁ δεῖνα οἰκέτης εἴγε εἴσω μηνὸς ἀρέσῃ σοὶ, ἔστω σοὶ πεπραμένος νομίσμασι ι̅[7].

8. Ἐὰν κελευσθεὶς ὁ δοῦλός μου τοὺς ὅρους ὑποδεῖξαι τοῦ πραθέντος ἀγροῦ, πλέον ὑποδείξῃ κατὰ δόλον ἢ ἄγνοιαν, οὐ καταδικάζει ἐμέ. τὸ αὐτὸ καὶ ἐπὶ παραδόσεως νομῆς ἀργούσης[8].

9. Οὐχ ἕπεται τῷ πραθέντι δούλῳ τὸ πεκούλιον αὐτοῦ. ὅθεν ἐὰν ὁ δοῦλός μου κλέψῃ τὶ τοῦ πεκουλίου καὶ περιέλθῃ εἰς τὸν ἀγοραστὴν, καὶ ὅσα μετὰ τὴν πρᾶσιν προστίθεται τῷ πεκουλίῳ, ἀποδίδοται τῷ πράτῃ, τυχὸν τοκετοὶ καὶ τὰ ἀπὸ τῶν ἔργων τῶν τοῦ πεκουλίου δούλων[9].

10. Ὁ ἐπίτροπος οὐ δύναται ὀρφανικὸν πρᾶγμα ἀγοράσαι. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ὁμοίων, κουράτωρος καὶ προκουράτωρος[10].

11. Ἐὰν ἐν τῷ πραθέντι οἴκῳ τὸ ἀποτιθέμενον ὑπό τινος χρυσίον κατὰ πλάνην ἀπομεῖναν ἐν αὐτῷ εὑρεθῇ, μένει τοῦ πάλαι δεσπόζοντος[11].

12. Ὁ βλέπων ὑφ' ἑτέρου τὸ ἴδιον πιπρασκόμενον, καὶ μὴ ἀντιλέγων, αὐτὸς δοκεῖ πιπράσκειν αὐτό[12].

13. Ἐκεῖνο δὲ ἔτι προσθεῖναι τῷ νόμῳ δίκαιον ᾠήθημεν, ἵνα ὁ πιπράσκων δοῦλον καὶ γινώσκων αὐτὸν κλέπτην ἢ μαινόμενον ἢ ἄλλαις τισὶν αἰτίαις ὑπάρχοντα, προσφωνείτω περὶ τούτου τῷ ἀγοραστῇ. εἰ γὰρ τοῦτο μὴ ποιήσει, αὐτὸς μὲν λήψεται τὸν δοῦλον, τὸ δὲ τίμημα διπλοῦν ἀποστρέψει τῷ ἠγορακότι, ἀπαιτούμενος καὶ εἴ τινα ζημίαν ἐν τῷ τοῦ ἠγορακότος οἴκῳ εἰργάσατο[13].

14. Ἐκ τῶν κωδίκων τοῦ α' βι. τί. β'. — Τὰ ἱερὰ σκεύη ἐπὶ αναῤῥύσει αἰχμαλώτων ἐκποιείσθω, τῶν παραβαινόντων ταῖς ποιναῖς ὑποβαλλομένων[14].

15. Μὴ ἐκποιείσθω μοναστήριον ἐν ᾧ θυσιαστήριόν ἐστιν, ἐπείτοιγε ὁ ἀγοράσας ἐκπίπτει τῶν τιμημάτων, τῇ ἐκκλησίᾳ τὸ ἀρχαῖον σχῆμα ἀποδιδοὺς, ἀργούσης τῆς ὑπὲρ αὐτοῦ ἴσως γενομένης ὑποθήκης[15].

16. Ἐὰν δοῦλος πραθῇ ὑπεύθυνος καὶ ὕστερον τιμωρηθῇ, ὁ πράτης ἀναδιδότω τῷ ἀγοραστῇ τὸ τίμημα.

---

[7] Theoph. III, 23, 4 ex Proch. h. t. c. 5. [8] Dig. XVIII, 1, 18 §. 1 ex Proch. h. t. c. 6. [9] Dig. cit. 29—31 ex Proch. h. t. c. 7. [10] Dig. cit. 34 §. 7 ex Proch. h. t. c. 8. [11] Dig. VI, 1, 67 ex Proch. h. t. c. 9. [12] Dig. XXI, 2, 12 ex Proch. h. t. c. 10. [13] Proch. h. t. c. 11. [14] Athan. II, 1. [15] Athan. cit.

17. Ἔξεστι τῷ δεσπότῃ τοῦ ἀγροῦ ἐν τῷ πιπράσκειν αὐτὸν μειῶσαι τοὺς ὅρους αὐτοῦ καὶ οὕτως πωλῆσαι, καὶ οὐ δύναται ὁ πράτης [16] μεῖζον μέτρον ἐκδικεῖν τοῦ πραθέντος αὐτῷ ἐκ τοῦ δεικνύναι τοὺς ὅρους τοὺς πρὸ τῆς πράσεως ὑπάρχοντας τοῦ ἀγροῦ [17].

18. Ἐκ τοῦ κβ' βι. τί. α'. — Ὁ ἀγοραστὴς δεικνύειν ὀφείλει πρὸ τῆς πράσεως τὸν δοῦλον πεφευγέναι [18].

19. Ἐὰν μὴ δείκνυται, εἰ παρὰ τῷ πράτῃ φυγὰς ἦν ὁ δοῦλος, τῇ ἐμβασάνῳ αὐτοῦ ζητήσει πιστεύομεν. καθ' ἑαυτὸν γὰρ ἐρωτᾶσθαι δοκεῖ, οὐ μὴν ὑπὲρ δεσπότου ἢ κατὰ δεσπότου [19].

20. Ἡ δεσποτεία οὐκ ἐκ συμβολαίων ἀγορασίας, ἀλλ' ἐξ οἱωνδήποτε ἄλλων ἀποδείξεων δείκνυται [20].

21. Ἡ πρᾶσις καὶ ἡ ἀγορασία δύναται καὶ ἀγράφως συστῆναι [21].

22. Καὶ ἐξ ἀρχῆς ἄγραφος γίνεται πρᾶσις. καὶ ἐὰν ἐγγράφως γένηται, ἀπόλωνται δὲ καὶ τὰ συμβόλαια, μένει ἐῤῥωμένη [22].

23. Βι. θ' τί. γ'.* — Ὁ κατὰ αὐθεντίαν τὰ πράγματα τοῦ κατακριθέντος πιπράσκων καὶ κλέπτης καὶ ἅρπαξ νομίζεται [23].

24. Διαπράσεως γενομένης περιουσίας, τοῦ ἐξωτικοῦ ὁ δανειστὴς ἢ ὁ συγγενὴς προτιμᾶται εἰς τὸ ἀγοράσαι· ὁ δανειστὴς πρὸ τῶν συγγενῶν· ἐκ δὲ τῶν δανειστῶν ὁ τὸ πλέον χρεωστούμενος [24].

25. .... [25] βι. τοῦ αὐτοῦ. Οὐ συμπιπράσκονται τοῖς τοῦ χρεώστου πράγμασιν παλλακὴ ἢ παῖδες φυσικοὶ ἢ θετοί [26].

26. .... βι. τοῦ αὐτοῦ. — Τὰ τοῦ αἰχμαλώτου πράγματα ἕως ἂν ὑποστρέψῃ οὐ πιπράσκονται [27].

27. Τὰ πραθέντα χωρὶς ἀποφάσεως οὐ μόνον ὁ πρῶτος ἀγοραστὴς ἀναγκάζεται ἀποδοῦναι, ἀλλὰ καὶ ὁ δεύτερος, εἰ μὴ ἄρα καλῇ πίστει ὁ ἀγοράσας ἐκ τοῦ χρᾶσθαι ἐδέσποσεν [28].

28. Ἐάν τις πωλήσῃ οἰκέτην ἐπὶ τῷ μηδέπω αὐτὸν ἐπιβῆναι τῆς πόλεως, συμφωνήσῃ δὲ ἐὰν ἐπιβῇ ἐξεῖναι αὐτὸν χεῖρας ἐπιβάλλειν καὶ ἀφαιρεῖσθαι αὐτὸν, δύναται μὲν ὁ ἀγοραστὴς ὡς δεσπότης ὢν μηδέπω τοῦ συμφώνου παραβαθέντος ἐλευθερῶσαι τὸν τοιοῦτον οἰκέτην. ἐὰν δὲ ἐκεῖνος ἐλευθερω-

---

[16] Lege ὁ ἀγοραστής. [17] Cod. III, 39, 1. Basil. LVIII, 9, 14. [18] Basil. XXII, 1, 4. [19] Bas. cit. 7. [20] Bas. cit. 38. [21] Bas. cit. 46. [22] Bas. cit. 69. * Sic lego. Codices: βι. τί. η' sive βι. η' τί. τοῦ αὐτοῦ. [23] Bas. IX, 3, 6. [24] Bas. IX, 7, 16. [25] Nonnulli βι. η' τί. τοῦ αὐτοῦ. [26] Bas. cit. 36. [27] Bas. cit. 37. [28] Bas. X, 4, 62.

θεὶς ἐπιβῇ τοῦ τόπου, ὁ πράτης κεχρημένος τῷ συμφώνῳ ἕλκει εἰς δουλείαν αὐτὸν, εἰ μὴ τὸ ἐναντίον συνεφωνήθη [29].

29. *Ὁ πραθεὶς ἐπὶ τῷ μὴ ἐλευθερωθῆναι, κἂν ἐλευθερωθῇ, οὐ γίνεται ἐλεύθερος, οὐδὲ ἐὰν εἰς δεύτερον δεσπότην ἔλθῃ. ὅθεν εἰ καὶ πρόστιμόν τις ἐπερωτηθῇ, οὐχ ὑποπίπτει τῷ προστίμῳ, ὡς μὴ δυναμένου ἐλευθερωθῆναι τοῦ ἀνδραπόδου, καὶ οὐδὲ ὁ δημόσιος ἐπικοινωνεῖ τῇ τοιαύτῃ πράσει* [30].

30. *Περὶ ἐμπαθῶν δούλων. — Οὐκ ἐστὶν ἐμπαθὴς ἱεροπλήκτης ὁ τὴν κεφαλὴν ἐκ διαλειμμάτων ῥιπτίζων καί τινα προλέγων* [31].

31. *Τὰ τῆς ψυχῆς αἴτια ἐμπαθῆ οὐ ποιοῦσιν, ὡς ἐπὶ τοῦ κωφοῦ ἢ δεισιδαίμονος ἢ ὀργίλου ἢ καταφρονητοῦ, εἰ μὴ ἄρα καὶ τὸ ψυχικὸν ἀπὸ σωματικοῦ συνέβη πάθους. ἀπὸ γὰρ πυρετοῦ γίνεται* [32].

32. *Τὰ δὲ αἴτια τῆς ψυχῆς ἐὰν εἰδὼς ὁ πράτης μὴ προείπῃ, ἐνέχεται τῇ κατὰ τῆς πράσεως ἀγωγῇ* [33].

33. ..... *ἐπὶ μειώσει τοῦ τιμήματος ἁρμόζει, ὡς ἐπὶ τῶν ἄγαν δειλῶν ἢ ἐπιθυμητικῶν ἢ συναγχικῶν ἢ ὀργίλων ἢ μελαγχολικῶν ἢ προπετῶν ἢ κυρτῶν ἢ συνώμων ἢ κνησμονικῶν ἢ ψωραλέων ἢ κωφῶν ἢ ἀλάλων· ἐφ' οἷς αἰτίοις οὐ δίδοται ἡ ἀναστρέφουσα τὸ πραθὲν ἀγωγὴ, μειοῦσα δὲ τὸ τίμημα ἀγωγὴ ἁρμόζει* [34].

34. *Τὰ δειλὰ καὶ λακτιστικὰ τῶν ὑποζυγίων οὐκ εἰσὶν ἐμπαθῆ· ψυχικὰ γάρ εἰσι τὰ αἴτια, καὶ ἐὰν ψυχικόν ἐστι τὸ αἴτιον, οὐκ ἔχει χώραν ἡ ἀναστρέφουσα ἀγωγὴ, εἰ μὴ προεῖπεν* [35].

35. *Οὐ πᾶσα νόσος εἰσάγει τὸ ἀναστραφῆναι τὸ πραθὲν, τυχὸν μικρὰ ὀφθαλμία ἢ ὀλίγη νόσος ὀδόντων ἢ ὤτων* [36].

36. *Ὁ λιχῆνας ἔχων οὐκ ἐστὶν ἐμπαθὴς, ἐὰν ὀρθῶς κέχρηται τῷ μέλει, καθ' ὃ ἐστὶν ὁ λιχήν* [37].

37. *Ὑγιής ἐστιν ὁ σπάδων καὶ ὁ μόνορχις, ὅστις καὶ γονοποιεῖ· εἰ δὲ τοῦ σπάδωνος ἀφαιρεθῇ μέρος ἀναγκαῖον τοῦ σώματος, ὑγιὴς οὐκ ἐστίν* [38].

38. *Ὁ γλωσσοτομηθεὶς οὐκ ἐστὶν ὑγιής. ὁ ἄλαλος ἐμπαθής ἐστιν, οὐ μὴν ὁ μογιλάλος, οὔτε ὁ ἀσήμως διαλεγόμενος* [39].

39. *Ἐὰν δάκτυλός τινος ἀποκοπῇ ἢ μέλος παρασπαθῇ, κἂν ὑγιείνῃ, ἐμποδίζηται δὲ περὶ τὴν χρῆσιν, οὐκ ἐστὶν ὑγιής* [40].

---

[29] Bas. XIX, 7, 12. [30] Bas. eod. 21. [31] Bas. XIX, 10, 1 th. 6. [32] Bas. eod. [33] Bas. eod. [34] Bas. eod. 1 th. 7. 4 th. 1. [35] Bas. eod. 4. [36] Bas. eod. 4. [37] Bas. eod. 6. [38] Bas. eod. 6. 7. [39] Bas. eod. 8. 9. [40] Bas. eod. 10.

40. *Εἴτε πλείονας εἴτε ἥττονας ἔχει δακτύλους ὁ δοῦλος, οὐκ ἀναστρέφεται, εἰ μὴ ἐξ αὐτῶν ἐμποδίζεται* [41].

41. *Μῶμός ἐστι καὶ ὁ μύωψ, καὶ ὁ νυκτάλωψ ἔνθα τὶς μὴ καθορᾷ ἕωθεν ἢ ἐν ἑσπέρᾳ, καὶ ὁ ἐπίχυσιν ἔχων ἔνθα τὶς προσαχθὲν τὸ φῶς οὐχ ὁρᾷ* [42].

42. *Ὑγιής ἐστιν ὁ ψελλὸς καὶ ὁ τραυλὸς καὶ ὁ μογγὸς καὶ ὁ βραδυλάλος καὶ ὁ σκελλὸς εἴτε ἐπὶ τὰ ἔσω εἴτε ἐπὶ τὰ ἔξω. καὶ ὁ παρ' ὀδόντα, οὐ μὴν ὁ ἔχων ἧλον ἢ πολύπουν περὶ τὰς ῥῖνας* [43].

43. *Ὑγιής ἐστιν ὁ μέγα περὶ τὸν λαιμὸν ἔχων κάρυον, καὶ ὁ τοὺς ὀφθαλμοὺς ἔχων προκύπτοντας, καὶ ἀμφιδέξιος, εἰ μὴ διὰ τὴν ἀσθένειαν τῆς δεξιᾶς κέχρηται τῇ ἀριστερᾷ. οὔτε ὁ ὀζόστομος, εἰ μὴ ἀπὸ πάθους τοῦ πνεύμονος ἢ τοῦ ἥπατος ἢ τοιούτου τινὸς πάθους ὀζοστομεῖ, ἀλλ' οὔτε ὁ στραβὸς, οὔτε ὁ δυσῶδες ἔχων σῶμα* [44].

44. *Ὁ κυλλόπους νοσώδης ἐστὶ, καὶ ἡ ἀεὶ νεκροτοκοῦσα ἀπὸ πάθους τῆς μήτρας* [45].

45. *Μέγας ῥεμβός ἐστιν ὁ συνεχῶς ἀναιτίως πλανώμενος, καὶ τοὺς καιροὺς εἰς ἀνόητα πράγματα δαπανῶν, καὶ βραδέως εἰς τὸν οἶκον ἀπιών* [46].

46. *Ὁ ἀγοράζων αἰχμάλωτον δοῦλον, κἂν οἶδε τὴν αὐτοῦ κατάστασιν, γίνεται αὐτοῦ δεσπότης. διδοὺς δὲ ὁ πρώην αὐτοῦ δεσπότης τὸ ὑπὲρ αὐτοῦ δοθὲν ἀναλαμβάνει αὐτὸν, κἂν ἐνόμιζεν ὁ ἀγοραστὴς μὴ εἶναι τοῦτον ἀλλότριον, εἰ μὴ ἄρα παρῆλθεν ὁ τῆς δεσποτείας ἐν τῷ χρᾶσθαι χρόνος* [47].

47. *Ἐὰν πλείονος πωλήσω τὸν ἀπολελυτρωμένον, μόνα διδοὺς τὰ ὑπὲρ αὐτοῦ παρ' ἐμοῦ τοῖς πολεμίοις, ἐλευθεροῦται, καὶ ὁ ἀγοραστὴς εἰς τὸ περιττὸν ἔχει κατ' ἐμοῦ ἀγωγήν* [48].

48. *Τὸ ἀγορασθῆναί τινα παρά τινος ἀπὸ πολεμίων, εὐχέρειαν αὐτῷ δίδωσι τῆς ἐπανόδου, οὐ μὴν τὸ δίκαιον ἐναλλάσσει τῆς ὑποστροφῆς* [49].

49. *Ἐάν τις εὐγενῆ γυναῖκα παρὰ πολεμίων ἀγοράσῃ καὶ συναφθῇ αὐτῇ ἐπὶ παιδοποιΐᾳ, παραχρῆμα τὸ ἐπ' αὐτῇ δίκαιον τοῦ ἐνεχύρου λύει καὶ εὐγενὲς τίκτει* [50].

50. *Ἐὰν δοῦλον ἁρπάσωσι λῃσταὶ, καὶ ὑπὸ τοὺς πολεμίους αὐτὸν γενόμενον ἀγοράσω αὐτὸν, οὐ διὰ τὸ χρᾶσθαι δεσπόζω τούτου διὰ τὸ κλοπιμαῖον εἶναι* [51].

---

[41] Bas. eod. [42] Bas. eod. [43] Bas. eod. 10. 11. 12. [44] Bas. eod. 12. [45] Bas. eod. 13. 14. [46] Bas. eod. 17. [47] Bas. XXXIV, 1, 12. [48] Bas. cit. 19. [49] Bas. cit. 20. [50] Bas. cit. 21. [51] Bas. cit. 27.

51. Ἐκ τοῦ λδ' βι. τί. β'. — Ἡ ἀπὸ τῶν πολεμίων ἀγορασθεῖσα οὐκ ἐστὶ δούλη, ἀλλ' ἐνεχύρου λόγῳ κρατεῖται, ὡς εἴγε λυθῇ τὸ ἐπ' αὐτῇ ἐνέχυρον, ἀδεῶς τις ἀγάγηται αὐτὴν, μηκέτι οὔσης ζητήσεως περὶ τῆς καταστάσεως αὐτῆς ἢ παίδων αὐτῆς [52].

52. Ἡ χρησιμότης ὁπότε ἀπαιτεῖ τοὺς ἀγοράζοντας παρὰ τῶν πολεμίων αἰχμαλώτους λαμβάνειν τὰ τιμήματα, ἐὰν προσφερόμενα μὴ δέχωνται, ἀναγκαζέσθωσαν παρὰ τοῦ ἄρχοντος λαμβάνειν αὐτά [53].

53. Ἐὰν ἀγοράσῃ τὶς αἰχμάλωτον καὶ προστήσῃ αὐτὴν, οὐ μόνον τὴν τιμὴν οὐ λαμβάνει, ἀλλὰ κἀκείνη ἐκδικεῖται παρὰ τοῦ ἄρχοντος καὶ τοῖς ἰδίοις ἀποδίδοται [54].

54. Εἰ καὶ αἰχμαλωτισθεῖσά τις ἀπὸ κομμερκίου ἀγορασθῇ, ὅμως οἱ τεχθέντες ἐξ αὐτῆς, εἰ καὶ ἀπὸ δούλου εἰσὶν, ἐλεύθεροί εἰσιν [55].

55. Ὁ ἀγοράσας γυναῖκα ἀπὸ τῶν πολεμίων καὶ συμπλακεὶς αὐτῇ, δοκεῖ παραχωρεῖν τὸ τοῦ ἐνεχύρου δίκαιον διὰ τὴν ἐλπίδα τῶν ἐσομένων παίδων [56].

56. Ὁ ἀγορασθεὶς ἀπὸ τῶν πολεμίων ἐὰν δῷ τὸ τίμημα, παραχρῆμα ἔχει τὴν αὐτοῦ τύχην [57].

57. Ἐκ τοῦ ς' τί. βι. α' τῶν διγ. — Ἐὰν ὑπὲρ μέτρον χαλεπαίνῃ τὶς τὸν δοῦλον ἢ πρὸς αἰσχρότητα συνωθῇ, προσφεύγει ταῖς βασιλικαῖς στήλαις, καὶ ἀναγκάζεται πιπράσκειν αὐτὸν ἐπὶ καλῇ αἱρέσει, ἐφ' ᾧ μηδέποτε πρὸς αὐτὸν ὑποστρέψαι. τινὲς δὲ ἐξ ἐλαφρᾶς αἰτίας τιμωρησάμενοι τοὺς ἑαυτῶν δούλους πικρῶς ἐπὶ πενταετίαν ἐξωρίσθησαν [58].

58. Ἐάν τις πιπράσκων οἶκον εἴπῃ τῷ ἀγοραστῇ γενικῶς, ὅτι δουλείᾳ [βεβάρηται ὁ οἶκος, οὐκ ἀναγκάζεται δουλείας] ἐλεύθερον δοῦναι αὐτόν. ὅθεν κἂν μὴ ἐδούλευσε, δύναται δουλείαν ἐπιτιθέναι, πρὸ μέντοι τῆς παραδόσεως, ἵνα ἢ οἴκῳ τοῦ πράτου δουλεύσῃ ἢ ἀλλοτρίῳ. εἰ δὲ ὅ τε πιπράσκων εἰδὼς εἴπῃ, τῷ δεῖνι δουλεύει ὁ οἶκος, καὶ παραχωρήσει ἐκείνῳ τὴν δουλείαν, ζήτησιν οὐκ ἔχει [59].

---

[52] Bas. XXXIV, 2, 2. [53] Bas. eod. 6. [54] Bas. eod. 7. [55] Bas. eod. 16. [56] Bas. eod. 13. [57] Bas. eod. 11. [58] Dig. I, 6, 2. Basil. XXXI, 1, 2. [59] Dig. VIII, 4, 6 §. 3 ex Proch. XXXVIII, 27.

ΤΙΤΛΟΣ κβʹ.

Περὶ δανείου καὶ ἐνεχύρου.

1. Οἱ ἐκ τοῦ ἐνεχύρου ληφθέντες καρποὶ ψηφίζονται εἰς τὸ χρέος, καὶ ἐὰν ἱκανοὶ γένωνται πρὸς τὸ ὅλον χρέος, λύεται ἡ ἀγωγὴ, καὶ ἀποδίδοται τὸ ἐνέχυρον. εἰ δὲ καὶ πλείονές εἰσιν οἱ καρποὶ τοῦ χρέους, ἀποδίδονται οἱ περιττεύοντες [1].

2. Τῶν δούλων οἱ κάματοι καὶ τὰ ἐνοίκια τῶν ὑποτεθέντων οἰκημάτων εἰς τὸ χρέος λογίζονται, καὶ ἐὰν πολύ ἐστι τὸ συναγόμενον, λύεται ἡ ἀγωγή [2].

3. Οἱ καρποὶ τοῦ ἀγροῦ ψηφίζονται εἰς τὸ χρέος, οὐ μόνον οὓς ἔλαβεν ὁ δανειστὴς, ἀλλὰ καὶ οὓς ἠδύνατο λαβεῖν. εἰ δὲ καὶ ἔβλαψε τὸν ἀγρὸν, ἐνάγεται περὶ τούτου [3].

4. Τὸ συμφωνῆσαι τὸν χρεώστην ἐν τῷ τὴν προθεσμίαν αὐτοῦ τῆς καταβολῆς ὑπερβαίνειν διάπρασιν γίνεσθαι τοῦ ἐνεχύρου, οὐκ ἀναιρεῖ τὴν τοῦ ἐνεχύρου ἀγωγὴν, ὅταν ἐλάττονος πωλήσει ὁ δανειστής. ὑπόκειται γὰρ τότε ὁ δανειστὴς τῷ συμφώνῳ [4].

5. Ἐὰν ὁ δανειστὴς μὴ παρ' ἰδίαν αἰτίαν ἀπολέσῃ τὸ ἐνέχυρον, οὐκ ἐγκαλεῖται. χρὴ δὲ αὐτὸν ἀποδεῖξαι, ὅτι ἀπώλεσε. τὰ γὰρ τυχηρὰ οὐ κινδυνεύεται τῷ δανειστῇ, ἀλλὰ δύναται κατὰ τύχην ἀπολέσας τὸ πρᾶγμα ἀπαιτεῖν τὸ αὐτῷ κεχρεωστημένον. ἐὰν δὲ μεταξὺ τῶν συναλλασσόντων ἤρεσεν, ἵνα ἡ ἀπώλεια τῶν ἐνεχύρων ἐλευθερώσῃ τὸν χρεώστην, τοῦτο ἰσχὺν ἔχει [5].

6. Ὁ δανειστὴς, ὅστις ἀγροὺς ἢ οἴκους εἰς ὑποθήκην ἔλαβε, τὴν ζημίαν τὴν ἐν τοῖς τεμνομένοις δένδροις καὶ τοῖς καταλυομένοις οἴκοις ἐξ αὐτοῦ γενομένην εἰς λόγον ἐνεγκεῖν ἀναγκασθήσεται. καὶ ἐὰν κατὰ δόλον ἢ πταῖσμα τὸ ὑποτεθὲν χεῖρον ἐποίησε, καὶ ἕνεκα τούτων ἐνάγεται εἰς τὸ τοιοῦτον ἀποκαταστῆσαι τὸ πρᾶγμα, ὁποῖον ἦν ἐν καιρῷ τῆς ὑποθήκης. ὁ δὲ δανειστὴς τὰ ἀναγκαῖα δαπανήματα, ἅπερ ἐποίησε περὶ τὸ ὑποτεθὲν, ἀπαιτεῖν οὐ κωλύεται [6].

7. Τὰ ὑποτεθέντα πράγματα εἰς ἐνέχυρον ζητοῦσι προσωπικῶς οἱ χρεῶσται. οὐ γὰρ ἔξεστι τῷ δανειστῇ χωρὶς συμφώ-

---

[1] Cod. IV, 24, 1 ex Proch. XVI, 1. [2] Cod. cit. 2 ex Proch. h. t. c. 2
[3] Cod. cit. 3 ex Proch. h. t. c. 3. [4] Cod. cit. 4 ex Proch. h. t. c. 4.
[5] Cod. cit. 5. 6 ex Proch. h. t. c. 5. [6] Cod. cit. 7 ex Proch. h. t. c. 6.

νου καὶ ἀρχικῆς κελεύσεως ἀφαιρεῖσθαι τὰ τοῦ χρεώστου πράγματα καὶ διαπιπράσκειν τὰ εἰς αἰτίαν ἐνεχύρου κατεχόμενα [7].

8. Ὁ δανειστὴς καὶ ὁ τούτου κληρονόμος οὐκ ἔχει μακροῦ χρόνου παραγραφὴν εἰς τὸ μὴ ἀποδοῦναι τὸ ἐνέχυρον μετὰ τὸ πληρωθῆναι τὸ χρέος, τουτέστι τὴν τριακονταετίαν [8].

9. Ὁ δεσπότης προστησάμενος τὸν οἰκέτην αὐτοῦ πραγματείας τινὸς, τότε κατέχεται δανειζομένου αὐτοῦ, ὅτε ἐπέτρεψεν αὐτῷ καὶ δανείζεσθαι. εἰ δὲ μὴ δείκνυται ἐπιτρέψας, τότε ζητοῦμεν περὶ τοῦ πεκουλίου τοῦ δούλου, καὶ πληρουμένου κατὰ πρῶτον λόγον τοῦ δεσπότου, πληροῦται κατὰ δεύτερον λόγον καὶ ὁ δανειστής [9].

10. Εἴ τις δανείσειε καὶ ἐγγυητὴν ἢ μανδάτορα ἢ ἀντιφωνητὴν προσλάβοι, οὗτος μὴ τὴν πρώτην εὐθὺς κατὰ τοῦ ἐγγυησαμένου ἢ ἀντιφωνήσαντος χωρείτω, μηδὲ ἀμελήσαντος τοῦ δανεισαμένου τὰς παρενθήκας διενοχλείτω, ἀλλὰ χωρείτω πρῶτον ἐπὶ τὸν χρυσίον εἰληφότα καὶ τὸ δάνεισμα πράξαντα· καὶ εἰ μὲν ἐκεῖθεν ἀπολάβοι, τῶν ἄλλων ἀπεχέσθω. εἰ δὲ οὐκ ἰσχύει παρὰ τοῦ δανεισαμένου λαβεῖν [εἰς μέρος ἢ εἰς ὁλόκληρον, καθόσον ἂν παρ᾽ αὐτοῦ μὴ δυνηθῇ λαβεῖν,] κατὰ τοσοῦτον ἐπὶ τὸν ἐγγυητὴν ἢ ἀντιφωνητὴν χωρείτω παρ᾽ ἐκείνου τὸ λεῖπον κομιζόμενος. καὶ εἰ μὲν παρόντες αὐτῷ τύχοιεν ἀμφότεροι, ὅ τε πρωτότυπος καὶ ὁ ἐγγυησάμενος ἢ ἀντιφωνήσας, τὰ προειρημένα ἐκ παντὸς φυλαττέσθω τρόπου. εἰ δὲ ὁ ἐγγυητὴς ἢ ὁ ἀντιφωνητὴς παρείη, ὁ δὲ πρωτότυπος ἀπείη, δεικνύτω ὁ δανειστὴς τούτους καὶ ὁ δικαστὴς διδότω καιρὸν αὐτοῖς βουλομένοις τὸν πρωτότυπον ἀγαγεῖν εἰς τὸ κἀκεῖνον δέξασθαι τὴν ἀγωγήν. εἰ δὲ ὁ χρόνος ὁ ἐπὶ τούτοις τεθεὶς παρέλθοι, τηνικαῦτα ὁ ἐγγυητὴς καὶ ἀντιφωνητὴς ἀγωνιζέσθω τὴν δίκην ἅμα τῷ δανειστῇ. καὶ εἰ μὴ ἀπὸ τῆς τοῦ δανεισαμένου περιουσίας εὕροι τὶ λαβεῖν, τηνικαῦτα χωρείτω κατὰ τῶν πραγμάτων τῶν ἐγγυησαμένων· ἐχέτω δὲ καὶ κατὰ τῶν μετ᾽ αὐτόν τι ἐξ αὐτοῦ τε καὶ ἀπ᾽ αὐτῶν ὠνησαμένων [10].

11. Κατ᾽ ἐγγράφου χρέους ἄγραφος καταβολὴ οὐκ ἐστὶ δεκτή. εἰ δὲ μάρτυρες ἀξιόπιστοι ὑπάρχουσιν ἐπὶ τούτῳ γενόμενοι, ὡς μαρτυρεῖν παρεῖναι τῇ καταβολῇ ἢ ἀκοῦσαι τοῦ δανειστοῦ λέγοντος ἀπολαβεῖν τὸ χρυσίον, δεκτή ἐστιν ἡ τούτων μαρτυρία [11].

---

[7] Cod. cit. 11 ex Proch. h. t. c. 7.
[8] Cod. cit. 12 ex Proch. h. t. c. 8.
[9] Cod. IV, 25, 1 ex Proch. h. t. c. 9.
[10] Nov. 4 ex Proch. h. t. c. 10.
[11] Athan. V, 5.

12. Ὁ δανείσας εἰς ἀγορασίαν ἢ εἰς ἀνανέωσιν πλοίου ἢ οἴκου ἢ ἄλλου τινὸς τοιούτου, προτιμᾶται πρὸς ταῦτα παρὰ τῶν ἄλλων δανειστῶν, εἰ καὶ προγενέστεροί εἰσιν· μόνῃ δὲ παραχωρεῖ τῇ προικί. ὁ δὲ εἰς κτῆσιν στρατείας δανείσας, ἐὰν παρασκευάσει ἐν τῷ γραμματείῳ τεθῆναι κυριώτερον αὐτὸν εἶναι τῶν ἄλλων δανειστῶν, προτιμάσθω καὶ αὐτῆς τῆς προικός [12].

13. Μηδεὶς γεωργῷ δανείζων τὴν γῆν αὐτοῦ ἐνέχυρον λαμβανέτω, ἀλλ' εἰ καρπὸν δανείζοι, ὀγδόην μοίραν ἑκάστου μοδίου καθ' ἕκαστον ἔτος λαμβανέτω τόκου ὀνόματι· εἰ δὲ χρυσίον δανείσῃ, κεράτιον ἓν λαμβανέτω καθ' ἕκαστον ἔτος ἑκάστῳ νομίσματι. ὁ δὲ παρὰ ταῦτα δανείζων τοῦ χρέους ἐκπίπτει [13].

14. Ἐκ τοῦ κγ' [14] κεφαλ. — Εἰ καὶ πολλάκις συναινέσει ἡ γυνὴ τῷ ἰδίῳ ἀνδρὶ δανειζομένῳ, ἢ ὑπόθηται ἑαυτὴν καὶ τὰ ἑαυτῆς πράγματα ὑπὲρ αὐτοῦ, οὐκ ἐνέχεται, εἰ μὴ σαφῶς ἡ τοῦ δανείου ποσότης εἰς ἴδια αὐτῆς πράγματα ἐδόθη [15].

15. Ὁ δανειστὴς δείκνυσιν αὐτῷ ὑποτεθῆναι καὶ τὸ πρᾶγμα τοῦ χρεώστου εἶναι ἢ τὴν δεσποτείαν συναινέσαι τῷ ὑποτιθεμένῳ [16].

16. Ἐὰν χιωθῇ τὸ γραμματεῖον, ὁ χρεώστης ἠλευθέρωται κατὰ πρόληψιν, εἰ μὴ δείξῃ ὁ δανειστὴς ἔτι κεχρεωστῆσθαι [17].

17. Ὥσπερ ὁ δανειστὴς ὁ τὰ χρήματα ἀπαιτῶν δείκνυσιν, ὅτι ἠρίθμησεν, οὕτως καὶ ὁ χρεώστης ὁ λέγων καταβεβληκέναι τὴν τῆς καταβολῆς ἀπόδειξιν ὀφείλει παρασχεῖν [18].

18. Ἐὰν δύο δανεισάντων καὶ ἓν λαβόντων γραμματεῖον, ὁ ἕτερος ἐναχθῇ ὡς πλαστογράφος καὶ ἡττηθῇ, οὐδὲν κωλύει τοῦτο τὸν ἕτερον περὶ τούτου κινῆσαι [19].

19. Ὥσπερ οὐ χρὴ καυθέντων τῶν γραμματείων τοὺς χρεώστας ἀρνεῖσθαι, οὕτως ἄδικόν ἐστι καὶ δανειστὴν λέγοντα ἀπολέσαι τὸ γραμματεῖον ὅμως [πιστεύεσθαι.] ὀφείλει [οὖν] προσφέρειν ἄλλας ἀποδείξεις [20].

20. Εἴ τις δανείσειε χρυσίον τῇ τοῦ δανεισαμένου περιουσίᾳ πιστεύων, ὁ δὲ εἰς ἀπόδοσιν χρυσίου μὲν οὐκ εὐποροίη, περιουσίαν δὲ ἀκίνητον ἔχοι, ὁ δανειστὴς δὲ ἐπικέοιτο χρυσίον ἐπιζητῶν, τῷ δὲ οὐκ εἴη προχείρως, οὐδέ τις κινητὴ περιουσία, (δίδομεν τῷ δανειστῇ βουλομένῳ καὶ κινητὰ πράγματα λαβεῖν ἀντὶ χρυσίου,) ἀκριβοῦς διατιμήσεως γινομένης παρὰ τοῦ ἀρ-

---

[12] Athan. X, 6. [13] Athan. XVI, 1. [14] Lege κβ'. [15] Athan. IV, 22. [16] Basil. XXII, 1, 23. [17] Bas. cit. 24. [18] Bas. cit. 35. [19] Bas. cit. 61. [20] Bas. cit. 64.

χοντος ἐν τοῖς τοῦ χρεώστου πράγμασι, δίδοσθαι πρὸς ἀναλογίαν κτῆσιν ἀκίνητον, ἐπιλογὴν ἐν τούτοις τοῦ δανειστοῦ ποιοῦντος. καὶ γὰρ οὐκ ἂν εἴη δίκαιον τὸν δόντα μὲν χρυσίον, λαβεῖν δὲ χρυσίον μὴ δυνάμενον, ἀλλὰ ἀναγκαζόμενον καταδέξασθαι κτῆσιν ἀκίνητον, μὴ τὰ κρείττονα τῶν τοῦ χρεώστου πραγμάτων λαμβάνειν, ἔχοντα τοιαύτην παραψυχὴν ὅτιπερ, εἰ καὶ χρυσίον οὐκ εἴληφεν, ἀλλ' ἀντ' αὐτοῦ κρείττονα ἔλαβεν [21].

21. Ὁ τὴν ἰδίαν συγγραφὴν ἢ τὴν ἐπ' αὐτῷ γενομένην καταβολὴν ἀρνούμενος τὸ διπλάσιον μετ' ἐλέγχους καταθήσει. ὁ δὲ παρ' αὐτὰ τοῦ ἀρνήσασθαι ἐξ ἐπιφορᾶς ὅρκου τὴν ἀλήθειαν φανερῶν ἐκφεύξεται τὴν καταδίκην τοῦ διπλασίονος· βραδέως δὲ ὁμολογῶν καταθήσει καὶ τὰς δαπάνας τῆς δίκης ὅρκῳ τοῦ ἀντιδίκου [22].

22. Τῷ ἀρνουμένῳ χρεώστῃ οὐ λογισθήσονται αἱ μετὰ ταῦτα προσφερόμεναι τῶν καταβολῶν ἀποδείξεις, ἀλλὰ τὸ πᾶν ἀπαιτεῖται [23].

23. Οἱ ἀναισχύντως τοκίζοντες καὶ τόκους τόκων ἐπιζητοῦντες ἀτιμοῦνται [24].

24. Εἰ καὶ πολλοῖς τοῖς πρὸ ἡμῶν ἔδοξε δεκτέαν εἶναι τὴν τῶν τόκων ἔκτισιν, ἴσως διὰ τὴν τῶν δανεισαμένων δυσκληρίαν καὶ ὠμότητα, ἀλλ' οὖν ὡς ἀνάξιον τῆς ἡμῶν τῶν χριστιανῶν πολιτείας ἀπευκταῖαν εἶναι κεκρίκαμεν, ἅτε παρὰ τῆς θείας νομοθεσίας κεκωλυμένην. διὸ κελεύει ἡ ἡμετέρα γαληνότης, μηδενὶ μηδαμῶς ἐξεῖναι ἐν μηδεμιᾷ ὑποθέσει τόκον εἰληφέναι, ἵνα μὴ νόμον φυλάττειν οἰόμενοι νόμον θεοῦ παραβαίνωμεν. ἀλλὰ κἂν εἴ τις ὅσον δήποτε λάβοι, εἰς τὸ χρέος λογισθήσεται τέως τῶν ἀγράφων καὶ ἀπόρων [25].

25. Ἐὰν ἰδιώτης χρεωστῆται παρά τινος ἐκκλησίας, ἀναγκάζεται λαβεῖν ἀντὶ χρέους ἀκίνητον κτῆμα [26].

26. Ὁ δανειστὴς μισθώσας ἢ εἰς δουλικὴν ὑπηρεσίαν λαβὼν τὰ τοῦ χρεώστου τέκνα, ἐκπίπτει τοῦ χρέους αὐτοῦ, καὶ τὴν ὁμοίαν τῷ χρέει ποσότητα τῷ κρατηθέντι παιδὶ ἢ τοῖς γονεῦσιν αὐτοῦ καταβαλεῖν καταναγκασθήσεται, πρὸς τὸ καὶ σωματικῶς αὐτὸν τιμωρηθῆναι [27].

27. Ὁ δημόσια χρεωστῶν μὴ ἐκταττέτω τῷ δημοσίῳ τὸν ἴδιον χρεώστην, εἰ μὴ πρότερον καὶ αὐτὸς ἀπορήσῃ, κἀκεῖνος δὲ ἐδείχθη χρεωστεῖν [28].

[21] Nov. 4 ex Proch. h. t. c. 11. [22] Nov. 18 c. 8 ex Proch. h. t. c. 12. [23] Nov. cit. ex Proch. h. t. c. 13. [24] Basil. XXI, 3, 19. [25] Proch. h. t. c. 14. [26] Theod. Nov. 46 §. 3. [27] Athan. IV, 22. [28] Athan. XX, 1.

28. Πόλις δανείσασα προτιμᾶται παρὰ πάντας τοὺς ἀγράφως δανείσαντας [29].

29. Ἐκ τοῦ θ′ τί. βι. θ′. — Ἐὰν χρεωστῇ τις ἰδιώτῃ, χρεωστῇ δὲ καὶ τῷ δημοσίῳ, καὶ ἀπεπλήρωσε τὸν ἰδιώτην, μετὰ δὲ ταῦτα κινῇ ὁ δημόσιος κατ' αὐτοῦ ὑποθηκαρίαν ἀγωγὴν, λέγων ὅτι τὰ χρήματα ἅπερ ἐδέξω παρὰ τοῦ χρεώστου μου εἰς καταβολὴν ὑπέκειντό μοι, χρεωστεῖ οὗτος παρασχεῖν τὰ χρήματα ἀτοκί. οὔτε γὰρ δάνειον συνήλλαξε πρὸς τὸν τοῦ δημοσίου χρεώστην, ἀλλὰ τὸ ἴδιον ἀπέλαβεν [30].

30. Ἐὰν ἔντοκον χρέος ἐποφειλομένη γυνὴ παρ' ἐμοῦ, γαμουμένη μοι ἐπαγγέλληται ἐν προικὶ ὅπερ αὐτῇ χρεωστῶ, οὐ γίνονται τῆς προικὸς τόκοι μετὰ τὸν γάμον. λέλυται γὰρ ἡ πρώτη ἐνοχὴ, ὡσανεὶ κατεβλήθησαν τὰ χρήματα [31].

31. Ἐὰν ἐπιτρέψῃ μοι ἡ γυνή μου τοῦ δοῦναι ὑπὲρ προικὸς τῆς κοινῆς ἡμῶν θυγατρὸς ὅπερ αὐτῇ χρεωστῶ, εἰ μὲν ὀνόματί μου δώσω, μένω τῇ γυναικὶ ἐνεχόμενος· εἰ δὲ ὀνόματι τῆς γυναικός μου παράσχω, ἐλευθεροῦμαι ἀπ' αὐτῆς [32].

32. Ὁ δανειστὴς ὁ μὴ δεσπόζων τοῦ ἐνεχύρου, δύναται ἀπὸ συμφώνου πιπράσκειν αὐτό [33].

33. Ὁ προσποιησάμενος αὐτὸν αὐτεξούσιον καὶ δανεισάμενος, γενόμενος δὲ ἀπόκληρος νόμῳ ἢ αὐτεξούσιος, κἂν μὴ εὐπορῇ, ἀπαιτεῖται [34].

34. Ἐάν τις ἐγγράφως ἢ ἀγράφως χρυσίον ἢ ἀργύριον ἢ ἕτερον εἶδος τὸ οἱονοῦν ἐν γῇ ἢ ἐν θαλάσσῃ δανείσηται, κατὰ τὸ στιχηθὲν μεταξὺ αὐτῶν καὶ τὴν γενομένην προθεσμίαν ἀπολαμβανέτω ὁ δανείσας τὰ ἴδια, μὴ ἔχοντος ἄδειαν τοῦ δανεισαμένου ἐχθρικὴν ἐπιδρομὴν ἢ ναυάγιον θαλάσσης ἢ ἑτέραν ἀγωγὴν προβάλλεσθαι ἕνεκα τούτων. ἐὰν δὲ ὁ δανεισάμενος ἐνέχυρα τέθεικεν, ταῦτα μετὰ τὴν τοῦ χρέους ἀπόδοσιν λαμβανέτω, μὴ δυναμένου τοῦ ταῦτα κατέχοντος λέγειν τὶ, εἰ μὴ προφανῶς σὺν τοῖς ἰδίοις ταῦτα ἀπώλεσεν ἐκ συμβεβηκότος [35].

35. Ἐάν τις δανείσῃ τινὶ καὶ κατὰ τὴν ἰδίαν ὁμολογίαν παραπροθεσμίσῃ ὁ δανεισάμενος, οὐ δύναται ὁ δανειστὴς πωλεῖν τὰ ἐνέχυρα, εἰ μὴ ἐκ τρίτου τοῦτον προφωνήσεται διὰ μαρτύρων καὶ μὴ τὸ χρέος δῷ. ὑπὸ ἀκριβῆ δημοσίαν ἐκτίμησιν μετὰ καταγραφῆς ταβουλλαρίου καὶ δοκιμασίας τοῦ κατὰ

---

[29] Basil. IX, 7, 36. [30] Basil. IX, 9, 5. [31] Basil. XXIX, 1, 73. [32] Basil. eod. 78. [33] Cf. supra XVI, 95. [34] Basil. IX, 3, 10. [35] Ecloga X, 1. Ecl. privata aucta XI, 3.

τὸν τόπον δικάζοντος ταῦτα ἀπεμπωλῆσθαι, τὸ πλεῖον τοῦ χρέους τῷ δεσπότῃ αὐτῶν ἀναδιδόντος· εἰ δ' ἐλλιπῆ ὦσιν, ἐπιδίδοται πρὸς αὐτὸν ὁ δανεισάμενος [36].

36. Ἐάν τις ἔχων γυναῖκα δανείσηται ἔκ τινος καὶ μὴ εὐπορῇ ταῦτα ἀποδοῦναι, ἀνέγκλητός ἐστιν ἡ τῆς γυναικὸς οὐσία, ἐκ πάντων τῶν χρεῶν ἔχουσα τὴν τῆς ὑποθηκαρίας τοῦ ὑποβόλου ἀγωγὴν, εἰ μὴ ἑκουσίως ἐκ δοκιμασίας δικαστοῦ ἑαυτὴν καταθήσῃ, ὡς εἰς ἰδίας χρείας τὰ χρεωστούμενα δοθῆναι [37].

37. Ἐάν τις ἐγγράφως ἔγγαια ἐπὶ τόκῳ δανείσῃ τινὶ, εἰ μὲν ἀξιωματικός ἐστιν, εἰς τὸν δωδεκαμηνιαῖον χρόνον λαμβανέτω ἐφ' ἑκάστῳ νομίσματι κεράτιον ἕν· εἰ δὲ ἀργυροπράτης ἐστὶν, ἀνὰ κεράτια δύο, εἰ [καὶ] μὴ τὸ σύνολον συμπεφώνηται. οἱ δὲ λοιποὶ πάντες ἀνὰ κεράτιον ἓν ἥμισυ, ἐὰν συνεφώνησαν. εἰ δὲ πλεῖον τοῦ ὁρισθέντος ἀπαιτήσῃ τὶς χάριν τόκου, τὸ τοιοῦτον ποσὸν εἰς κεφάλαιον λογιζέσθω [38].

38. Τοῖς ἐπὶ δανείῳ ἐγγαίῳ ἐπιδιδομένοις ἐνεχύροις ἐπιμελεστάτην χρεωστεῖ παραφυλακὴν ὁ τὰ ἐνέχυρα κομισάμενος, εἰς τὴν ἐκ τύχης καὶ μόνης ἐπισυμβαίνουσαν ἀπώλειαν μη ἐνεχόμενος, μόνην τὴν ἐξ ἀμελείας ὑφιστάμενος καὶ ἐπιγινώσκων ζημίαν αὐτῶν [39].

ΤΙΤΛΟΣ κγ'.

Περὶ μισθώσεως.

1. Ἐὰν συμφωνηθῇ τοὺς μισθωσαμένους οἶκον ἀβλαβὲς ἔχειν πῦρ, καὶ τυχηρὰ γένηται καῦσις, οὐκ ἐνέχεται ὁ μισθωσάμενος. εἰ δὲ καὶ ἀπὸ ῥαθυμίας αὐτοῦ συνέβη, ἐνέχεται [1].

2. Ὁ μισθωσάμενος ἀγέλην οὐκ ἐνέχεται, ἐὰν δειχθῇ, ὅτι χωρὶς ἀπάτης αὐτοῦ λῃσταὶ αὐτὴν ἀφείλοντο. ἀναλαμβάνει δὲ τοὺς μισθοὺς, οὓς ὑπὲρ τοῦ λειπομένου χρόνου δέδωκεν [2].

3. Ὁ ποιμὴν καὶ ὁ ῥάπτης καὶ ὁ κναφεὺς ἀπὸ ῥαθυμίας καὶ ἀπειρίας ἐνέχονται [3].

4. Ἐὰν συμφωνήσῃ τὶς μὴ ἔχειν πῦρ καὶ σχῇ, ἐνέχεται, εἰ μὴ κατὰ τύχην ἐμπρησμὸς γένηται [4].

---

[36] Ecloga X, 2. Ecl. privata aucta XI, 4. [37] Ecloga X, 4. Ecl. priv. aucta XI, 11. 12. [38] Cod. IV, 32, 26. Cf. Ecl. priv. aucta XI, 5. [39] Ecl. priv. aucta XI, 8.

[1] Dig. XIX, 2, 9 §. 3 ex Proch. XVII, 1. [2] Dig. eod. §. 4 ex Proch. h. t. c. 2. [3] Dig. eod. §. 5 ex Proch. h. t. c. 3. [4] Dig. eod. 11 §. 1 ex Proch. h. t. c. 4.

5. Ἐὰν συνεφώνησεν ὁ μισθωσάμενος μὴ ἔχειν ἐν τῷ οἴκῳ χόρτον καὶ σχῇ, εἶτα δοῦλος αὐτοῦ ἢ ξένος εἰσαγάγῃ πῦρ καὶ καύσῃ, ἐνέχεται [5].

6. Ἐὰν λάβῃ τὶς ἐπὶ τῷ ἐγκλεῖσαι ἢ γλύψαι λιθέαν καὶ κλασθῇ, εἰ μὲν ἐξ ἀπειρίας τοῦ τεχνίτου, ἐνέχεται· εἰ δὲ ἀπ' αἰτίας τῆς ὕλης, οὐκ ἐνέχεται, εἰ μὴ τὸν κίνδυνον ἀνεδέξατο [6].

7. Ἐὰν μυόβρωτον γένηται τὸ δοθὲν τῷ κναφεῖ, ἐνέχεται. ἀλλὰ καὶ ἐὰν ἕτερον ἀνθ' ἑτέρου παράσχῃ, κἂν ἐν ἀγνοίᾳ, ἐνέχεται [7].

8. Ἐὰν παριόντων τῶν στρατιωτῶν παραχωρήσῃ ὁ μισθωσάμενος, καὶ ἀφέλωνταί τι οἱ στρατιῶται, ἐνέχεται, εἰ δυνάμενος οὐκ ἀπήγγειλε τῷ δεσπότῃ ἢ δυνάμενος οὐκ ἀντέστη τοῖς στρατιώταις [8].

9. Ἐὰν μετὰ τὸ πληρωθῆναι τὸν χρόνον τῆς μισθώσεως συναινοῦντος ἑκατέρου μέρους ὁ μισθωτὸς ἐπιμένῃ, ἀνανεοῦται εἰς ἐκεῖνον μόνον τὸν ἐνιαυτὸν ἡ μίσθωσις, οὐ μὴν καὶ εἰς λοιπούς. εἰ δὲ καὶ μετὰ τὸν δεύτερον ἐπιμείνῃ, ἐνέχεται καὶ εἰς οὓς συνεφώνησεν ὑπολοίπους [9].

10. Ἐάν τις ἐνιαυτῷ συγχωρήσῃ τῷ μισθωσαμένῳ διὰ τὴν ἀφορίαν, καὶ ἐὰν εὐφορία ἐν τοῖς ἑξῆς ἐνιαυτοῖς γένηται, λαμβάνει τὸ συγχωρηθέν. εἰ δὲ ἐν τῷ ὑστέρῳ ἐνιαυτῷ γέγονεν ἡ ἀφορία καὶ ἡ συγχώρησις, τῶν πρώτων εὐφορησάντων, ἐὰν οἶδεν ὁ μισθωτὴς, συλλογίζεται [10].

11. Εἰ καὶ ἐν ἀγνοίᾳ μισθώσω πίθους κεκλασμένους καὶ ἐκχυθῇ ὁ οἶνος, εἰς τὸ διαφέρον ἐνέχομαι [11].

12. Εἰ τόπον εἰς βοσκὴν μισθώσω καὶ ἐκ τῶν ἐν αὐτῷ κακῶν βοτανῶν βλαβῶσιν ἢ φθαρῶσι τὰ θρέμματα, εἰ μὲν ᾔδειν, εἰς τὸ διαφέρον ἐνέχομαι, εἰ δὲ ἠγνόουν, οὐκ ἀπαιτῶ τὸν μισθόν [12].

13. Ἐὰν δίαιταν μισθώσωμαι εἰς ἐνιαυτὸν δοὺς τὸν μισθὸν σῶον, καὶ πέσῃ ἢ καυθῇ τῷ ἕκτῳ μηνὶ, ἀναλαμβάνω τὸ λοιπόν [13].

14. Ὁσάκις ἐπὶ τῷ γενέσθαι τὶ δίδοται, μίσθωσίς ἐστιν [14].

---

[5] Dig. eod. 11 §. 4 et dig. 12 ex Proch. h. t. c. 5. [6] Dig. eod. 13 §. 5 ex Proch. h. t. c. 9. [7] Dig. eod. §. 6 ex Proch. h. t. c. 10. [8] Dig. eod. §. 7 ex Proch. h. t. c. 11. [9] Dig. eod. §. 11 ex Proch. h. t. c. 12. [10] Dig. eod. 15 §. 4 ex Proch. h. t. c. 13. [11] Dig. eod. 19 §. 1 ex Proch. h. t. c. 14. [12] Dig. eod. ex Proch. h. t. c. 15. [13] Dig. eod. §. 6 ex Proch. h. t. c. 16. [14] Dig. eod. 22 §. 1 ex Proch. h. t. c. 17.

15. Ἐὰν συμφωνηθῇ κυρωθῆναι τὸ ἔργον δοκιμασίᾳ τοῦ δεσπότου, ἀνδρὸς ἀγαθοῦ δοκιμασίαν ἐπιζητοῦμεν. τὸ αὐτὸ, κἂν εἰς τὴν δοκιμασίαν ἑτέρου τὸ ἔργον ἀγάγωμεν [15].

16. Ὁ ἐπὶ χρήμασι μισθωσάμενος τὴν συμβαίνουσαν τοῖς καρποῖς ἄμετρον βλάβην ἐκ τῆς λεγομένης θεομηνίας οὐκ ἐπιγινώσκει, ἀλλὰ τὴν μετρίαν. ὁ δὲ τοὺς καρποὺς μισθωσάμενος ὡσανεὶ δικαίῳ κοινωνίας, καὶ τὸ κέρδος καὶ τὴν ζημίαν συμμερίζεται τῷ δεσπότῃ [16].

17. Ἐάν τις ἐπὶ τῷ μετακομίσαι κίονα μισθώσηται, καὶ κλασθῇ ἐν τῷ κουφίζεσθαι ἢ βαστάζεσθαι ἢ ἀποτίθεσθαι, οὐκ ἐνέχεται, εἰ μὴ ἀπὸ ῥαθυμίας οἰκείας καὶ τῶν ὑπουργούντων αὐτῷ, καὶ εἴπερ ἐπιμελεστάτως ἔπραττε. τὸ αὐτὸ καὶ ἐπὶ πίθων καὶ ξύλων καὶ τῶν ἄλλων πραγμάτων [17].

18. Ὁ μισθωσάμενος ἄλογον ἐπὶ τῷ βαστάσαι καὶ βαρύτερον ἐπιθεὶς, βλαπτομένου αὐτοῦ ἐνέχεται καθ' ὅσον ἂν ἔβλαψεν [18].

19. Ὁ λαβὼν ἐπὶ φυλακῇ πράγματος μισθὸν ἐγκινδυνεύει περὶ τὴν αὐτοῦ φυλακήν [19].

20. Ὁ κλέπτων τὸν μισθωθέντα αὐτῷ δοῦλον, ἐνέχεται ὡς κλέπτης [20].

21. Ἐὰν ὁ μισθώσας ὁμολογήσῃ ποινὴν διδόναι τῷ μισθωσαμένῳ, εἴπερ αὐτὸν ἐξεώσεται πρὸ συμπληρώσεως τοῦ συμφώνου, μὴ καταβάλλοντα τὸν μισθὸν ἐμπροθέσμως ἀζημίως τοῦτον ἐξεοῦται, ἢ μὴ γεωργοῦντα χρησίμως [21].

22. Ἐὰν χωρὶς αἰτίας καταλείπῃ τὸν ἀγρὸν ὁ μισθωσάμενος πρὸ συμπληρώσεως τοῦ [χρόνου, δίδωσιν ὅλου τοῦ] χρόνου τὸν μισθόν [22].

23. Τῶν ἐνοίκων ἐπὶ πολὺν χρόνον μὴ φαινομένων, τουτέστιν ἐπὶ διετίαν, μήτε τὸ στεγονόμιον κατατιθέντων, ἔξεστιν οἷς διαφέρει ἀνοίγειν καὶ παρόντων δημοσίων προσώπων ἀπογράφεσθαι τὰ ἐκεῖσε ὄντα [23].

24. Ἐὰν τὸ γινόμενον ἔργον ἀπὸ σεισμοῦ παρασαλευθῇ, τοῦ μισθώσαντός ἐστιν ὁ κίνδυνος [24].

---

[15] Dig. eod. 24 pr. ex Proch. h. t. c. 18. [16] Dig. eod. 25 §. 6 ex Proch. h. t. c. 19. [17] Dig. eod. §. 7 ex Proch. h. t. c. 20. [18] Dig. eod. 30 §. 2 ex Proch. h. t. c. 21. [19] Dig. eod. 40 ex Proch. h. t. c. 22. [20] Dig. eod. 42 ex Proch. h. t. c. 23. [21] Dig. eod. 54 §. 1 ex Proch. h. t. c. 24. [22] Dig. eod. 55 §. 2 ex Proch. h. t. c. 25. [23] Dig. eod. 56 ex Proch. h. t. c. 26. [24] Dig. eod. 59 ex Proch. h. t. c. 27.

25. Ἐὰν πρὸ δοκιμασίας πέσῃ τὸ ῥεῖθρον, εἰ μὲν ἀπὸ αἰτίας τοῦ ἐδάφους, ὁ μισθώσας ζημιοῦται, εἰ δὲ ἐξ ἐλαττώματος τοῦ ἔργου, ὁ μισθωσάμενος [25].

ΤΙΤΛΟΣ κδ'.

Περὶ παρακαταθήκης.

1. Παρακαταθήκη ἐστὶ τὸ ἐπὶ φυλακῇ τινι διδόμενον [1].

2. Ἐπὶ τῶν ἀπὸ θορύβου ἢ ἐμπρησμοῦ ἢ συμπτώσεως ἢ ναυαγίου παρατιθεμένων κατὰ μὲν τοῦ λαβόντος εἰς τὸ διπλοῦν ἡ ἀγωγὴ ἁρμόζει, κατὰ δὲ τῶν κληρονόμων ἀπὸ μὲν δόλου τοῦ διαθεμένου εἰς [τὸ ἁπλοῦν, ἀπὸ δὲ οἰκείου εἰς] τὸ διπλοῦν. ἐπὶ δὲ τῶν λοιπῶν παρακαταθηκῶν εἰς τὸ ἁπλοῦν ἡ ἀγωγὴ δίδοται [2].

3. Εἴτε ὁ τὴν παρακαταθήκην δεξάμενος εἴτε ὁ κληρονόμος αὐτοῦ ἐναχθῇ, καὶ φυσικῶς τὸ πρᾶγμα πρὸ ψήφου φθαρῇ, τυχὸν γὰρ δοῦλος ἦν καὶ ἀπέθανεν, ἐλευθεροῦται, εἴγε καὶ παρὰ τῷ ἐνάγοντι ἀποκαταστὰν ἀπώλλυτο [3].

4. Τῆς παρακαταθήκης καὶ οἱ καρποὶ καὶ οἱ τοκετοὶ καὶ πᾶν πρᾶγμα ἀπαιτεῖται [4].

5. Ὁ παραθέμενος πρᾶγμα δύναται παραχρῆμα κινῆσαι τὴν παρακαταθήκης ἀγωγήν. καὶ μὴ ἀποδιδοὺς ὁ δεξάμενος δόλον ποιεῖ, εἰ μὴ ἀλλαχοῦ ἐστιν, ἢ ἀποκέκλεισται καὶ ἐν τῷ τέως ἀνοιγῆναι οὐ δύναται, ἢ οὐκ ἐξῆλθεν ἡ αἵρεσις τῆς παρακαταθήκης [5].

6. Ἐὰν ὁ δοῦλός μου ὁ καλῇ πίστει δουλεύων μοι παράθηται τὸ ἀνῆκόν μοι, ἔχω τὴν ἀγωγὴν τῆς παρακαταθήκης [6].

7. Εἴτε περίεστιν ὁ παραθέμενος δοῦλος εἴτε ἀπέθανεν ἢ ἠλευθερώθη ἢ ἐξεποιήθη, ὁ δεσπότης ζητεῖ τὴν παρακαταθήκην, οὐ μὴν αὐτὸς ὁ ἐλευθερωθεὶς οὔτε ὁ νέος αὐτοῦ δεσπότης· τῇ γὰρ ἀρχῇ προσεκτέον τοῦ συναλλάγματος [7].

8. Δοῦλός σου παρέθετό μοι χρήματα ἐπὶ τῷ δοῦναί σοι ὑπὲρ τοῦ ἐλευθερῶσαι αὐτόν. εἰ μὲν διδοὺς ἐποίησά σε τῶν

---

[25] Dig. eod. 62 ex Proch. h. t. c. 28.

[1] Dig. XVI, 3, 1 pr. ex Proch. XVIII, 1. [2] Dig. eod. §. 1 ex Proch. h. t. c. 2. [3] Dig. eod. 14 §. 1 ex Proch. h. t. c. 3. [4] Dig. eod. 1 §. 24 ex Proch. h. t. c. 4. [5] Dig. eod. §. 22 ex Proch. h. t. c. 5. [6] Dig. eod. §. 27 ex Proch. h. t. c. 6. [7] Dig. eod. §. 30 ex Proch. h. t. c. 8.

παρακολουθησάντων ἐν εἰδήσει, οὐκ ἐνέχομαι ὡς ἴδια δεδωκώς· εἰ δὲ οὐχὶ, ὑπόκειμαι διδόναι ὡς παρακαταθήκην εἰληφώς [8].

9. Ὁ μὴ τῆς παρακαταθήκης ὡς τῶν ἰδίων ἐπιμελούμενος δόλον ποιεῖ καὶ ἐνέχεται [9].

10. Ἐὰν ἐξ ἐπιδρομῆς λῃστῶν ὁ τὴν παρακαταθήκην λαβὼν ἀπώλεσε τὰ παρατεθέντα αὐτῷ, οὐ κινδυνεύεται τοῖς κληρονόμοις αὐτοῦ ἡ ἀπώλεια. ὁ γὰρ παρακαταθήκην λαβὼν δόλον μόνον καὶ ῥᾳθυμίαν καὶ ἀμέλειαν ἀπαιτεῖται, εἰ μὴ ῥητῶς καὶ ἕτερόν τι συνεφώνησεν. ἐὰν δὲ ἀποκεχρημένος τῇ προφάσει τῆς αἰτίας ἢ ἄλλης τυχηρᾶς περιστάσεως, καὶ ἔχων τὰ παρατεθέντα πράγματα ὁ κληρονόμος ἢ κατὰ δόλον παυσάμενος ἔχειν αὐτὰ μὴ ἀποκαθίστησιν, ἐνέχεται τῇ ἀγωγῇ τῆς παρακαταθήκης [10].

11. Ὁ ἐγγυησάμενος τὸν λαβόντα παρακαταθήκην ἐνέχεται, κἂν δόλον μὲν ὁ λαβὼν οὐ πεποίηκεν, ἔχει δὲ τὸ πρᾶγμα· τί γάρ; ὅτι μαίνεται, ἢ ὀρφανὸς καὶ ἄνηβός ἐστιν, ἢ ἀδιάδοχος ἐτελεύτησε; καὶ ἀναγκαζέτω παρασχεῖν ὁ ἐγγυητὴς, ὅσα λόγῳ παρακαταθήκης εἴληφεν [11].

12. Ὁ παρ' ἑκατέρου μέρους ἢ διαλύσεως συμβόλαια ἢ ἄλλα τινὰ δικαιώματα παρακαταθήκην λαβὼν, ἀνάγκην ἔχει φυλάττειν αὐτὰ, ἐφ' οἷς τὴν παρακαταθήκην ἔλαβεν [12].

13. Ὁ λαβὼν πρᾶγμα εἰς παρακαταθήκην καὶ παραθέμενος αὐτὸ ἐγγράφως τινὶ ἑτέρῳ, οὐ καλῶς παραιτεῖται ἀποκαταστῆσαι, ὅπερ ἔλαβεν, ἐκ τοῦ προφέρειν τὸν χάρτην εἰς ἀπόδειξιν τοῦ ὅτι ἑτέρῳ τοῦτο παρέθετο [13].

14. Εἴ τις δεξάμενος παρακαταθήκην ἀρνήσηται αὐτὴν καὶ μαρτυρηθῇ ἐν αὐτῷ, μετὰ τὸν ὅρκον ἔχοντι αὐτὴν ἢ ἐγγράφως ἀποταξαμένῳ, διπλὴν ταύτην ἀποδώσει, τῆς δὲ ἐπιορκίας τὴν τιμωρίαν ὑπομενέτω [14].

---

[8] Dig. eod. §. 33 ex Proch. h. t. c. 9. [9] Dig. eod. 32 ex Proch. h. t. c. 10. [10] Cod. IV, 34, 1 ex Proch. h. t. c. 11. [11] Dig. XVI, 3, 1 §. 14 ex Proch. h. t. c. 12. [12] Cod. IV, 34, 6 ex Proch. h. t. c. 13. [13] Cod. eod. 7 ex Proch. h. t. c. 14. [14] Basil. LIII, 8, 14 (ex legibus Rhod. navalibus).

ΤΙΤΛΟΣ κε'.

Περὶ συστάσεως κοινωνίας.

1. Συνίσταται κοινωνία ἕως οὗ ζῶσιν οἱ κοινωνοῦντες, πρὸς καιρὸν, ἢ ἀπὸ καιροῦ, ἢ ὑπὸ αἵρεσιν [1].

2. Ἐν τῇ συστάσει τῆς κοινωνίας οὐδὲν δεῖ περὶ τῆς ἀπαγορεύσεως συμφωνεῖν· κατὰ φύσιν γὰρ τῆς κοινωνίας ὁ παρὰ καιρὸν ἀπαγορεύσας ἐνέχεται [2].

3. Ἐὰν ῥητῶς πάντων τῶν πραγμάτων γένηται κοινωνία, καὶ κληρονομία καὶ λεγάτα καὶ δωρεαὶ καὶ πᾶν κέρδος τῇ κοινότητι προσπορίζεται [3].

4. Ἐὰν συμφωνήσωμεν κοινὴν εἶναι τὴν ὡς εἰκὸς ἐρχομένην εἰς ἕνα ἡμῶν δικαίαν κληρονομίαν, οὐ περὶ τῆς ἐκ διαθήκης λέγειν δοκοῦμεν, ἀλλὰ περὶ τῆς νομίμου [4].

5. Συνίσταται κοινωνία πράγματι καὶ ῥήματι καὶ δι' ἀγγέλου, καὶ διαλύεται ἀπαγορεύσει, θανάτῳ καὶ ἀπορίᾳ [5].

6. Συνίσταται κοινωνία καὶ ἐπὶ πᾶσι τοῖς πράγμασι, καὶ ἐπὶ πραγματείᾳ, καὶ ἐπὶ τέλει, καὶ ἐφ' ἑνὶ πράγματι, καὶ μεταξὺ τῶν ἀνίσως οὐσίαν ἐχόντων. ὁ γὰρ πενέστερος ὡς ἐπίπαν τὸ λεῖπον ἐν χρήμασι διὰ σπουδῆς ἀντεισάγει [6].

7. Ἐὰν ἁπλῶς γένηται συμφωνία καὶ μὴ λεχθῇ ἐπὶ τίνι, δοκεῖ συνίστασθαι ἐπὶ τῷ περιγενομένῳ πόρῳ καὶ κέρδει ἀπὸ πράσεως τυχὸν καὶ ἀγορασίας, μισθώσεως καὶ ἐκλήψεως. πόρος γάρ ἐστιν ὁ ἀπὸ καμάτου τινὶ προσγενόμενος. κληρονομίαι δὲ καὶ λεγάτα καὶ δωρεαὶ οὐ περιέχονται· αἱ γὰρ δωρεαὶ ὡς μισθός τινος ἡγησαμένου παραγίνονται ἡμῖν [7].

8. Εἰ καὶ συνεφωνήθη εἴσω δήλου καιροῦ μὴ λυθῆναι τὴν κοινωνίαν, ἐξ εὐλόγου αἰτίας λύεται. τί γάρ; ὅτι ἐφ' ᾗ συνέστη ἡ αἵρεσις [οὐκ] ἐγένετο, ἢ ὑβριστὴς καὶ ἐπιζήμιός [ἐστιν ὁ κοινωνὸς, ἢ οὐκ ἐστὶ] καρπίζεσθαι τὸ πρᾶγμα, διὸ συνέστη ἡ κοινωνία [8].

9. Ἐὰν ἀπαγορεύσω τῷ ἀπολιμπανομένῳ μου κοινωνῷ, ὅσα μὲν κτήσομαι, ἕως οὗ μάθῃ, κοινὰ γίνεται, ἡ δὲ ζημία μό-

---

[1] Dig. XVII, 2, 1 ex Proch. XIX, 1. [2] Dig. eod. 17 ex Proch. h. t. c. 2. [3] Dig. eod. 3 §. 1 ex Proch. h. t. c. 3. [4] Dig. eod. §. 2 ex Proch. h. t. c. 4. [5] Dig. eod. 4 ex Proch. h. t. c. 5. [6] Dig. eod. 5 ex Proch. h. t. c. 6. [7] Dig. eod. 7—9 ex Proch. h. t. c. 7. [8] Dig. eod. 14. 15 ex Proch. h. t. c. 8.

νον ἐμὲ ὁρᾷ. τὸ δὲ κέρδος τοῦ κοινωνοῦ μόνον ἐστὶ καὶ ἡ ζημία κοινή [9].

10. Τὰ ἐξ οἰκείας ἀμελείας συμβαίνοντα ἐπιγινώσκει ὁ κοινωνὸς, κἂν ἐν πολλοῖς ἑτέροις ὠφέλησεν [10].

11. Τὰ συστάντα χρέη τῷ καιρῷ τῆς κοινωνίας ἐκ τοῦ κοινοῦ δίδονται, καὶ ἐὰν πρὸ τῆς καταβολῆς τοῦ χρέους (ἴσως γὰρ αἱρετικόν ἐστιν) ἡ κοινωνία λυθῇ, ἀλλήλοις περὶ τῆς καταβολῆς ἀσφαλίζονται [11].

12. Ἐὰν χρήματα συνεισαγάγωμεν ἐπὶ κοινῇ πραγματείᾳ, καὶ ἀπόλωνται τὰ ἐμὰ, τῇ κοινότητι ἀπώλοντο, εἴγε οὐκ ἀπώλοντο, εἰ μὴ συνέστη ἡ κοινωνία. εἰ δὲ μετὰ τὸ ἀφορίσαι με καὶ μήπω συνεισαγαγεῖν ἀπώλοντο, μόνος ζημιοῦμαι [12].

13. Ὁ κοινωνός μου ἐπὶ τῷ κοινῷ πράγματι καὶ τῇ τῆς κλοπῆς ἀγωγῇ καὶ τῇ τῆς κοινωνίας ἀγωγῇ ἐνέχεταί μοι, καὶ οὐκ ἀναιρεῖ τὴν ἑτέραν ἡ ἑτέρα [13].

[14. Τὰ τυχηρὰ ὁ κοινωνὸς οὐκ ἐπιγινώσκει. ὅθεν τὰ δοθέντα διατετιμημένα θρέμματα, εἰ μὲν ὑπὸ ληστῶν ἀφαιρεθῶσι, κοινὴ γίνεται ἡ ζημία· εἰ δὲ κλαπῶσι, μόνος ὁ ἐσχηκὼς αὐτὰ ζημιοῦται· χρεωστεῖ γὰρ ἀκριβεστάτην ἀσφάλειαν ὁ δεξάμενος διατετιμημένα. καὶ ἁρμόζει ἡ περὶ κοινωνίας ἀγωγὴ, ἐὰν ἐπὶ κοινωνίᾳ ἐδόθησαν βόσκεσθαι, εἰ καὶ τὰ μάλιστα διατετιμημένα [14].]

[15. Ἐὰν ὁ κοινωνὸς ἐπὶ κοινῇ ἀποδημήσας ἐμπορίᾳ περιέπεσε λησταῖς καὶ ἀπώλεσεν ἴδια χρήματα ἢ πράγματα, ἅτινα εἰ μὴ διὰ τὴν ἐμπορίαν οὐκ ἐλάμβανε, τὸ μέρος τῆς ζημίας ἐπιγινώσκει ὁ κοινωνὸς καὶ τῶν περὶ τὴν ἰατρείαν δαπανῶν. τὸ αὐτό ἐστι κἂν πλέων μετὰ τῆς πραγματείας ἐναυάγησε καὶ ἐζημιώθη, ὅτε χωρὶς θαλάσσης οὐκ εἴωθεν ἡ πραγματεία φέρεσθαι [15].]

[16. Ὁ εἷς τῶν κοινωνῶν ἀργυροπρατῶν οὐ κοινοποιεῖ τὰ ἔξωθεν τῆς τραπέζης αὐτῷ περιποιηθέντα [16].]

[17. Εἰ δὲ ἀδελφοὶ ἐπὶ κοινωνίᾳ τὰς τῶν γονέων οὐ διείλοντο κληρονομίας,] τὰ ἔξωθεν τῆς τῶν γονέων κληρονομίας κτηθέντα αὐτοῖς οὐ κοινοποιοῦσιν [17].

---

[9] Dig. eod. 17 §. 1 ex Proch. h. t. c. 9. [10] Dig. eod. 26 ex Proch. h. t. c. 10. [11] Dig. eod. 27 ex Proch. h. t. c. 11. [12] Dig. eod. 58 §. 1 ex Proch. h. t. c. 12. [13] Dig. eod. 45 ex Proch. h. t. c. 13. [14] Dig. eod. 52 §. 3 ex Proch. h. t. c. 14. — Caeterum capita 14—17 uncis inclusa in plerisque desunt. [15] Dig. eod. §. 4 ex Proch. h. t. c. 15. [16] Dig. eod. §. 5 ex Proch. h. t. c. 16. [17] Dig. eod. §. 6 ex Proch. h. t. c. 17.

18. Ὁ κοινωνὸς ὑπερτιθεμένων τῶν ἄλλων ἐὰν ἀνανεώσῃ τὸν κοινὸν οἶκον, ἐπιλογὴν ἔχει ἢ τὰ δαπανηθέντα λαβεῖν εἴσω τεσσάρων μηνῶν μετὰ τὴν ἀνανέωσιν, καὶ ἔχει περὶ τὴν ἀπαίτησιν προνόμιον, ἢ τὸν οἶκον εἰς δεσποτείαν μετὰ τὸ τετράμηνον, ἢ μᾶλλον διὰ τῆς περὶ κοινωνίας ἀγωγῆς λαβεῖν τὸ διαφέρον ...... τὴν δεσποτείαν δίδωσι τῷ ἀνανεώσαντι [18].

19. Ὁ ἀποδημήσας διὰ κοινὴν ἐμπορίαν μόνας τὰς εἰς αὐτὴν γενομένας δαπάνας λογίζεται τῇ κοινότητι [19].

20. Ὁ τὴν πίστιν ῥηγνὺς τῆς κοινωνίας, μετὰ τοῦ τῆς ἀτιμίας κινδύνου, οἰκείῳ ὀνόματι τῇ περὶ τῆς κοινωνίας ἀγωγῇ ἐναχθεὶς εἰς τὸ ποιῆσαι τὸ ἱκανὸν τῷ κοινωνῷ συνελαύνεται [20].

ΤΙΤΛΟΣ κϛʹ.

Περὶ λύσεως κοινωνίας.

1. Λύεται κοινωνία φθειρομένων τῶν προσώπων ἢ τοῦ πράγματος ἢ τῆς γνώμης ἢ τῆς ἀγωγῆς. προσώπων μὲν, ἡνίκα καταδικασθῇ θανάτῳ ἢ ἐξορίᾳ καὶ δημεύσει ὁ εἷς τῶν κοινωνῶν ἢ καὶ τελευτήσει κοινῷ θανάτῳ. φθείρεται δὲ τὸ πρᾶγμα, ὅταν ἢ παντελῶς οὐχ ὑπέστιν ἢ τὴν κατάστασιν ἐνήλλαξεν ἀνιερωθὲν ἢ δημευθέν. γνώμη λύεται, ὅταν ἀπαγορεύσωσιν, ἰδιαζόντως ἑκάστου καὶ ἑαυτῷ πραγματευομένου. ἀγωγῇ δὲ λύεται, ὅταν ἢ δι' ἐπερωτήσεως ἢ διὰ δικαστηρίου ἐναλλαγῇ ἡ αἰτία τῆς κοινωνίας· καὶ γὰρ ἐπὶ διαλύσει τῆς κοινωνίας ὁ ἐνάγων ἀπαγορεύει αὐτήν [1].

2. Ἐὰν ἐπὶ πράσει ἢ μισθώσει συστῇ κοινωνία, καὶ ἡ μετὰ θάνατον τοῦ ἑνὸς γενομένη ζημία καὶ τὸ κέρδος κοινόν ἐστιν [2].

3. Ὁ μείζων τῶν κε ἐνιαυτῶν εἴτε διαλύσηται πρός τινα εἴτε τὰ χρεωστούμενα αὐτῷ δωρήσεται δίχα τινὸς αἱρέσεως, οὐ δύναται μετὰ ταῦτα λέγειν, ὅτι ἐλπίδι τοῦ μέλλειν σε κληρονομεῖν διελυσάμην ἢ ἐδωρησάμην σοι [3].

4. Ὁ περὶ μιᾶς αἰτίας ἐνάγων καὶ διαλυόμενος, εἰ καὶ ῥητῶς ἐπάγῃ μηδὲν πλέον ἀπαιτεῖν, καὶ μηδὲ προσθήσῃ τὸ ταύ-

---

[18] Dig. eod. §. 10 ex Proch. h. t. c. 18. [19] Dig. eod. §. 15 ex Proch. h. t. c. 19. [20] Basil. XXI, 3, 21.

[1] Dig. XVII, 2, 63 §. 10 sqq. ex Proch. XX, 1. [2] Dig. eod. 65 §. 2 ex Proch. h. t. c. 2. [3] Cod. II, 4, 25 ex Proch. h. t. c. 3.

της ἕνεκεν τῆς αἰτίας, ὅμως ἐῤῥωμένας ἔχει τὰς ἐξ ἄλλων αἰτιῶν ἁρμοζούσας αὐτῷ κατ' ἐκείνου πρὸς ὃν διελύσατο ἀγωγάς. τί γάρ; ὅτι περὶ παρακαταθήκης διελύσατο, εἶχε δὲ καὶ περὶ δανείου [4].

ΤΙΤΛΟΣ κζ'.

Περὶ διαθήκης αὐτεξουσίων.

1. Διαθήκη ἐστὶ δικαία βούλησις ὅν τις θέλει μετὰ θάνατον αὐτοῦ ποιῆσαι κληρονόμον [1].

2. Ὁ διατιθέμενος ὀφείλει τὸν νοῦν, οὐ μὴν τὸ σῶμα ἐῤῥῶσθαι [2].

3. Ὁ ἄῤῥην πληρώσας τὰ ιδ ἔτη διατίθεται, ἡ δὲ θήλεια τὰ ιβ [3].

4. Αἱ διαθῆκαι ἐκ τριῶν νομίμων συνίστανται, ἐκ τοῦ πολιτικοῦ, τῶν διατάξεων, καὶ τοῦ πραίτωρος. ἐκ μὲν γὰρ τοῦ πολιτικοῦ κατάγεται τὸ παρόντων μαρτύρων μιᾷ ὑφῇ συναπτῶς τὴν διαθήκην πληροῦσθαι. ἐκ δὲ τῶν διατάξεων αἱ τοῦ διαθεμένου καὶ τῶν μαρτύρων ὑπογραφαί, ἐκ δὲ τοῦ πραίτωρος αἱ σφραγίδες καὶ ὁ τῶν μαρτύρων ἀριθμός. ἡ γὰρ τοιαύτη παραφυλακὴ διὰ τὸ κακουργίας πάσης ἀπηλλάχθαι τὴν τῶν διαθηκῶν ποίησιν καὶ παντὸς αὐτὰς δόλου καθαρεύειν προστέθειται. ὥστε τὸν διαθέμενον οἰκείᾳ χειρὶ ἢ τοῦ μυστικῶς γράφοντος τὸ τοῦ κληρονόμου δηλῶσαι ὄνομα, φάσκοντα, τόνδε ἐνεστησάμην κληρονόμον. τοῦτο δὲ αὐτοῦ μὴ ποιήσαντος ἀνάγκη τοῖς μάρτυσι λέγεσθαι τὸ τοῦ κληρονόμου ὄνομα [4].

5. Ἐπειδὴ δὲ εἰρήκαμεν τοὺς μάρτυρας χρῆναι σφραγίδας ἐπιτιθέναι, ὀφείλεις εἰδέναι, ὅτι ἑνὶ δακτυλίῳ δύνανται σφραγίζειν τὴν διαθήκην [5].

6. Καὶ ἐν νυκτὶ σφραγίζεται ἀλλὰ καὶ ὑπογράφεται ἡ διαθήκη [6].

7. Ὁ γραφεὺς τῆς διαθήκης καλῶς ἐν αὐτῇ μαρτυρεῖ [7].

8. Ὁ ἐν ἀσθενείᾳ σώματος παραφρονήσας, οὐ διατίθεται ἐν τῇ παραφροσύνῃ, ἐν τοῖς διαλείμμασι δέ [8].

---

[4] Cod. eod. 31 ex Proch. h. t. c. 4.

[1] Dig. XXVIII, 1, 1 ex Proch. XXI, 1. [2] Dig. eod. 2 ex Proch. h. t. c. 2. [3] Dig. eod. 5 ex Proch. h. t. c. 3. [4] Theoph. II, 10, 3 sqq. ex Proch. h. t. c. 4. [5] Theoph. cit. ex Proch. h. t. c. 5. [6] Dig. cit. 22 §. 6 ex Proch. h. t. c. 6. [7] Dig. cit. 27 ex Proch. h. t. c. 7. [8] Dig. cit. 17 ex Proch. h. t. c. 8.

9. Ἄδειαν ἐχέτω ὁ τυφλὸς, εἴτε ἐκ γενετῆς εἴτε ἀπὸ νόσου, ἄγραφον διαθήκην ποιεῖν, ζ̄ ἢ ε̄ μάρτυρας συγκαλῶν, καὶ λέγων τὸν κληρονόμον μετὰ σημείων διὰ τὸ μὴ πλανηθῆναι [9].

10. Ἐὰν διατίθεται ὑπεξούσιος ἢ ἄνηβος ἢ δοῦλος, οὐκ ἔῤῥωται ἡ διαθήκη, κἂν ὁ μὲν αὐτεξούσιος ἀποθάνῃ, ὁ δὲ ἔφηβος, ὁ δὲ ἐλεύθερος [10].

11. Εἰ καὶ κοινὰ ἔχουσι τὰ πράγματα οἱ ἀδελφοὶ, ὅμως οὐδεὶς αὐτῶν κωλύεται διατίθεσθαι εἰς ἃ αὐτῷ διαφέρει διὰ τὸ ἀδιαίρετα εἶναι τὰ πράγματα [11].

12. Εἴ τις γράμματα ἐπιστάμενος μεταξὺ τῶν ἑαυτοῦ παίδων βούλεται ποιήσασθαι διατύπωσιν, πρῶτα μὲν αὐτῆς προγράφειν τὸν χρόνον, εἶτα καὶ τὰ τῶν παίδων ὀνόματα οἰκείᾳ χειρὶ, καὶ πρός γε τοὺς οὐγγιασμοὺς εἰς οὓς γράφει κληρονόμους αὐτοὺς, μὴ τοῖς συμβόλοις τὸν ἀριθμὸν σημαινομένοις ἀλλὰ δι' ὅλων γραμμάτων δηλουμένους, ὥστε πανταχόθεν σαφεῖς τε καὶ ἀναμφισβητήτους καθεστᾶναι. εἰ δὲ καὶ πραγμάτων βούλοιτο ποιήσασθαι διαίρεσιν, ἤ τισι πράγμασι ῥητοῖς ἢ πάσας ἤ τινας τῶν ἐνστάσεων περιστῆσαι, καὶ τὰ τούτων γραφέτω γνωρίσματα, ὥστε τοῖς αὐτοῦ γράμμασι πάντα δηλούμενα μηδεμίαν ἔτι φιλονεικίαν τοῖς παισὶ καταλιμπάνειν. εἰ μέντοιγε ἢ τῇ γαμετῇ ἢ ἐξωτικοῖς τισι προσώποις βούλεται καταλιπεῖν λεγάτα ἢ φιδικόμισσα ἢ καὶ ἐλευθερίαν, καὶ ταῦτα οἰκείᾳ γραφόμενα χειρὶ, λεγόμενά τε παρὰ τῶν διαθεμένων ἐπὶ τῶν μαρτύρων, ὡς ἅπαντα ἐφεξῆς τὰ ἐν τῇ διατυπώσει κείμενα αὐτοὶ καὶ ἔγραψαν καὶ βούλονται κρατεῖν· καὶ ἔστω ἰσχυρὰ μηδὲν μελετώμενα ἐκ τοῦ δοκεῖν ἐν χάρτῃ ἐγγράφεσθαι τὴν λοιπὴν παρατήρησιν τῶν διαθηκῶν μὴ δεξάμενα, ἀλλὰ τοῦτο μόνον διαταττέτω αὐτοῦ δεξιάν τε καὶ γλῶσσαν ἔχειν τὴν πᾶσαν ἰσχὺν τῷ χάρτῃ παρεχομένην. καὶ εἴπερ μέχρι τελευτῆς μείνοι τοῦτο τὸ σχῆμα, οὐδεὶς ὕστερον προστάξει μαρτυρίας ὡς βουληθέντι τυχὸν τὴν τοιαύτην γνώμην ἀμεῖψαι ἢ ἐναλλάξαι ἤ τι τοιοῦτον ποιῆσαι, ᾧγε ἐξῆν διαῤῥῆξαι τὸ γενόμενον καὶ ἑτέραν ποιήσασθαι βούλησιν δηλοῦσαν τὴν τελευταίαν αὐτοῦ γνώμην ἣν προσήκει κρατεῖν. τοῦτο γὰρ ἐφίεμεν αὐτῷ πράττειν τοῦτο ῥητῶς ἐπισημαινομένῳ ἐπὶ παρουσίᾳ μαρτύρων ζ̄ ἢ ε̄, ὡς πεποίηται τὴν τοιαύτην βούλησιν, οὐ μὴν κρατεῖν αὐτὴν ἔτι βούλεται, ἀλλ' ἑτέραν ποιήσασθαι. καὶ ταῦτα μὲν ἢ ἐν τελείᾳ διαθήκῃ ποιείτω πάντα τὰ τῶν διαθηκῶν ἐχούσῃ

[9] Cod. VI, 22, 8 ex Proch. h. t. c. 9. [10] Dig. cit. 19 ex Proch. h. t. c. 10. [11] Cod. cit. 1 ex Proch. h. t. c. 11.

σημεῖα [ἢ ἐν ἀγράφῳ τελείᾳ βουλήσει], ὥστε ἐπὶ ἐγγράφῳ βουλήσει ἢ ἀγράφῳ δοκεῖν αὐτὸν τελευτῆσαι, τῶν προτέρων ἀκύρων ἐκ τῆς δευτέρας αὐτοῦ τελείας βουλήσεως γινομένων [12].

13. Ἡ προγενεστέρα διαθήκη ἀνατρέπεται ὑπὸ τῆς μεταγενεστέρας τελείας οὔσης, κἂν ἐστιν ἡ πρώτη ἔγγραφος [13].

14. Ἐὰν ἀποδειχθῇ βουληθέντα τὸν διαθέμενον πλείονας εἰπεῖν κληρονόμους, φιμωθῆναι δὲ, οὐδὲ οἱ παρ' αὐτοῦ λεχθέντες κληρονομοῦσιν [14].

15. Ἐὰν μέντοιγε ὁ διαθέμενος μὴ βούλεται γνῶναι τὰ γεγραμμένα τοὺς μάρτυρας, εἰληθεῖσαν ἕως τῶν γεγραμμένων ἢ σφραγισθεῖσαν ὑπ' αὐτοῦ προσφερέτω τοῖς μάρτυσιν, ἵνα ὑπογράψωσι, καὶ λεγέτω αὐτοῖς ἰδίαν εἶναι τὴν διαθήκην. οἳ ἐν ἑνὶ καιρῷ ὑπογραφέτωσαν καὶ σφραγιζέτωσαν αὐτὴν, καὶ κρατείτω ἰσχυρῶς. οὐ μόνον δὲ ζ̄ ἀλλὰ καὶ ε̄ παραλαμβανόμενοι μάρτυρες ἔν τε ἐγγράφῳ πάσῃ καὶ ἀγράφῳ διαθήκῃ βεβαίαν ταύτην παριστῶσιν [15].

16. Ὁ μέντοιγε ἐν πολέμῳ πληγεὶς καὶ ἐν ὁδῷ περιπατῶν καὶ πρὸς τὸ θανεῖν ἐγγίσας, ὁ τοιοῦτος οὐ μόνον ἐπὶ τριῶν διαθήκην δύναται ποιεῖν, ἀλλὰ καὶ δύο μόνα παρευρισκόμενα πρόσωπα διὰ τὴν συμβᾶσαν περίστασιν δύνανται τὴν ἐκείνου διαθήκην βεβαίαν παριστάναι [16].

17. Ἐκ τοῦ λε' βι. τί. α'. — Ἡ ἐν αἰχμαλωσίᾳ γινομένη διαθήκη οὐκ ἔῤῥωται, κἂν ὑποστρέψῃ ὁ αἰχμάλωτος [17].

18. Ἡ τοῦ αἰχμαλώτου διαθήκη, ἕως ἂν μὴ γένηται αἰχμάλωτος, ἔῤῥωται, καὶ ὁ παρ' αὐτοῦ γραφεὶς εἰς κληρονομίαν ἢ καὶ δοῦλος ἐλεύθερος καὶ ἄκων γίνεται. καὶ ὁ υἱὸς τοῦ αἰχμαλώτου ἄκων ἐνέχεται τῇ κληρονομίᾳ, εἰ καὶ τὰ μάλιστα οὐ λέγονται ἀναγκαῖοι [18].

19. Οἱ προσλαμβανόμενοι πρὸς τὴν ποίησιν τῆς διαθήκης προσκαρτερείτωσαν μέχρι τοῦ πέρατος αὐτῆς [19].

20. Ἔῤῥωται ἡ διαθήκη ἣν ὁ διαθέμενος ἀποσφραγίσας παρεσκεύασε πάλιν ὑπὸ ζ̄ ἢ ε̄ μαρτύρων ἀνασφραγισθῆναι [20].

21. Ἐὰν ἀφανίσῃ ὁ διαθέμενος τὰς σφραγίδας, οὐ δοκεῖ γὰρ γραφῆναι τὴν διαθήκην [21].

22. Καὶ ἀλλότριος δοῦλος καλῶς γράφει τὴν διαθήκην [22].

---

[12] Nov. 107 c. 1. 2 ex Proch. h. t. c. 12. [13] Theoph. II, 17, 2 ex Proch. h. t. c. 13. [14] Dig. cit. 25 ex Proch. h. t. c. 14. [15] Cod. VI, 23, 21 ex Proch. h. t. c. 15. [16] Proch. h. t. c. 16. [17] Basil. XXXV, 1, 9. [18] Bas. eod. 13. [19] Bas. eod. 21. [20] Bas. eod. 24. [21] Bas. eod. 23. [22] Bas. eod. 29.

23. *Ἐκ τοῦ β' τί. βι. τοῦ αὐτοῦ. — Ἡ ἐν σημείοις διαθήκη οὐκ ἔστιν ἔγγραφος* [23].

24. *Τὸ τὸν διαθέμενον εἰπεῖν ἐν τῇ διαθήκῃ ὡς οὐδὲν ἐδωρήσατο, οὐκ ἀνατρέπει τὰς ἤδη γενομένας δωρεάς, ἀλλ' οὐδὲ ἐὰν εἴπῃ ὅτι οὐδὲν χρεωστῇ* [24].

25. *Μὴ ἀναιρείσθω τῇ τῆς δεκαετίας παραδρομῇ ἡ διαθήκη, εἰ μὴ ἄρα τελείας γενομένης ἑτέρας ἐγγράφου ἢ ἀγράφου ἐναντίαν γνώμην τοῦ διαθεμένου δηλούσης ἐπὶ ζ̄ ἢ ε̄ μαρτύρων* [25].

26. *Ὁ κωλύσας τινὰ διαθέσθαι καὶ αὐτὸς ἐξ ἀδιαθέτου κληρονόμος ὤν, τοῦ κέρδους ἐκβάλλεται* [26].

27. *Τοὺς ὑπεξουσίους δεῖ γράφειν κληρονόμους ἢ ἀποκλήρους, ἐπεὶ ἀμνημόνευτοι γινόμενοι ῥήσσουσι τὴν διαθήκην, εἰ μὴ ἐν αἰχμαλωσίᾳ εἰσίν* [27].

28. *Ἐὰν ὑπεξούσιος κυοφορούμενος ἀμνημόνευτος ἐαθῇ ἐν διαθήκῃ, εἶτα τεχθῇ μέν, φωνὴν δὲ μὴ ἀφήσει, ἢ ὅλως τέλειος γεννηθῇ ζῶν, κἂν ἅμα τῷ πεσεῖν ἐν τῷ ἐδάφει ἐτελεύτησεν ἢ ἐν ταῖς χερσὶ τῆς ἰατρίνης, ῥήγνυσι τὴν διαθήκην* [28].

29. *Ἁρμόζει δ' ἡ ἀγωγὴ καὶ κατὰ τοῦ παρὰ νόμον ἀνοίξαντος τὴν διαθήκην ἢ ἄλλως ὑποπεσόντος τῷ δόγματι εἰς νομίσματα ρ̄. καὶ τὰ μὲν ἡμίση ὁ κατήγορος καὶ διελέγξας λαμβάνει, τὰ δὲ ἡμίση ὁ δημόσιος* [29].

30. *Πτύχαι εἰσὶ διαθήκης πᾶν εἶδος ὕλης, εἴτε ξύλιναι εἴτε οἱαιδήποτε εἴτε χαρτῷαι εἴτε μεμβράναι εἴτε ἀπὸ δέρματος ἀλόγου τινός* [30].

31. *Ἐὰν ἄλλος παρὰ γνώμην τοῦ διαθεμένου τὸν λίνον τῆς διαθήκης κόψει, ἁρμόζει ἡ διακατοχή* [31].

32. *Τί. κα' βι. τοῦ αὐτοῦ. — Ὁ στρατιώτης ὡς ἂν θέλει δύναται διατίθεσθαι* [32].

33. *Ὁ κωφὸς δὲ καὶ ὁ ἄλαλος, πρὶν ἢ ὑπαιτίως ἀπολυθῶσιν, δύνανται στρατιωτικῶς διατίθεσθαι* [33].

34. *Ἐάν τις παγανὸς ὢν ἤγουν ἀνάξιος διατίθηται, καὶ στρατιώτης ἀποθάνῃ, ἔῤῥωται στρατιωτικῶς, εἰ μὴ γνώμης ἄλλης ἦν* [34].

35. *Ἐὰν ὑπαγορεύσῃ στρατιώτης διαθήκην καὶ οὐ φθάσῃ*

---

[23] Bas. XXXV, 2, 1 (1, 33 apud Heimb.). [24] Bas. eod. 6. [25] Bas. eod. 22. [26] Bas. XXXV, 4, 5. [27] Bas. XXXV, 8, 27. 28. [28] Bas. eod. 34. [29] Bas. XXXV, 16, 23. [30] Bas. XXXV, 17, 1. [31] Bas. ibid. [32] Bas. XXXV, 21, 1. [33] Bas. eod. 4. [34] Bas. eod. 11.

γραφῆναι, δεχόμεθα τὰ σημεῖα εἰς διαθήκην, εἰ μέντοι νομίμως ἀποδειχθῇ ταῦτα γενέσθαι [35].

36. Τοὺς πρεσβυτέρους καὶ διακόνους καὶ ἀναγνώστας καὶ ψάλτας, οὓς πάντας κληρικοὺς καλοῦμεν, πρᾶγμα οἱῳδήποτε τρόπῳ εἰς τὴν αὐτῶν δεσποτείαν περιελθὸν ἔχειν ὑπὸ τὴν ἰδίαν ἐξουσίαν προστάττομεν καθ᾽ ὁμοιότητα τῶν ἰδίων πεκουλίων, καὶ δωρεῖσθαι κατὰ τοὺς νόμους καὶ ἐπ᾽ αὐτοῖς διατίθεσθαι, κἂν ὑπὸ τὴν τῶν γονέων εἰσὶν ἐξουσίαν, οὕτω μέντοι ὥστε τοὺς τούτων παῖδας ἢ τούτων μὴ ὑπόντων τοὺς γονεῖς αὐτῶν τὸ νόμιμον μέρος κομίζεσθαι [36].

37. Ἔγκυος γυνὴ διαζυγεῖσα, καὶ ἐν ὑπομνήματι καταθεμένη τὸν τεχθέντα πορνογενῆ εἶναι, ἀδιάθετος ἐτελεύτησε. τὴν κληρονομίαν αὐτῆς ὁ παῖς λαμβάνει. ἡ γὰρ δι᾽ ὀργὴν γενομένη παρ᾽ αὐτῆς κατάθεσις οὐκ ἐναντιοῦται [37].

38. Ἐὰν ζητεῖται παρὰ τίνι ὀφείλει ἡ διαθήκη παρατεθῆναι, ὁ γέρων τοῦ νεωτέρου προκρίνεται καὶ ὁ μείζονος τιμῆς τοῦ ἥττονος καὶ ὁ ἀνὴρ τῆς γυναικὸς καὶ ὁ εὐγενὴς τοῦ ἀπελευθέρου [38].

39. Οἱ λόγοι τοῦ τελευτήσαντος, ἐν οἷς κατέγραψεν ἑαυτὸν χρεωστεῖσθαι, πρὸς ἀπόδειξιν οὐκ ἀρκοῦσιν, ἀλλ᾽ οὐδὲ τὸ ἐν διαθήκῃ εἰπεῖν αὐτόν τινα περὶ χρεῶν ἰδίων ἱκανόν ἐστι πρὸς ἀπόδειξιν ἀληθείας [39].

40. Ὁ τῶν γαμικῶν συμφώνων δεσμὸς ἰσχυρότερός ἐστι τῆς μετὰ ταῦτα τυχὸν ἐκ μεταμέλου ἐπιγινομένης διαθήκης διὰ τὸ σύμφωνον [40].

41. Αἱ ἔγγραφοι διατυπώσεις αἱ μὴ τελειωθεῖσαι ἀλλὰ τυπωθεῖσαι μόνον, βέβαιαι εἰσὶν ἀγράφως βεβαιούμεναι διὰ τῶν ἀποστοματιζόντων αὐτὰς μαρτύρων, τὸν ἀριθμὸν ζ̄ ἢ ε̄ ὄντων, κἂν ἄρα μήτε ὑπεγράφησαν ἢ ἐσφραγίσθησαν διὰ τὸ ἀπαραίτητον τῆς ἐξόδου [41].

42. Ἡ τοῦ τυφλοῦ διατύπωσις ἐπὶ μαρτύρων φανερῶς γινομένη, κἂν ἄγραφός ἐστι, τῶν μαρτύρων ὀμνυόντων ὅτι ἐκεῖνα αὐτὰ τὰ διατεταγμένα ἀπὸ τῆς γλώττης ἀκηκόασι τοῦ τυφλοῦ, πιστή ἐστιν, ζ̄ ἢ ε̄ μαρτύρων ὄντων [42].

43. Αἱ διαθῆκαι ἐὰν μετὰ τὴν ἄνοιξιν ἀσφράγιστοι καὶ ἀσήμαντοι παρὰ τοῦ κριτοῦ καταλειφθῶσιν, οὐδὲν ἧττον πι-

---

[35] Bas. eod. 33. [36] Bas. III, 1, 35 (Nov. 123 c. 19). [37] Bas. XXII, 1, 29. [38] Bas. eod. 34. [39] Bas. eod. 40. [40] Nov. Leonis 19. [41] Nov. Leonis 42. [42] Nov. Leonis 69.

σταί εἰσι καὶ ἀποδεκταὶ ἀπὸ μόνης τῆς τῶν ὑπογραφῶν βεβαιούμεναι πίστεως [43].

44. Τὰ ἐν διαθήκῃ μὴ νοούμενα ἀντὶ μηδὲ γεγραμμένων εἰσίν [44].

45. Οἱ κεφαλικῶς καταδικασθέντες μετὰ τὴν ἔγκλητον διατίθεσθαι δύνανται [45].

ΤΙΤΛΟΣ κη'.

Περὶ διαθήκης ὑπεξουσίου.

1. Τὸ πεκούλιον ἐν τοῖς ὑπεξουσίοις ὁρᾶται. ὅθεν τῶν πεκουλίων τὰ μέν εἰσιν ἰδιόκτητα, τὰ δὲ παγανικά. καὶ ἰδιόκτητα μέν εἰσιν, ὅσα ἰδικῶς τις ἐξ ἰδίου ἐπιτηδεύματος ἢ στρατείας ἢ βαθμοῦ οἱουδήποτε ἢ κλήρου κέκτηται. παγανικὰ δὲ, ἅπερ παρὰ τῶν γονέων αὐτῶν ὑπηρεσίας λόγῳ καὶ χρείας ἐδόθησαν ἢ καὶ ἐκ τῶν δοθέντων ἐπεκτήθησαν [1].

2. Πολλαὶ δὲ διαφοραὶ παγανικοῦ καὶ ἰδιοκτήτου πεκουλίου. καὶ πρώτη μὲν αὕτη, ὅτι εἰς μὲν τὸ ἰδιόκτητον πεκούλιον ὁ ὑπεξούσιος υἱὸς διατίθεται, εἰς δὲ τὸ παγανικὸν οὐ δύναται [2].

3. Δευτέρα διαφορά· ἀγανακτήσας ὁ πατὴρ κατὰ τοῦ ὑπεξουσίου τὸ μὲν παγανικὸν ἀφαιρεῖσθαι δύναται πεκούλιον, τὸ δὲ ἰδιόκτητον οὐδαμῶς [3].

4. Τρίτη διαφορά· ἐὰν πολλοῖς ἐποφείλων τὶς ὑποστῇ διάπρασιν ὑπὸ τῶν ἑαυτοῦ δανειστῶν, τὸ μὲν παγανικὸν τοῦ παιδὸς συνδιαπιπράσκεται πεκούλιον, τὸ δὲ ἰδιόκτητον οὐκ ἔτι [4].

5. Τετάρτη διαφορά· ἐὰν πολλῶν ὄντων παίδων πατὴρ τελευτήσῃ, συμβῇ δὲ ἕνα ἐξ αὐτῶν παγανικὸν ἔχειν πεκούλιον, τὸ μὲν παγανικὸν κοινὸν ἔσται πάντων τῶν ποτε παίδων τῶν ὑπεξουσίων, τὸ δὲ ἰδιόκτητον μόνου τοῦ κτησαμένου [5].

6. Τὰ ἀπὸ μακρᾶς ἀποδημίας καὶ χειμερινῆς καὶ καυσώδους ὁδοιπορίας τουτέστι ἀπὸ ταξειδίων ἐπιγινόμενα πεκούλια τοῖς ὑπεξουσίοις, ἰδιόκτητά εἰσι, καὶ δύνανται ἐν τούτοις διατίθεσθαι. εἰ γὰρ κατέβαλον ὑπὲρ αὐτῶν οἱ γονεῖς αὐτῶν τι,

---

[43] Nov. Leonis 82. [44] Bas. II, 3, 73 th. 4. [45] Cf. Bas. XXXV, 1, 14.
[1] Theoph. II, 12 ex Proch. XXII, 1. [2] Theoph. cit. ex Proch. h. t. 2.
[3] Theoph. cit. ex Proch. h. t. 3. [4] Theoph. cit. ex Proch. h. t. 4.
[5] Theoph. cit. ex Proch. h. t. 5.

τότε ὀφειλέται εἰσὶν οἱ ὑπεξούσιοι τὸ ἱκανὸν ἀντιδιδόναι αὐτοῖς, καὶ τὸ λοιπὸν διατίθεσθαι. ὁμοίως δὲ καὶ τὰ ἀπὸ συνεδρίας καὶ συνηγορίας καὶ πάσης ἀξίας καὶ παντὸς ἐπιτηδεύματος αὐτοῖς ἐπικτηθέντα ἰδιόκτητά εἰσιν [6].

ΤΙΤΛΟΣ κθ'.

Περὶ διαθήκης ἀπελευθέρων.

1. Ἡ συγγένεια ὄνομά ἐστι γενικόν. διαιρεῖται δὲ εἰς τρία, εἰς ἀνιόντας, εἰς κατιόντας καὶ εἰς τοὺς ἐκ πλαγίου. ἀλλὰ αὗται ἐπὶ εὐγενῶν σκοποῦνται. ἐπὶ δὲ τῶν ἀπελευθέρων ἀνιόντας οὐκ ἴσασιν οἱ ἀρχαῖοι. πῶς γὰρ, ὁπότε ἐν δουλείᾳ ἐτέχθησαν; οὔτε τοὺς ἐκ πλαγίου· ὁ γὰρ μὴ ἔχων ἀνιόντας οὔτε τοὺς ἐκ πλαγίου κέκτηται, ἐξ ἐκείνων γὰρ αὐτοὶ καταλαμβάνονται. καὶ μόνην ἔχουσι τὴν τῶν κατιόντων συγγένειαν, τουτέστι τῶν συλληφθέντων καὶ τεχθέντων αὐτοῖς παίδων καὶ ἐφεξῆς [1].

2. Ὅθεν ἐὰν ἀπελεύθερος τελευτήσῃ, εἰ μὲν ὕπεστιν αὐτῷ παῖς συλληφθεὶς ἢ μετὰ τὴν ἐλευθερίαν ἢ πρὸ τῆς ἐλευθερίας ἢ καὶ συνελευθερωθείς, οὗτος κληθήσεται ἐπὶ τὸν κλῆρον ἀδιαθέτου πατρὸς τελευτῶντος· τοῦ δὲ μὴ ὑπόντος, τὸν πάτρωνα ὁ νόμος ἐπενόησεν. εἰ δὲ διαθέμενος μηδὲν καταλίπῃ τῷ πάτρωνι ἄπαις ὢν, ἢ σχὼν παῖδας ἢ καὶ ἐκγόνους, ἀποκλήρους δὲ αὐτοὺς ποιήσας, ἐτελεύτησε, καὶ μὴ δυνηθῶσιν οἱ παῖδες ἀνατρέψαι τὴν διαθήκην, τότε ὁ πάτρων τὸ τρίτον μέρος λήψεται, ὥστε λεγάτον ἐκ τούτου μὴ ἀναγκάζεσθαι καταβαλεῖν [2].

3. Ἐὰν ἄπαις καὶ ἀδιάθετος ὁ ἀπελεύθερος ἀποθάνῃ, εἰς τὸ πᾶν αὐτοῦ κληρονομεῖ ὁ πάτρων· εἰ δὲ διάθηται ὑπὲρ τὰ ϱ̅ νομίσματα ἔχων οὐσίαν, εἰ μὲν ἔχει παῖδας ὁσουσδήποτε καὶ οἱουδήποτε βαθμοῦ, ἀποκλείεται ὁ πάτρων· εἰ δὲ μὴ ἔχοι παῖδας, ἴσθι ὡς εὐλόγως ἤδη ἀναγκάζεται τὸ τρίτον τούτων ἀβαρὲς πρὸς αὐτὸν ἐάσαι, τοῦ βάρους τοῖς λοιποῖς κληρονόμοις ἐγκειμένου. εἰ δὲ ἧττον ἂν τῶν ϱ̅ νομισμάτων ἔχει οὐσίαν, οὐδὲν ἀναγκάζεται αὐτῷ καταλιπεῖν. κληρονομοῦσι δὲ οἱ πάτρωνες πρὸς τοὺς βαθμούς [3].

---

[6] Proch. h. t. c. 6.

[1] Theoph. Inst. III, 7 ex Proch. XXIII, 1. [2] Theoph. ib. ex Proch. h. t. c. 2. [3] Cod. VI, 4, 4. Cf. Epan. XXXVII schol. d.

4. *Οὐ μόνον δὲ ὁ πάτρων καὶ ἡ πατρώνισσα καὶ οἱ τούτων κατιόντες κατὰ νόμους καλοῦνται ἐπὶ τὴν τοῦ ἀπελευθέρου κατὰ τὰ εἰρημένα κληρονομίαν, ἀλλὰ καὶ οἱ ἐκ πλαγίου αὐτῶν μέχρι ε̄ βαθμοῦ* [4].

5. *Εἰ δὲ τοῦ αὐτοῦ πάτρωνος ἢ τῆς πατρωνίσσης ἢ δύο πατρώνων ἢ πατρωνισσῶν ἢ καὶ πλειόνων ὕπεισι παῖδες, ὁ ἐγγύτερος τῷ βαθμῷ εἰς τὰ τοῦ ἀπελευθέρου κληθήσεται πράγματα. εἰ δὲ ἑνὸς πάτρωνός εἰσι δύο παῖδες, ἄλλου δὲ τρεῖς, εἰς πέντε μερισθήσεται ἡ κληρονομία. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἐκ πλαγίου* [5].

ΤΙΤΛΟΣ λ΄.

Περὶ διαθήκης ἐπισκόπων καὶ μοναχῶν.

1. *Ὅσα ἔσχεν ὁ ἐπίσκοπος πρὸ τῆς ἐπισκοπῆς, δωρεῖται καὶ ἐκποιεῖται ὡς θέλει, οὐ μὴν ἀλλὰ καὶ διατίθεται εἰς αὐτά. ὅσα δὲ μετὰ τὴν ἐπισκοπὴν, τῇ ἐκκλησίᾳ αὐτοῦ διαφέρει καὶ οὐ διατίθεται εἰς αὐτὰ, εἰ μὴ ἄρα ἀπὸ γονέων ἢ θείων ἢ ἀδελφῶν αὐτοῦ εἰς αὐτὸν περιῆλθον* [1].

2. *Πλὴν καὶ ταῦτά, φησιν ἡ ρλα΄ νεαρὰ, ἧς ἐστι καὶ τὸ κεφάλαιον, εἰς αἰχμαλώτων ἀνάῤῥυσιν καὶ πτωχῶν ἀποτροφὴν καὶ εἰς ἄλλας εὐσεβεῖς αἰτίας καὶ ὑπὲρ τοῦ συμφέροντος τῆς ἰδίας ἐκκλησίας δύναται ἀναλίσκειν· κρατεῖν δὲ ὁμοίως τὸν τοιοῦτον νόμον καὶ ἐπὶ ὀρφανοτρόφων καὶ πτωχοτρόφων καὶ νοσοκόμων καὶ γεροντοκόμων καὶ ξενοδόχων καὶ πάντων τῶν ἄλλων διοικητῶν τῶν σεβασμίων οἴκων, καθὼς ἡ αὐτὴ νεαρὰ παρακελεύεται* [2].

3. *Ὁ μέλλων εἰσιέναι ἐν μοναστηρίῳ διατιθέσθω τὰ καθ' ἑαυτὸν πρὸ τῆς εἰσόδου αὐτοῦ, ἐπεὶ προσκυροῦται τῷ μοναστηρίῳ πάντα τὰ αὐτοῦ, κἂν μὴ ῥητῶς φήσῃ εἰσάγειν αὐτὰ, καὶ οὐκέτι ἔσται κατ' οὐδένα τρόπον κύριος αὐτῶν* [3].

4. *Δεῖ τὸν μετὰ τὸ μονάσαι εὐπορήσαντα πράγματα, εἰ μὲν κατὰ τὸν καιρὸν τῆς κουρᾶς ἀφιέρωσεν, ἔχειν ὑπεξουσίως τὰ μετέπειτα αὐτῷ προσγεγονότα· εἰ δὲ οὐ προσεκύρωσέ τι,*

---

[4] Theoph. cit. ex Proch. h. t. c. 3. [5] Theoph. cit. ex Proch. h. t. c. 4.

[1] Cod. I, 3, 41 ex Proch. XXIV, 1. [2] Epan. IX schol. b. [3] Nov. 5 c. 5 ex Proch. h. t. c. 2.

περὶ τοῦ διμοίρου τῶν οἰκείων πραγμάτων ἔχειν ἄδειαν αὐτὸν διατίθεσθαι, τὸ δὲ τρίτον ἐκδικεῖ τὸ μοναστήριον [4].

5. *Δεῖ τοὺς τὴν μοναχικὴν κατάστασιν μεταποιουμένους ῑ ἢ καὶ ῑϛ̄ χρόνου ὄντας ἀποτίθεσθαι τὴν τρίχα κατὰ τὸν μέγαν βασίλειον καὶ τὴν τῶν ἱερῶν κανόνων τῆς ϛ̄ συνόδου [ἐντολήν]. ἀλλὰ τοὺς ῑϛ̄ ὄντας χρόνου ὡς βούλονται διατίθεσθαι περὶ τῶν οἰκείων πραγμάτων· τοὺς δὲ ῑ χρόνων μαρτυρουμένους ἐπέχεσθαι τῆς διοικήσεως τῶν ὑπαρχόντων αὐτῶν, καὶ ἀναμένειν τὸν καιρὸν ἐκεῖνον, καθ᾽ ὃν ἡ νομικὴ ἀκρίβεια ὥρισεν τὴν συμπλήρωσιν τῆς ἡλικίας λαμβάνειν, καὶ διατίθεσθαι. εἰ δὲ προαπέλθωσιν, οἱ οἰκέται μὲν αὐτῶν ἐλευθεροῦνται ἀφιέμενοι τοῦ ζυγοῦ, καὶ τὸ μὲν δίμοιρον τῆς ὑποστάσεως αὐτῶν ἡ μονὴ κερδαινέτω, τὸ τρίτον οἱ συγγενεῖς· εἰ δὲ ἄπεισι, καὶ τοῦτο ἡ μονὴ λαμβανέτω* [5].

6. *Ὁ ἐπὶ παισὶ μονάσας δύναται καὶ μετὰ τὸ μονάσαι διελεῖν τὴν οὐσίαν αὐτοῦ τοῖς ἰδίοις παισὶ, φυλάττων ἑαυτῷ ἓν μέρος, ὃ καὶ τῷ μοναστηρίῳ ἁρμόζει. ἐὰν δὲ ἀδιάθετος τελευτήσῃ, τότε οἱ παῖδες αὐτοῦ λήψονται τὸ ἐξ ἀδιαθέτου, τουτέστι τὸν φαλκίδιον, τοῦ λοιποῦ τῷ μοναστηρίῳ διδομένου* [6].

7. *Ὁ ἀπὸ τοῦ μοναστηρίου εἰς ἄλλο μοναστήριον μετιὼν ἐκπίπτει τῶν ἰδίων πραγμάτων μηδὲ προσδεχθείς* [7], *[εἰ μὴ] τὸ πρότερον παρασκευάζει λαβεῖν, ἃ ἦν ὑποσχόμενος· εἰ δ᾽ οὐχ ὑπέσχετο, γίνεσθαι κατὰ τὴν εἰρημένην διάταξιν ἐν τῷ ζ̄ τί. ῑϛ̄ κεφ.* [8].

8. *Ὁ ἀπὸ μοναχῶν γενόμενος λαϊκὸς μεθ᾽ ὧν ἐπεκτήσατο εἰς ἕτερον ἐμβαλλέσθω μοναστήριον. εἰ δὲ καὶ πάλιν γένηται κοσμικὸς, τῇ τάξει παραδιδόσθω* [9].

ΤΙΤΛΟΣ λα′ [1].

Περὶ ἀνατροπῆς διαθήκης.

1. *Ταῖς διαθήκαις τρία πάθη παρενοχλεῖ, οἷον ῥῆξις, ἀκυρωσία καὶ ἀτέλεια.*

---

[4] Nov. Leonis 5. [5] Nov. Leonis 6. [6] Theod. Nov. 123 §. 76 ex Proch. h. t. c. 3. [7] Theod. Nov. 5 §. 8 ex Proch. h. t. c. 4. [8] Codices: *ἐκ τοῦ ζ′ τί. τοῦ γ′ κεφ.* Sed cf. supra tit. VII c. 16. [9] Athan. I, 2.

[1] Est Prochiri tit. XXV integer.

2. Ἀλλ' αἱ μὲν ῥηγνύμεναι ἢ καθόλου ῥήγνυνται ἢ ἐκ μέρους. καὶ καθόλου μὲν κατὰ ἓξ τρόπους.

Πρῶτος τρόπος ἐστὶν, ὅταν μετὰ τὴν ποίησιν τῆς διαθήκης εἰς υἱοθεσίαν τινὰ λάβοι καθ' οἱονδήτινα τρόπον τῆς υἱοθεσίας.

Δεύτερος τρόπος ἐστὶν, ὅταν μετὰ τὴν ποίησιν τῆς διαθήκης ἢ τὸν θάνατον τοῦ διαθεμένου υἱὸς τεχθῇ, ἢ ἐξ ὑπεξουσίου υἱοῦ θανόντος ἔγγονος, κἂν μετὰ τοὺς ὁρισθέντας κληρονόμους πρόσκειται ἐν τῇ διαθήκῃ οὕτως· ἔστωσαν ἀπόκληροι, εἰ μὴ ἄρα λεγατευθείη, ἢ ἐκτρώσει ἡ τίκτουσα.

Τρίτος, ὅταν θετὸς υἱὸς ὑπεξούσιος ὢν οὐ μνημονευθῇ ἐν τῇ διαθήκῃ.

Τέταρτος, ὅταν δευτέρα γένηται διαθήκη κατὰ νόμον, εἴτε γέγονέ τις ἐν αὐτῇ κληρονόμος εἴτε μὴ γέγονε τῶν πεφυκότων κληρονομεῖν.

Πέμπτος, ὅταν δευτέρα διαθήκη κατὰ νόμον γενομένη κληρονόμον ἕτερον εἰς ὡρισμένα πράγματα καταστήσει, μὴ βεβαιοῦσα τὰ τῆς πρώτης διαθήκης.

Ἕκτος, ὅταν στρατιώτου υἱὸς ἐγκυμονούμενος παρ' αὐτοῦ ἐν τῇ ποιήσει τῆς διαθήκης ἠγνοήθη. εἰ γὰρ γνοὺς αὐτὸν ἐσιώπησεν, οὐ ῥήγνυται ἡ διαθήκη.

3. Ἐκ μέρους δὲ κατὰ τρόπους δύο. καὶ πρῶτος μὲν τρόπος ἐστὶν, ὅταν ἡ δευτέρα διαθήκη τὰ μὲν ἐν τῇ πρώτῃ βέβαια μένειν διαγορεύῃ, ἕτερον δὲ κληρονόμον εἰς ὡρισμένα πράγματα κατέστησεν. ἀρκεῖ γὰρ αὐτῷ τὰ ἐαθέντα, εἰ καὶ μὴ ποιῇ τὸν φαλκίδιον.

Δεύτερος, ὅταν τὶς θυγατέρα ὑπεξουσίαν ἔχει ἢ ἔκγονον ἢ ἐκγόνην, οὐκ ἔγραψε δὲ αὐτοὺς κληρονόμους. τότε μὲν διαθήκη οὐ ῥήγνυται τέλεον, αὐτοὶ δὲ τῇ κληρονομίᾳ ὑπεισέρχονται. καὶ εἰ μὲν ἐστὶ γραφεῖσα ἡ κληρονομία εἰς ἐξωτικοὺς, τουτέστι τοὺς μὴ ὄντας συγγενεῖς, τὸ ἥμισυ οἱ οἰκεῖοι λαμβάνουσι· εἰ δὲ εἰς οἰκείους, ἐπ' ἴσης πάντες.

4. Αἱ δὲ ἀκυρούμεναι κατὰ τέσσαρας τρόπους γίνονται. καὶ πρῶτος τρόπος, ὅταν ὁ διαθέμενος θανάτῳ καταδικασθῇ, ἢ αὐτεξούσιος ὢν εἰς υἱοθεσίαν ἑτέρου ἑαυτὸν παράσχῃ, ἢ ὑπεξούσιος ὢν αὐτεξούσιος γένηται.

Δεύτερος, ὅταν δευτέρας ἐννόμως γραφείσης διαθήκης τότε ἡ μὲν πρώτη ῥήγνυται, ἡ δὲ δευτέρα ἀκυροῦται δι' αἰτίαν τῶν πεφυκότων κληρονομεῖν, τουτέστιν ὅταν ἀποτάξωνται τὴν κληρονομίαν, ἢ ὅταν προτελευτήσωσι τοῦ διαθεμένου πρὸ τοῦ πα-

ϱαλαβεῖν τὴν κληϱονομίαν, ἢ ὅταν ὑπὸ αἵϱεσιν ἐγϱάφησαν καὶ ἡ αἵϱεσις ἠτόνησεν.

Τϱίτος, ὅταν τὶς δίκην ἔχων πϱός τινα τὸν βασιλέα ποιήσῃ κληϱονόμον ἐγγϱάφως ἢ ἀγϱάφως, εἰ μὴ ἄλλως πως κατὰ νόμους ὁ βασιλεὺς αὐτὸν κληϱονομεῖ. εἰ γὰϱ καὶ νόμοις ὁ βασιλεὺς οὐχ ὑπόκειται, ἀλλ' οὖν κατὰ νόμους πολιτεύεται.

Τέταϱτος, ὅταν ἀποσφϱαγίσας εἴασεν αὐτὴν οὕτως ἢ εἶπεν οὐκ ἰσχύειν αὐτὴν βούλομαι. τὰ γὰϱ κατὰ νόμους γινόμενα ἐννόμως ἀνατϱέπεσθαι δεῖ.

5. *Αἱ δὲ ἀτελεῖς κατὰ ε̄ τϱόπους νοοῦνται.* καὶ πϱῶτος, ὅταν μὴ παϱόντων ζ̄ ἢ ε̄ μαϱτύϱων κατὰ τὰ παϱ' ἡμῶν νομοθετηθέντα γένηται ἡ διαθήκη.

Δεύτεϱος, ὅταν παϱόντων μαϱτύϱων οὐ πάντες ὑπέγϱαψαν.

Τϱίτος, ὅταν πάντες ὑπέγϱαψαν, οὐκ ἐσφϱάγισαν δέ.

Τέταϱτος, ὅταν ὁ διαθέμενος οἰκείᾳ χειϱὶ τὸ τοῦ κληϱονόμου ὄνομα μὴ γϱάψας οὐδὲ ἐπὶ τῶν μαϱτύϱων ἐμνημόνευσεν.

Πέμπτος δὲ, ὅταν αὐτεξουσίους ἢ ὑπεξουσίους ἐκγόνους ἐξ ὑπεξουσίων παίδων τελευτησάντων ἔχων τὶς, τούτους οὔτε κληϱονόμους οὔτε ἀποκληϱονόμους ἔγϱαψε, κἂν τύχῃ αὐτοὺς πϱοτελευτῆσαι, διὰ τὸν κανόνα τὸν λέγοντα· τὰ ἐξ ἀϱχῆς ἀνυπόστατα οὐδὲ ἐκ τῶν μετὰ ταῦτα ἐπιγενομένων τὴν ἰσχὺν λαμβάνειν δύνανται.

ΤΙΤΛΟΣ λβ'.

Πεϱὶ κωδικέλλων.

1. *Κωδίκελλός ἐστιν ἐλλιποῦς ἐν διαθήκῃ γνώμης τοῦ διαθεμένου ἀναπλήϱωσις* [1].

2. *Διαφοϱὰ δὲ διαθήκης καὶ κωδικέλλου*, ὅτι ἐν μὲν τῇ διαθήκῃ καὶ κληϱονόμον καὶ ἀποκληϱονόμον ἔξεστι γϱάφειν, καὶ λεγάτα καὶ ἐλευθεϱίας καὶ ἔνστατον καὶ ὑποκατάστατον, ἐν δὲ τῷ κωδικέλλῳ οὔτε ἀποκληϱονόμον οὔτε ἔνστατον οὔτε ὑποκατάστατον [2].

3. *Ἔνστασίς ἐστιν ἡ πϱώτη θέσις τῆς κληϱονομίας*, τουτέστιν ὁ φύσει βαθμὸς πϱῶτος τῶν κληϱονόμων [3].

---

[1] Theoph. Inst. II, 25 pr. ex Proch. XXIX, 1. [2] Theoph. II, 25 §. 2 ex Proch. h. t. c. 2. [3] Theoph. cit. ex Proch. h. t. c. 3.

4. Ὑποκατάστασίς ἐστιν ἡ ἐξ ἀποτυχίας τοῦ πρώτου κληρονόμου ἐπὶ ἕτερον κληρονόμον μετάθεσις ἐκ διορισμοῦ τοῦ κληροδοτοῦντος. οἷον ὡς εἴ τις εἴπῃ· ἔστω μοι ὁ δεῖνα κληρονόμος, εἰ δὲ μή, ἔστω ὁ δεῖνα [4].

ΤΙΤΛΟΣ λγ'.

Περὶ φαλκιδίου.

1. Φαλκίδιός ἐστιν ἄχρι μὲν $\overline{γ}$ ἢ $\overline{δ}$ παίδων τὸ τρίμερον μέρος τῆς καθαρᾶς ὑποστάσεως, πλειόνων δὲ ὄντων παίδων τὸ ἥμισυ. ἐν τούτῳ οὖν τῷ εἰρημένῳ τρίτῳ ἢ ἡμίσει μέρει ὑπεισέρχονται ὅσοι ἂν εὑρεθῶσι πρὸς φαλκίδιον μετὰ τῶν τὴν λοιπὴν ὑπόστασιν κατὰ τελευταίαν διάταξιν κληρονομούντων [1].

2. Ἔξεστι λεγατεύειν μέχρι τοῦ ὀκταουγγίου. τὸ γὰρ τετραούγγιον τουτέστι τὸ τρίτον μέρος τῆς περιουσίας τῷ κληρονόμῳ φυλάττεται [2].

3. Ἐπὶ τοῦ φαλκιδίου δεῖ ἐξαιρεθῆναι τὰ ἐποφληθέντα ὑπὸ τοῦ τελευτήσαντος καὶ τὴν περὶ τὴν κηδείαν δαπάνην καὶ τὰ τιμήματα τῶν ἐλευθερωθέντων οἰκετῶν, καὶ τὸ ὑπόλοιπον σκοπεῖν πόσον ἐστὶ, καὶ τοῦτο νομίζεται καθαρὰ οὐσία καὶ ἐκ ταύτης τὸ τρίτον παρακατέχεται [3].

4. Ὁ κληρονόμος δεικνύει χώραν ἔχειν τὸν φαλκίδιον [4].

5. Ὁ αὐτεξούσιος ἄτεκνος τελευτῶν ὀφείλει τὸ νόμιμον ποστημόριον τοῖς γονεῦσιν ἐᾶν, ἐὰν μὴ σύμφωνον παρακολουθήσῃ. οἱ δὲ λοιποὶ συγγενεῖς οὐδὲν παντελῶς λήψονται [5].

6. Εἴ τις δωρεὰν ἄμετρον εἴς τινα ἤ τινας τῶν παίδων ποιήσαιτο, ἀνάγκην ἔχει ἐν τῇ διανομῇ τοῦ κλήρου τοσοῦτον ἑκάστῳ τῶν παίδων φυλάττειν τὸ ἐκ τοῦ νόμου μέρος, ὅσον ἦν πρὶν τὴν δωρεὰν ὁ πατὴρ εἰς τοὺς παῖδας τοὺς ταύτῃ τετιμημένους ποιήσαιτο. οὕτως γὰρ γεγονὸς, οὐδὲν ἔτι ταῖς δωρεαῖς ἐγκαλέσουσιν, ἔχοντες μὲν ἐπὶ πάσῃ τῇ οὐσίᾳ τοῦ πατρὸς τὸ ἀπὸ τῶν νόμων, κατὰ τοσοῦτον δὲ αὐξομένου τοῦ μέτρου τούτου, καθόσον καὶ τὰ πράγματα εἶχον τοῦ πατρὸς πρὶν ταῖς

---

[4] Theoph. cit. ex Proch. h. t. c. 4.

[1] Nov. 18 c. 1 ex Proch. XXXII, 1. [2] Proch. h. t. c. 2. [3] Theoph. II, 22, 3 ex Proch. h. t. c. 3. [4] Basil. XXII, 1, 17. [5] Haec unde sumta sint nescio. Interim cf. Dig. XXXVII, 12, 1. Cod. VI, 4, 4 in fine. Harm. V, 9, 14. Forte legendum κἂν μὴ σύμφ.

δωρεαῖς ἐξαντληθείη. οὐ δυναμένων τῶν ἐπὶ ταῖς δωρεαῖς τετιμημένων παίδων φάσκειν, ἀρκεῖσθαι μὲν ταῖς ἀμέτροις ταύταις δωρεαῖς, δοκεῖν δὲ ἀφίστασθαι τοῦ πατρῴου κλήρου· ἀλλ' οὐκ ἀναγκαζομένων μὲν, εἰ ἀρκοῦνται ταῖς δωρεαῖς, καταδέχεσθαι τὸν κλῆρον, ἀνάγκην δὲ ἐχόντων πᾶσι τρόποις ἐπανισοῦν τοῖς ἀδελφοῖς τὸ ἐντεῦθεν διαφέρον καθόσον εἰρήκαμεν μέτρον, ὥστε μὴ ἔλαττον αὐτοὺς ἔχειν τὸ ἐκ νόμων αὐτοῖς ὀφειλόμενον διὰ τὴν γενομένην ἐπὶ ταῖς δωρεαῖς ἀμετρίαν· ὅπου γε ἔξεστι τῷ πατρὶ, μέτρια φρονήσαντι περὶ τὴν πᾶσαν γονὴν, καὶ τοῖς παρ' αὐτοῦ μᾶλλον ἀγαπωμένοις χαρίσασθαί τι πλέον καὶ μὴ τοὺς λοιποὺς παῖδας διὰ τῆς εἰς ἐκείνους γενομένης ἀμετρίας βλάψαι καὶ τὸν ἡμέτερον παραβῆναι σκοπόν. ταῦτα μέντοι φαμὲν περὶ παίδων κεχαρισμένων ὄντων αὐτοῖς, οὐ μὴν περὶ τῶν ἀγνωμόνων καὶ οἷς ὁ πατὴρ δικαίαν τε καὶ νόμιμον ἀχαριστίαν ἐπάγει. εἰ γὰρ τοῦτο οὕτως φανῇ καὶ ἀποδειχθείησαν αἱ τῆς ἀχαριστίας αἰτίαι, ἔστω τὰ τῶν νόμων τῶν ἐπὶ τοῖς ἀχαρίστοις κειμένων κύρια, οὐδὲν τῇσδε ἡμῶν τῆς νομοθεσίας ἐλαττούμενα [6].

ΤΙΤΛΟΣ λδ'.

Περὶ λύσεως ὑπεξουσιότητος.

1. Ἔγνωμεν ὅτι τὴν ἐξουσίαν ἔχομεν καὶ κατὰ τῶν ἡμετέρων οἰκετῶν καὶ κατὰ τῶν ἡμετέρων παίδων, τοῦτο μὲν φυσικῶν τοῦτο δὲ καὶ θετῶν. ἀλλὰ [περὶ μὲν τῶν οἰκετῶν μαθησόμεθα ἐν τῷ περὶ ἐλευθερίας τίτλῳ,] περὶ δὲ τῶν παίδων ἐντεῦθεν. λύεται τῆς ὑπεξουσιότητος παῖς θανάτῳ τοῦ πατρὸς, οὐκ ἀεὶ δέ. εἰ μὲν γὰρ πατήρ ἐστιν ὁ τελευτήσας, ἀμάχως οἱ παῖδες αὐτεξούσιοι γίνονται, τελευτήσαντος δὲ πάππου, οὐ πάντως οἱ ἔκγονοι αὐτεξούσιοι γίνονται. δεῖ γὰρ σκοπεῖν τὸν καιρὸν τῆς τοῦ πάππου τελευτῆς, καὶ εἰ μὲν εὑρεθῇ τὸ μέσον πρόσωπον, τουτέστιν ὁ υἱὸς, ὑπεξούσιος, οἱ δὲ ἔκγονοι κατ' ἐκεῖνον τὸν χρόνον ὑπεξούσιοι τῷ πάππῳ καθ' ὃν τελευτᾷ, ἔσονται ὑπεξούσιοι τῷ πατρὶ καὶ τελευτήσαντος τοῦ πάππου οἱ ἔκγονοι μεταπεσοῦνται εἰς τὴν τοῦ οἰκείου πατρὸς ὑπεξουσιότητα. εἰ δὲ ὁ μέσος προετελεύτησε τοῦ πάππου ἢ τῆς ὑπεξουσιότητος αὐτοῦ ἠλευθερώθη, τότε οἱ ἔκγονοι, ἐπειδὴ οὐ με-

---

[6] Nov. 92 c. 1 ex Proch. h. t. c. 4.

ταπίπτουσιν εἰς τὴν ἑτέρου ὑπεξουσιότητα, αὐτεξούσιοι γίνονται [1].

2. Ἐὰν καταδικασθῇ τις θανάτῳ, ἅμα τῇ ἀποφάσει γίνονται οἱ παῖδες αὐτεξούσιοι [2].

3. Ἐὰν γένηται ὑπεξούσιος πατρίκιος, ἅμα τοῦ δέξασθαι τοὺς κωδικέλλους τῆς πατρικιότητος τῆς τοῦ πατρὸς ὑπεξουσιότητος ἀπαλλάττεται [3].

4. Τὸν ἐμὸν πατέρα συνέβη γενέσθαι αἰχμάλωτον· ἐν τῷ μεταξὺ ἐπηρτημένα ἔσται τὰ τῆς ὑπεξουσιότητος. καὶ εἰ μὲν ὑποστρέψῃ ὁ πατὴρ, γενήσομαι ὑπεξούσιος, [εἰ δὲ ἐκεῖ τελευτήσει, γενήσομαι αὐτεξούσιος.] ζητοῦμεν δὲ ἐκ ποίου χρόνου δοκῶ τῆς ὑπεξουσιότητος ἀπαλλάττεσθαι, πότερον ἐξ οὗ ἐλήφθη ἢ ἐξ οὗ ἐτελεύτησε παρὰ τοῖς πολεμίοις. ἔστι γὰρ ὅλως διαφορὰ καὶ πάνυ. ὑπόθου γάρ τινα ἔχειν δύο παῖδας καὶ δισχιλίων νομισμάτων περιουσίαν, ληφθῆναί τε παρὰ τῶν πολεμίων· τούτων ὁ μὲν ἦν σπουδαῖος καὶ λαβὼν νομίσματα δύο ἐκ τῆς τοῦ πατρὸς περιουσίας ἐξ οἰκείων καμάτων ἠδυνήθη ͵α νομίσματα ἐμπορισάμενος κερδᾶναι, ὁ δὲ ἕτερος ῥᾴθυμος ὢν οὐδὲν προσεκτήσατο. μετὰ χρόνον τινὰ ἀπηγγέλθη, ὅτι παρὰ τοῖς πολεμίοις ἐτελεύτησεν ὁ πατὴρ αὐτῶν· ἠβούλοντο μερίσασθαι τὸν πατρῷον κλῆρον. καὶ ὁ μὲν ῥᾴθυμος ἔλεγε· νῦν ὅτε τῇ ἀληθείᾳ ὁ πατὴρ ἐτελεύτησε γεγόναμεν αὐτεξούσιοι, οὐκοῦν ὅσα ἐκτήσω σὺ ὁ σπουδαῖος τοῦ πατρός εἰσι, καὶ δεῖ ἡμᾶς τὰ τρισχίλια μερίσασθαι νομίσματα τουτέστι λαβεῖν ἀνὰ ͵αφʹ. ὁ δὲ σπουδαῖος ἔλεγεν· ἐξ ἐκείνου τοῦ χρόνου ἐξ οὗ συνέβη τὸν πατέρα ληφθῆναι γεγενῆσθαι ἡμᾶς αὐτεξουσίους· δοκεῖ γὰρ ὁ μὴ ὑποστρέψας κατ᾽ ἐκεῖνον τεθνᾶναι τὸν καιρόν· οὐκοῦν ὡς αὐτεξούσιος ὅσα ἐκτησάμην ἐμαυτῷ καὶ οὐχ ἑτέρῳ προσεποίησα. καὶ μᾶλλον ταύτῃ πειθόμεθα τῇ γνώμῃ [4].

5. Ὁ μέλλων αὐτεξούσιον τὸν παῖδα ποιῆσαι, προσιέτω τῷ ἁρμοδίῳ δικαστῇ καὶ λεγέτω αὐτῷ· τόνδε ποιῶ αὐτεξούσιον καὶ τῆς ἐμαυτοῦ ἀφίημι χειρός. ὥστε εἰ συμβῇ τὸν παῖδα ἄτεκνον ὄντα διαθέσθαι, ἐῤῥῶσθαι τὴν αὐτοῦ διαθήκην, φυλάττοντος δηλονότι τὴν νόμιμον τῷ πατρὶ μοῖραν [5].

6. Δύναταί τις τὸν μὲν υἱὸν ποιεῖν αὐτεξούσιον, τὸν δὲ ἔκγονον κρατεῖν ὑπεξούσιον, καὶ ἐκ τοῦ ἐναντίου τὸν ἔκγονον

[1] Theoph. Inst. I, 11 (12) pr. ex Proch. XXVI, 1. [2] Theoph. ib. §. 1 ex Proch. h. t. c. 2. [3] Theoph. ib. §. 4 ex Proch. h. t. c. 3. [4] Theoph. ib. §. 5 ex Proch. h. t. c. 4. [5] Theoph. ib. §. 6 ex Proch. h. t. c. 5.

ποιεῖν αὐτεξούσιον, κατέχειν δὲ τὸν υἱὸν ὑπεξούσιον. τὸ αὐτὸ καὶ ἐπὶ προεκγόνου [6].

7. *Εἶχέ τις υἱὸν ὑπεξούσιον, ὃς εἶχε γαμετὴν ἐγκύμονα. τὸν υἱὸν ἐποίησεν αὐτεξούσιον ἢ εἰς θέσιν αὐτὸν ἄλλῳ δέδωκεν. ἐτέχθη μετὰ ταῦτα ἔκγονος. λέγομεν ὑπεξούσιον αὐτὸν γενέσθαι τοῦ πάππου, ἐπειδὴ σκοποῦμεν ἐν τῷ ἐννόμῳ γάμῳ τὸν καιρὸν τῆς συλλήψεως, ὅτε δὲ ἡ σύλληψις ἐγένετο, ὑπεξούσιος ἦν ὁ κυοφορούμενος καὶ ὁ τοῦτον σπείρας* [7].

8. *Ἡ ἔμπρακτος ἐπαρχότης ἢ στρατηγία καὶ ἡ ἐπισκοπὴ λύει τὴν ὑπεξουσιότητα* [8].

ΤΙΤΛΟΣ λε'.

Περὶ κληρονόμων.

1. *Οἱ κληρονόμοι ἢ ἔνστατοι ἢ ὑποκατάστατοι λέγονται. ἡ δὲ ὑποκατάστασις ἢ ἁπλή ἐστιν, ὡς τὸ εἰπεῖν· ἐὰν μὴ κληρονομήσῃ ὁ δεῖνα, ἔστω ὁ δεῖνα κληρονόμος. ἢ διπλὴ, οἷον· εἴτε κληρονομήσας εἴτε μὴ κληρονομήσας ὁ δεῖνα ἄνηβος ἀποθάνῃ, ἔστω κληρονόμος ὁ δεῖνα* [1].

2. *Οἱ κατιόντες, κἂν ἄῤῥενες κἂν θήλειαι ὦσι, προτιμῶνται τῶν ἀνιόντων καὶ τῶν ἐκ πλαγίου* [2].

3. *Ἐὰν εἷς ἐκ τῶν παίδων κληρονομήσῃ τοῦ ἰδίου γονέως, προσπορίζει τῷ ἑαυτοῦ πάππῳ τὴν χρῆσιν τῶν προσπορισθέντων* [3].

4. *Ἐὰν πάππος τελευτήσῃ ἐπὶ υἱῷ καὶ ἐκγόνοις ἀπὸ ἄλλου παιδὸς, ὁ ἔκγονος ὑπεισέρχεται τὸ πρόσωπον τοῦ ἰδίου γονέως, καὶ ἅμα τῷ υἱῷ τουτέστι τῷ ἰδίῳ θείῳ κληρονομοῦσιν αὐτὸν, λαμβάνοντες εἴ τι ἔμελλεν λαβεῖν εἰ περιῆν ὁ πατὴρ αὐτῶν, κἂν ἄῤῥενες κἂν θήλειαι ὦσιν, εἴτε ὑπεξούσιοί εἰσιν εἴτε αὐτεξούσιοι* [4].

5. *Κατιόντων μὴ ὑπόντων [προκαλοῦνται οἱ ἀνιόντες τῶν ἐκ πλαγίου πάντων] χωρὶς τῶν ἐκ τῶν αὐτῶν γονέων φοιτώντων ἀδελφῶν. ἰστέον δὲ, ὅτι ἐπὶ τῶν ἀνιόντων προτιμᾶται ὁ*

---

[6] Theoph. ib. §. 7 ex Proch. h. t. c. 6. [7] Theoph. ib. §. 9 ex Proch. h. t. c. 7. [8] Nov. 81 ex Proch. h. t. c. 8.

[1] Dig. XXVIII, 6, 1 ex Proch. XXX, 1. [2] Nov. 118 c. 1 ex Proch. h. t. c. 2. [3] Nov. cit. ex Proch. h. t. c. 3. [4] Nov. cit. ex Proch. h. t. c. 4.

ἐγγύτερος τῷ βαθμῷ τοῦ μὴ πλησιάζοντος, κἂν θῆλυ πρόσωπον ᾖ. εἰ γάρ εἰσι πάντες τοῦ αὐτοῦ βαθμοῦ, ὁμοῦ καλοῦνται εἰς τὴν κληρονομίαν [5].

6. Οἱ ἀμφιθαλεῖς ἀδελφοὶ καὶ ἀδελφαὶ καὶ οἱ ἀνιόντες ὁμοῦ καλοῦνται ἐξ ἴσης. καὶ οὐδὲ προσπορίζουσι τοῖς γονεῦσιν αὐτῶν οἱ ἀδελφοὶ τὴν χρῆσιν τοῦ ἁρμόσαντος αὐτοῖς μέρους ἐκ τῆς κληρονομίας τοῦ ἰδίου ἀδελφοῦ, κἂν ὑπεξούσιος κἂν αὐτεξούσιός ἐστιν [6].

7. Ἀνιόντων ὑπόντων τῷ τελευτήσαντι καὶ ἀδελφῶν γνησίων καὶ παίδων ἀδελφοῦ ἀμφιθαλοῦς προτελευτήσαντος, πάντες καλοῦνται εἰς τὴν διαδοχὴν, κἂν θήλειαι κἂν ἄῤῥενες ὦσιν. οἱ γὰρ ἀδελφόπαιδες ὑπεισέρχονται τὸ τοῦ ἰδίου πατρὸς πρόσωπον, καὶ λαμβάνουσι εἴ τι ἔμελλε λαμβάνειν ὁ πατὴρ αὐτῶν [7].

8. Οἱ ἐκ τῶν αὐτῶν γονέων φύντες ἀδελφοὶ πρώτην ἔχουσι τάξιν εἰς τὸ κληρονομῆσαι τὸν ἴδιον ἀδελφὸν, ἄλλων ἀδελφῶν προκειμένων μὴ ὄντων ἀδελφῶν· ἀμφιθαλῶν. πλὴν εἰ ὕπεισι παῖδες ἑτέρου ἀδελφοῦ αὐτῶν ὁμομητρίου καὶ ὁμοπατρίου, κἀκεῖνοι ὁμοῦ καλοῦνται, τουτέστιν οἱ ἀδελφοὶ καὶ οἱ παῖδες τοῦ ἀμφιθαλοῦς ἀδελφοῦ, εἰς τὰ τοῦ τελευτήσαντος αὐτῶν μὲν ἀδελφοῦ, ἐκείνων δὲ θείου. εἰ δὲ μὴ ὕπεισιν ἀδελφοὶ ἢ παῖδες ἀδελφῶν τοιούτων, δηλονότι τότε οἱ ἐκ διαφόρων γονέων φύντες ἀδελφοὶ κληρονομοῦσι τὸν ἀποθανόντα ἀδελφόν [8].

9. Ἐάν τις τελευτήσῃ ἐπὶ ἀδελφῷ ἐκ διαφόρων γονέων ὑπάρχοντι καὶ ἐπὶ υἱοῖς ἀδελφοῦ ὁμοπατρίου καὶ ὁμομητρίου, οἱ τεκνάδελφοι προτιμῶνται τοῦ ἀδελφοῦ εἰς τὴν κληρονομίαν. καὶ γὰρ οἱ ἀπὸ τῶν αὐτῶν γονέων θεῖοι προτιμῶνται τῶν ἐκ διαφόρων ὄντων γονέων ἀδελφοπαίδων. ἰστέον δὲ, ὅτι ἀδελφῶν ἀμφιθαλῶν καὶ παίδων τοιούτων ἀδελφῶν μὴ ὑπόντων, τότε οἱ ἐκ διαφόρων γονέων ἀδελφοὶ κληρονομοῦσι τὸν ἐξ ἑνὸς γονέως ὄντα ἀδελφὸν αὐτῶν [9].

10. Ἀδελφοῦ μὴ ὑπόντος μηδὲ ἀδελφόπαιδος, οἱ λοιποὶ ἐκ πλαγίου συγγενεῖς καλοῦνται οἱ τῷ βαθμῷ μέντοι ὄντες ἐγγύτεροι, καὶ εἰ εὑρεθῶσι πολλοὶ τοῦ αὐτοῦ βαθμοῦ ὑπάρχοντες, ἐπίσης κληρονομοῦσι [10].

11. Εἰ πατὴρ προικίζων τὴν ἑαυτοῦ θυγατέρα συνεφώνη-

---

[5] Nov. cit. c. 2 ex Proch. h. t. c. 5. [6] Nov. cit. ex Proch. h. t. c. 6. [7] Nov. 127 c. 1 ex Proch. h. t. c. 7. [8] Nov. 118 c. 3 ex Proch. h. t. c. 8. [9] Nov. cit. ex Proch. h. t. c. 9. [10] Nov. cit. ex Proch. h. t. c. 10.

σεν ἀρκεῖσθαι αὐτὴν τῇ δοθείσῃ ὑπὲρ αὐτῆς προικὶ καὶ μὴ ἐπέχειν μέρος ἐκ τῆς αὐτοῦ περιουσίας, οὐκ ἔῤῥωται τοῦτο τὸ σύμφωνον, οὐδὲ κωλύεται αὐτοῦ ἀδιαθέτου τελευτῶντος ἡ θυγάτηρ τὴν προῖκα τοῖς λοιποῖς ἀδελφοῖς συνεισφέρειν εἰς τὸ κληρονομῆσαι [11].

12. *Τὴν προγάμου δωρεὰν ὥσπερ τὴν προῖκα δεῖ συνεισφέρεσθαι ἀδιαθέτου τελευτῶντος τοῦ ταύτην ἐπιδεδωκότος, εἴτε μήτηρ ἐστὶν εἴτε πατὴρ ἤ τις τῶν ἀνιόντων ἢ πρὸς πατρὸς ἢ πρὸς μητρός* [12].

13. *Καὶ ὁ κωφὸς καὶ ὁ ἄλαλος καλῶς ἐνίστανται κληρονόμοι* [13].

14. *Τὰ ἐν τῷ μέσῳ συμβαίνοντα τῷ κληρονόμῳ οὐ βλάπτει, οἷον ἐὰν περιορισθῇ ἢ ἐξορισθῇ μετὰ τὴν διαθήκην καὶ πάλιν ἀποκατασταθῇ* [14].

15. *Ἔῤῥωται ἡ ἔνστασις, εἰ καὶ τὸ ὄνομα τοῦ κληρονόμου μὴ λεχθῇ, ἀλλ᾽ ὁμολογούμενον γνώρισμα* [15].

16. *Οἱ κληρονόμοι δικαίου εἰσὶ διάδοχοι, καὶ ἐὰν μὴ διέλῃ εἰς αὐτοὺς ὁ διαθέμενος, ἐξίσου καλοῦνται* [16].

17. *Καὶ ὁ αἰχμάλωτος διὰ τὴν ἐλπίδα τῆς ὑποστροφῆς καλῶς γράφεται κληρονόμος, καὶ ὁ δοῦλος αὐτοῦ, καὶ ἐὰν ὑποστρέφῃ, λαμβάνει τὴν κληρονομίαν* [17].

18. *Ἔγραψά σε κληρονόμον· εἶτα φήμης γενομένης ὅτι ἐτελεύτησας, δευτέραν ἔγραψα διαθήκην, οὕτως εἰπών· ἐπειδὴ ὃν ἤθελον οὐκ ἠδυνήθην σχεῖν κληρονόμον, ἔστω ὁ δεῖνα κληρονόμος. διὰ γοῦν τὴν γνώμην μου σὺ ὁ πρότερος γίνῃ κληρονόμος, καὶ δίδως τὰ ἐν τῇ διαθήκῃ λεγάτα, ὡς ἂν ἐν αὐτῇ ἐγράφης* [18].

19. *Ἡνίκα τελευτήσῃ ἀνὴρ ἢ γαμετὴ ἀδιάθετοι, καὶ μηδένα ἐκ τῶν ἀνιόντων ἢ κατιόντων ἢ τῶν ἐκ πλαγίου ἔννομον ἢ φυσικὸν σχοίησαν διάδοχον, τότε ὁ ἀνὴρ εἰς τὴν τῆς γυναικὸς καλείσθω ἐξ ὁλοκλήρου περιουσίας κληρονομίαν, καὶ ἡ γυνὴ ὡσαύτως τὸν ἄνδρα διαδεχέσθω* [19].

20. *Γράφειν δυνάμεθα κληρονόμους τοῦτο μὲν ἐλευθέρους τοῦτο δὲ καὶ οἰκέτας ἡμετέρους. ἀλλὰ καὶ δίχα ἐλευθερίας ἡ*

---

[11] Cod. VI, 20, 3 ex Proch. h. t. c. 11. [12] Cod. VI, 20, 17 ex Proch. h. t. c. 12. [13] Dig. XXVIII, 5, 1 §. 2 ex Proch. h. t. c. 13. [14] Dig. eod. 6 §. 2 ex Proch. h. t. c. 14. [15] Dig. eod. 9 §. 8 ex Proch. h. t. c. 15. [16] Dig. eod. 9 §. 12 ex Proch. h. t. c. 16. [17] Dig. eod. 32 §. 1 ex Proch. h. t. c. 17. [18] Dig. eod. 92 ex Proch. h. t. c. 18. [19] Cod. VI, 18 ex Proch. h. t. c. 19.

τοῦ οἰκέτου ἔνστασις ἔῤῥωται, ἥτις καὶ χωρὶς ἐλευθερίας γραφέντας αὐτοὺς ἀκωλύτως ἐπὶ τὴν κληρονομίαν καλεῖ [20].

21. *Τοὺς δούλους τῶν δυναμένων γράφεσθαι κληρονόμων δυνάμεθα γράφειν κληρονόμους. ὁ γὰρ δοῦλος ἐκ προσώπου τοῦ δεσπότου αὐτοῦ ἔχει διαθήκης προνόμιον* [21].

22. *Οὐκ ἀεί τις τὸν ἴδιον δοῦλον ἔνστατον γράφει κληρονόμον ἰσχυρῶς, ἀλλ᾽ οὐδὲ μετὰ ἐλευθερίας, ὡς ἐπὶ τοῦ τοιούτου θέματος· ἀπέθετό τις ἀνὴρ κατηγορίαν κατὰ τῆς ἰδίας γυναικὸς, λέγων αὐτὴν ὑπὸ τοῦ ἰδίου δούλου μοιχεύεσθαι. μήπω περαιωθέντος τοῦ δικαστηρίου ἡ εἰρημένη γυνὴ τελευτῶσα τὸν τοιοῦτον δοῦλον μετὰ ἐλευθερίας ἐνεστήσατο κληρονόμον. μετὰ τὴν ἐκείνης τελευτὴν ζήτησις γέγονεν, εἰ ἔῤῥωται τὰ τῆς ἐνστάσεως, καὶ οἱ νομικοὶ ἀντέγραψαν, τὸν οἰκέτην ἔνοχον ὄντα μοιχείας οὐκ ἰσχυρῶς ἐν τῇ διαθήκῃ ἐλευθεροῦσθαι δύνασθαι πρὸ τοῦ πέρατος τοῦ δικαστηρίου ὑπ᾽ ἐκείνης αὐτοῦ τῆς δεσποίνης, ἥτις ὡς ὑποπεσοῦσα τῷ ἐγκλήματι κατηγορεῖτο. ὡς οὖν ἡ ἔνστασις ἡ ἐπὶ τῷ τοιούτῳ γενομένη δούλῳ πάσης ἰσχύος ἐστὶν ἐκτός* [22].

23. *Μήτηρ ψευδῶς ἀκούσασα τὸν στρατιώτην αὐτῆς υἱὸν τελευτῆσαι, κληρονομεῖ αὐτόν* [23].

24. *Ἐκ τῆς ριε′ τῶν νεαρῶν διατάξεων. — Οἱ ἐκ διαφόρων γάμων τικτόμενοι παῖδες, κἂν ὁ εἷς γάμος ἄπροικος ᾖν, πάντες τὸν πατέρα διαδεχέσθωσαν. καὶ μετὰ ῥεπούδιον ἤτοι διαζύγιον οἱ παῖδες κληρονομείτωσαν τοὺς γονεῖς, τρεφόμενοι καὶ μένοντες παρὰ τῷ πατρὶ τὴν αἰτίαν τῆς λύσεως μὴ ποιήσαντι. εἰ δ᾽ ἐξ αὐτοῦ ἡ αἰτία τῆς λύσεως γέγονε, μένουσι μὲν παρὰ τῇ μητρὶ μὴ δευτερογαμούσῃ, τρέφονται δὲ παρὰ τοῦ πατρός· ἀπoροῦντος δὲ, μένουσι παρὰ τῇ μητρὶ καὶ τρέφονται παρ᾽ αὐτῆς* [24].

25. *Ἐκ τῆς ιη′ τῶν νεαρῶν διατ. — Ὁ ἐξ ἐλευθέρας ἔχων παῖδας, εἰ μὲν ποιήσῃ προικοσυμβόλαια, γνησίους αὐτοὺς ποιεῖ, κἂν προετέχθησαν. καὶ ὁ ἐκ δούλης δὲ ἐσχηκὼς παῖδας καὶ ταύτην ὕστερον ἅμα τοῖς παισὶν ἐλευθερώσας καὶ πρὸς αὐτὴν προικῷα ποιήσας, ταύτην μὲν νόμιμον γυναῖκα ποιεῖ, καὶ τοὺς παῖδας γνησίους κληρονομοῦντας αὐτὸν ἐξίσης* [25].

---

[20] Theoph. Inst. II, 14 pr. ex Proch. h. t. c. 20. [21] Theoph. II, 14, 3 ex Proch. h. t. c. 21. [22] Theoph. II, 14 pr. ex Proch. h. t. c. 22. [23] Dig. V, 2, 28 ex Proch. h. t. c. 23, unde emendari debent, quae in fine hujus loci vitiosa et mutila sunt. [24] Nov. 117 c. 3. 7 ex App. Eclogae II. [25] Nov. 18 c. 11 ex App. Eclogae III.

26. Ἐκ τῆς πζ΄ [26] τῶν νεαρῶν διατάξεων. — Ὁ τελευτῶν ἐπὶ παλλακῇ καὶ νόθοις παισὶ, γνησίας μὲν ὑπούσης γονῆς, γαμετῆς δὲ χωρὶς, ἄχρι μιᾶς οὐγγίας καὶ μόνον καταλιμπανέτω αὐτοῖς· τῇ δὲ παλλακῇ μὴ ἐχούσῃ παῖδας ἥμισυ οὐγγίας δωρείσθω καὶ μόνον. εἰ δέ τι περισσὸν δῷ, οἱ γνήσιοι παῖδες τοῦτο ἐκδικείσθωσαν. γνησίων δὲ μὴ ὑπόντων παίδων ἢ ἀνιόντων, τὸ πᾶν αὐτοῖς εἰ βούλοιτο διδότω. εἰ δὲ περίεισιν ἀνιόντες, τὸ νόμιμον αὐτοῖς καταλιμπάνων τὸ λοιπὸν δωρεῖται ὡς βούλεται. ἀδιαθέτου δέ τινος τελευτῶντος ἐπὶ νόθοις παισὶν, ὑπόντων δὲ καὶ γνησίων ἢ καὶ γαμετῆς, μηδὲν οἱ νόθοι λαμβάνωσιν· ἀποτρεφέσθωσαν δὲ ὑπὸ τῶν κληρονόμων. τούτων δὲ μὴ ὑπόντων, τὸ διούγγιον καὶ μόνον μετὰ τῆς μητρὸς λαμβανέτωσαν, μὴ ὑπούσης δὲ αὐτῆς μόνοι, τοῦ λοιποῦ τοῖς ἐξ ἀδιαθέτου ἢ τούτων μὴ ὑπόντων τῷ δημοσίῳ διδόσθωσαν [27].

27. Ὁ ἔχων γαμετὴν οὐ δύναται ἔχειν παλλακὴν, ἀλλ' οὐδὲ οἱ ἐξ αὐτῆς τικτόμενοι δύνανται τοῦτον κληρονομεῖν [28].

28. Οἱ ἐξ ἀθεμιτογαμίας οὔτε νόθοι εἰσὶν, οὔτε κληρονομοῦσι τοῦ πατρός τι, οὔτε τρέφονται ἐξ αὐτοῦ [29].

29. Ἐκ τοῦ α΄ βι. τί. ε΄ [30] τῶν διγ. — Οἱ ἐκ πορνείας καὶ συγκεχυμένης σπορᾶς τικτόμενοι παῖδες λέγονται σπούριοι. οὗτοι δὲ τῇ μητρὶ ἕπονται, οἱ δὲ νόμιμοι τῷ πατρί [31].

30. Τί. γ΄ βι. τοῦ αὐτοῦ [32]. — Ὁ ἀναγκάσας τινὰ ἢ ἑαυτὸν ἢ ἕτερον γράψαι κληρονόμον ἐνάγεται καὶ χρηματικῶς καὶ ἐγκληματικῶς [33].

31. Ἐάν τις ἐγκύμονα ἔχων γυναῖκα αὐτὴν μὲν εἰς μέρος γράψῃ κληρονομεῖν, τὸν δὲ ἐξ αὐτῆς κυοφορούμενον εἰς τὸ ἐπίλοιπον, ἐπαγαγών· εἰ μὴ τεχθῇ ὁ κυοφορούμενος, ὁ δεῖνα ἔστω κληρονόμος· εἰ μὲν [μὴ] τεχθῇ, χώρα ἔστω τῷ ὑποκαταστάσει· εἰ δὲ τεχθῇ, ἄνηβος [δὲ] τελευτήσῃ, εἰ μὲν περίεστιν ἡ μήτηρ αὐτοῦ, καὶ εἰς τὸ τούτου μέρος καλείσθω· μὴ οὔσης δὲ αὐτῆς, πάλιν ὁ ὑποκατάστατος ἐρχέσθω [34].

32. Ἐκ τοῦ . . . τί. βι. τοῦ αὐτοῦ. — Ἐάν τις γράψῃ τινὰ κληρονόμον νομίζων αὐτὸν ἴδιον υἱὸν εἶναι, ὃν οὐκ ἂν

---

[26] Alii κζ΄, alii νζ΄. [27] Lege: διδομένου. Nov. 89 c. 12 ex App. Ecl. IV, 1. 2. [28] Nov. cit. ex App. Ecl. IV, 3. [29] Nov. cit. ex App. Ecl. l. l. [30] Alii α΄, alii ε΄. [31] Dig. I, 5, 23. 24 ex App. Ecl. V. [32] Plerique hanc inscriptionem omittunt. [33] Cod. VI, 34, 1. Basil. XXXV, 4, 4. [34] Cod. VI, 25, ult. Cf. Basil. XXXV, 12, 37. Ἀνέκδ. p. 182.

ἔγραψε κληρονόμον, εἰ μὴ τῇ αὐτῇ δόξῃ ἐκεκράτητο, εὑρεθῇ δὲ οὗτος ὑποβολιμαῖος, ἐκπίπτει τῆς κληρονομίας [35].

33. Ἐκ τοῦ βι. τοῦ εἰρημένου γ' τί. — Ἐάν τις ἀνὴρ διαλεχθῇ τῇ ἑαυτοῦ γυναικὶ καὶ πείσῃ αὐτὴν γράψαι αὐτὸν κληρονόμον, οὐ δοκεῖ ἀνάγκην ἐπιθεῖναι αὐτῇ [36].

34. Ὁ ἐν αἰχμαλωσίᾳ τελευτῶν καὶ μήτινα ἔχων τοῦ κληρονομεῖν αὐτὸν ἢ ἀνιόντας ἢ κατιόντας ἢ ἐκ πλαγίου, ὁ φίσκος τὴν περιουσίαν αὐτοῦ λαμβάνει, καὶ τὸ ἐξ αὐτῆς τρίτον διδόσθω εἰς ψυχικὰς αὐτοῦ διαδόσεις, ἐὰν μὴ χρέα εἰσίν. τὰ γὰρ οἰκετικὰ πρόσωπα ἐλευθεροῦνται, καὶ εἰ χρέα εὑρεθῇ, διδόσθω ἐκ τῆς ῥηθείσης περιουσίας [37].

35. Γυνὴ υἱὸν ἀπὸ τῶν νομίμων γάμων ἔτεκε καὶ ἄλλον πορνογενῆ ἔσχεν, ᾧτινι πατὴρ ἄδηλός ἐστι· κατὰ ποῖον τρόπον τὰ μητρῷα πράγματα πρὸς αὐτοὺς ἔρχονται, εἴτε εἰς μόνον παῖδα τὸν νόμιμον, εἴτε εἰς τὸν πορνογενῆ, ἀμφιβάλλεται. θεσπίζομεν οὖν, ἵνα μήτε ἐκ διαθήκης μήτε ἐξ ἀδιαθέτου μήτε ἀπὸ δωρεᾶς ἐν ζωῇ γενομένης νομίμων παίδων ὑπόντων τὶ παντελῶς ἐκ τῶν ἐνδόξων μητέρων εἰς τοὺς πορνογενεῖς ἔλθῃ· ἐπειδὴ ἐν ταῖς εὐγενέσι γυναιξὶ καὶ ἐνδόξοις, αἷστισιν ἡ τῆς σωφροσύνης παραφυλακὴ ἐξαίρετον χρέος ἐστὶν, ἀχρεῖόν ἐστι νομίζεσθαι τοὺς πορνογενεῖς παῖδας. πάνυ γὰρ ἄδικον, πάνυ σφοδρὸν κατὰ τὸν ἡμέτερον νόμον, ὡς γὰρ καὶ αὐτὴν τὴν σωφροσύνην ἐπιμελητέον διὰ παντὸς κρίνομεν καὶ ἀξίως καθιεροῦμεν. ἐὰν δὲ παλλακὴ ἐλευθέρας τύχης ὑπάρχουσα υἱὸν ἢ θυγατέρα ἀπὸ θεμιτῆς συνηθείας πρὸς ἄνθρωπον ἐλεύθερον γενομένης ἔτεκε, τούτους καὶ μετὰ τῶν νομίμων παίδων εἰς τὰ μητρῷα διελθεῖν πράγματα, [ἅτινα αὐτῇ] νομίμῳ δικαίῳ καὶ ἐν ἰδίᾳ οὐσίᾳ κέκτηται, οὐδὲ εἷς φθόνος ἐστίν [38].

36. Ἐὰν ἐλεύθερος μετὰ δούλης ἀλλοτρίας ἔχῃ τινὰ συνήθειαν, τελευτῶντος αὐτοῦ οὐ δύναται ὁ δεσπότης τῆς κόρης τὴν κληρονομίαν αὐτοῦ ἐκδικῆσαι [39].

37. Ἐὰν ὁ υἱός μου τὴν πολιτείαν ἀπολέσῃ ἢ ὑπεύθυνος γένηται ποινῆς, ὁ ἐξ αὐτοῦ ἔκγονος εἰς τὸν τόπον αὐτοῦ ὑπεισέρχεται [40].

38. Ἐκ τοῦ ε' τί. α' βι. τῶν διγ. — Οὐκ εἰσι παῖδες

---

[35] Cod. VI, 24, 4. Basil. XXXV, 13, 14. [36] Cod. VI, 34, 3. Basil. XXXV, 4, 6. [37] Nov. Leonis 40. [38] Cod. VI, 57, 5. Basil XLV, 1, 42. [39] Cod. VI, 59, 9. Basil. XLV, 1, 54. [40] Dig. I, 6, 7. Basil. XXXI, 1, 7.

οἱ παρὰ τὴν φύσιν τικτόμενοι τεράστιοι. οἷς δὲ περισσεύσουσι μέλη, παῖδές εἰσιν [41].

39. Ἐν ὅσῳ τὶς ἐν αἰχμαλωσίᾳ ἐστὶν, οὐ κληρονομεῖ οὔτε δικαστήριον κινεῖται κατ' αὐτοῦ [42].

40. Καὶ τοῦτο ἡμῖν ἔδοξεν εὐσεβές τε ἅμα καὶ χάριεν, ἵνα ὁ τελείαν ἔχων ἡλικίαν μὴ δύναται τὸν συγγενῆ αὐτοῦ ἐξ ἀδιαθέτου κληρονομεῖν, παρ' οὗ προσκληθεὶς ἐπὶ ἐκδικήσει ἰδίου αὐτοῦ πράγματος κατημέλησε χωρὶς εὐλόγου προφάσεως [43].

41. Ὁ ἐνήλικος ἀνηλίκῳ συζῶν οὐ δύναται τοῦτον ἐξ ἀδιαθέτου κληρονομεῖν μὴ ἐκδικῶν τὰ αὐτοῦ πράγματα [44].

42. Ὁ συγγενῆ κεκτημένος δύναται τοῦτον ἐξ ἀδιαθέτου κληρονομεῖν. τὰ αὐτὰ καὶ περὶ αἰχμαλώτων [45].

ΤΙΤΛΟΣ λϛ'.

Περὶ ἀποκαταστάσεως.

1. Ἀποκαθίστανται οἱ ἥττονες τῶν κε̄ ἐνιαυτῶν κατὰ τῶν πραθέντων ἐνεχύρων παρὰ τῶν ἰδίων δανειστῶν, εἰ μὴ ἄρα ὁ τούτων πατὴρ τὰ ἐνέχυρα τοῖς δανεισταῖς ἔδωκε, καὶ οὐκ αὐτοί [1].

2. Οὐκ ἐν πᾶσιν οἱ νέοι ἀποκαθίστανται, ἀλλ' ἐν οἷς ὑφ' ἑαυτῶν ἢ ὑφ' ἑτέρων ἀπολέσαντες ἢ μὴ κτησάμενοι ἢ ἐνοχοποιηθέντες [2].

3. Τὸ τοῦ ἀφήλικος ἀκίνητον πρᾶγμα καλῶς πωλεῖται διὰ ἴδιον αὐτοῦ χρέος ἢ διὰ πατρῷον ἢ δημόσιον, δηλονότι ἐπὶ φανερᾶς κριτοῦ ἀποφάσεως [3].

4. Καλῶς ἀνατρέπουσιν οἱ ἥττονες, ἅπερ κατὰ δόλον κακῶς ἐπώλησαν οἱ αὐτῶν κηδεμόνες [4].

5. Ἐὰν εἴπῃ ἑαυτὸν μείζω ὁ ἥττων κατὰ πλάνην, οὐδὲν ἧττον ἀποκαθίσταται [5].

6. Ὁ ἥττων συγγνώμην ἡλικίας αἰτήσας δύναται ἀνατρέψαι ὃ κακῶς ἐπώλησεν, εἴσω ἐνιαυτοῦ μετὰ τὸν κε̄ χρόνον. ὡσαύτως δὲ καὶ ὃ κακῶς ἠγόρασεν ἢ ἐνήλλαξε, δύναται αὐτὸ

---

[41] Dig. I, 5, 14. Basil. XLVI, 1, 11. [42] Non invenio. [43] Proch. XXXIII, 30. [44] Proch. eod. 31. [45] Proch. eod. 32. Unde supple, quae in omnibus desunt.

[1] Cod. II, 28 ex Proch. XXXI, 1. [2] Dig. IV, 4, 44 ex Proch. h. t. c. 2. [3] Cod. V, 71, 18 ex Proch. h. t. c. 3. [4] Cod. II, 27, 2 ex Proch. h. t. c. 4. [5] Cod. II, 42, 1 ex Proch. h. t. c. 6.

ἀνατρέψαι, τὸ καταβληθὲν ἐπαναλαμβάνων τίμημα εἴσω τοῦ εἰρημένου χρόνου. τοῦτο δὲ προνόμιον καὶ κληρονόμοις αὐτοῦ παραπέμπεται [6].

7. *Ἐὰν χαρίσηταί τι ἀφῆλίξ τινι πρᾶγμα αὐτοῦ, δύναται μετὰ τὸ παρελθεῖν τὰ κε̅ ἔτη ἐντὸς τετραετίας ἀγωγὴν ποιήσασθαι καὶ τὸ οἰκεῖον ἐπαναλαμβάνειν πρᾶγμα* [7].

ΤΙΤΛΟΣ λζ΄.

Περὶ ἀποκλήρων.

1. *Πολλάκις πατέρες ποιοῦντες ἀποκλήρους παῖδας τοὺς ἑαυτῶν μετὰ ὑβριστικῆς αἰτίας τιθέασι τὴν ἀποκήρυξιν, λέγοντες· ὁ υἱός μου ἔστω ἀπόκληρος, ἐπειδὴ κακῶς ἔζησεν, ἐπειδὴ ἔκλεψεν, ἐπειδὴ ὕβρισέ με· καὶ τὰ τοιαῦτα λέγουσι ἁμαρτήματα τῶν παίδων, ἅτινα ἀτιμοποιοὺς αἰτίας περιέχει. ταῦτα τοίνυν τὰ τῶν πατέρων ῥήματα νομοθετεῖ ἡ διάταξις ἀτιμίαν μὲν [μὴ] ἐπιφέρειν τοῖς παισὶ, παρὰ δὲ τοῖς σταθεροῖς ἀνδράσι διαβολὴν μὲν ἐργάζεσθαι κατὰ τῶν παίδων, ὡς μὴ δυνηθέντων ἀρέσαι τῷ οἰκείῳ πατρί* [1].

2. *Ὁ ἄῤῥην παῖς, εἰ μὴ ἐγγυᾶται εἰς ὅσον εὐπορεῖ τὸν ἴδιον πατέρα ἐγκεκλεισμένον, εὐλόγως* [2] *παρ᾽ αὐτοῦ ἀχαριστεῖται* [3]. *εἴτε ταμειακή ἐστιν εἴτε κογχυλευτικῇ ὑπόκειται τύχῃ* [4].

3. *Εἴ τις τοῖς ἰδίοις γονεῦσι χεῖρας ἐπιβάλλῃ, ἢ βαρεῖαν καὶ ἀπρεπῆ αὐτοῖς ὕβριν ἐπαγάγῃ, ἢ ἐπὶ ἐγκληματικῆς αἰτίας αὐτοῖς κατηγορήσῃ τῆς μὴ οὔσης κατὰ βασιλέως ἢ πολιτείας, ἢ μετὰ φαρμακῶν ὡς φαρμακὸς συναναστρέφεται, ἢ τῇ ζωῇ αὐτῶν διὰ φαρμακείας ἢ ἄλλῳ τρόπῳ ἐπιβουλεῦσαι πειραθῇ, τὸν τοιοῦτον ἀπόκληρον εἶναι θεσπίζομεν* [5].

4. *Εἰ τῇ ἰδίᾳ μητρυιᾷ ἢ τῇ τοῦ πατρὸς παλλακῇ ὁ υἱὸς ἑαυτὸν μίξῃ* [6].

5. *Εἰ συκοφάντης κατὰ τῶν ἰδίων γονέων αὐτὸς γένηται καὶ διὰ τῆς ἰδίας καταμηνύσεως βαρείας αὐτοὺς ζημίας ὑπομεῖναι παρασκευάσῃ* [7].

---

[6] Cod. II, 52, 5 pr. ex Proch. h. t. c. 7. [7] Cod. II, 44, 3 ex Proch. h. t. c. 8.

[1] Basil. XXI, 3, 12. [2] Addunt nonnulli: *καλῶς*. [3] Nov. 115 c. 3 §. 8. Athan. *π. διαφ. ἀναγν.* §. 10. [4] Sic. Cf. Athan. l. c. §. 11. [5] Nov. 115 c. 3 §. 1—5 ex Proch. XXXIII, 1. [6] Nov. cit. §. 6 ex Proch. h. t. c. 2. [7] Nov. cit. §. 7 ex Proch. h. t. c. 3.

6. *Εἰ ἐν ἀσθενείᾳ σώματος χρονίᾳ κατακειμένων αὐτῶν ἢ ἐγχειρίᾳ καὶ ἀδυναμίᾳ καταντησάντων αὐτῶν, ἀμελήσωσι τῆς τούτων φροντίδος οἱ παῖδες, καὶ μετακαλούμενοι παρὰ τῶν γονέων μὴ βουληθεῖεν ἐπιμελείας αὐτοὺς ἀξιῶσαι* [8].

7. *Εἰ συμβῇ τινα τῶν εἰρημένων ἐγκεκλεῖσθαι, οἱ δὲ παῖδες οἱ δυνάμενοι ἐξ ἀδιαθέτου εἰς τὴν τούτων διαδοχὴν ἐλθεῖν αἰτηθέντες ἤγουν ὁ εἷς ἐξ αὐτῶν μὴ βουληθείη εἰς τὴν ἐγγύην τοῦτον ὑποδέξασθαι ἢ ὑπὲρ προσώπου ἢ τοῦ χρέους, εἰς ὅσον ἐπιτήδειος ὁ αἰτούμενος. τοῦτο εἰς μόνους τοὺς ἄῤῥενας ἐπὶ ἐγγύης ἐθεσπίσαμεν* [9].

8. *Εἰ ἐλεγχθῇ τις τῶν παίδων, ὅτι ἐκώλυσε τοὺς ἰδίους γονεῖς ποιήσασθαι διαθήκην· ὥστε εἰ μὲν μετὰ ταῦτα διαθήκην ποιήσασθαι δυνηθεῖεν, ἄδειαν αὐτοῖς εἶναι ὑπὲρ τῆς τοιαύτης αἰτίας τὸν παῖδα ἀπόκληρον ποιεῖν. εἰ οὖν μηδὲν ἐν τῇ διατυπώσει τοῦτον μέμψηται, ἀργεῖ ὁ τῆς ἀχαριστίας λόγος· εἰ δὲ ἐν αὐτῇ τῇ κωλύσει τῆς διαθήκης τὶς τῶν γονέων τελευτήσῃ, καὶ ἄλλοι, ἐξ ἀδιαθέτου εἰς τὴν τοῦ τελευτήσαντος κληρονομίαν ἢ μετὰ τοῦ παιδὸς τοῦ τὴν διαθήκην γενέσθαι κωλύσαντος ἢ οἱ μετ' αὐτὸν καλούμενοι, εἴτε οὓς κληρονόμους ἔχειν ἠβούλοντο, εἴτε οἱ βλάβην τινὰ ἐκ τῆς αὐτῶν κωλύσεως ἐν τῇ διαθήκῃ ὑπομείναντες, τοῦτο αὐτὸ ἀποδεῖξαι δυνηθῶσι, τὸν τοιοῦτον ἀπόκληρον γενέσθαι* [10].

9. *Ἀλλὰ καὶ εἰ παρὰ γνώμην τῶν γονέων μίμοις ἑαυτὸν ὁ υἱὸς ἐγκαταλέξοι, καὶ ἐν τούτῳ τῷ ἐπιτηδεύματι διαμείνοι, εἰ μὴ τυχὸν καὶ οἱ γονεῖς τῆς τοιαύτης ἐπιτηδεύσεως γεγόνασιν* [11].

10. *Εἴ τις ἐκ τῶν εἰρημένων γονέων βουλόμενος τῇ ἰδίᾳ θυγατρὶ ἢ καὶ ἐκγόνῃ ἄνδρα δοῦναι καὶ προῖκα κατὰ τὴν ἰδίαν δύναμιν τῆς ἰδίας περιουσίας ὑπὲρ αὐτῆς παρασχεῖν, μὴ συναρέσῃ, ἀλλ' αἰσχρὸν βίον διάγειν ἐπιλέξηται* [12].

11. *Εἴ τις ἐκ τῶν εἰρημένων γονέων μανῇ, καὶ οἱ παῖδες αὐτοῦ, ἤ τινες ἐξ αὐτῶν ἢ παίδων αὐτῶν μὴ ὑπόντων οἱ ἄλλοι αὐτοῦ συγγενεῖς καὶ οἱ ἐξ ἀδιαθέτου οἱ εἰς τὸν αὐτὸν κλῆρον καλούμενοι, ὑπηρεσίαν καὶ φροντίδα μὴ προσήκουσαν αὐτῷ παράσχοιεν, εἰ μὲν τῆς τοιαύτης ἀπαλλαγῇ νόσου, ἔσται αὐτῷ ἄδεια, πότερον βούλεται τὸν παῖδα ἢ τοὺς παῖδας ἢ συγγενεῖς ἠμεληκότας ἀχάριστον ἢ ἀχαρίστους ἐν τῇ ἰδίᾳ γράψαι δια-*

---

[8] Proch. h. t. c. 4. [9] Nov. cit. §. 8 ex Proch. h. t. c. 5. [10] Nov. cit. §. 9 ex Proch. h. t. c. 6. [11] Nov. cit. §. 10 ex Proch. h. t. c. 7. [12] Nov. cit. §. 11 ex Proch. h. t. c. 8.

θήκῃ· εἰ δὲ ἐν τῇ νόσῳ τῆς μανίας αὐτοῦ κατεχομένου ἐξωτικός τις ἴδοι ἀπὸ τῶν οἰκείων ἀμελούμενον παίδων ἢ συγγενῶν ἢ ἄλλων ὑπ' αὐτοῦ γεγραμμένων κληρονόμων, καὶ διὰ συμπάθειαν βουληθῇ αὐτοῦ φροντίσαι, δίδομεν ἄδειαν διαμαρτυρίας τοῖς ἐξ ἀδιαθέτου ἢ ἀπὸ διαθήκης ἤδη γενομένης εἰς τὸν τοῦ μεμηνότος κλῆρον καλουμένοις ἐγγράφως στέλλειν, ὥστε σπουδάζειν αὐτοὺς τούτου φροντίζειν· εἰ δὲ καὶ μετὰ τὴν τοιαύτην μαρτυρίαν ἀμελήσειαν, καὶ ὁ ἐξωτικὸς ἐν τῷ αὐτοῦ οἴκῳ τὸν μεμηνότα ὑποδεξάμενος δαπανήμασιν οἰκείοις ἄχρι τελευτῆς αὐτοῦ φροντίσας δειχθῇ, τὸν τὴν ὑπηρεσίαν καὶ τὴν ἐπιμέλειαν τῷ μεμηνότι παρασχόμενον, κἂν τὰ μάλιστα ἐξωτικὸς εἴη, εἰς τὴν τούτου διαδοχὴν ἔρχεσθαι θεσπίζομεν, ἀνατρεπομένης τῆς αὐτῶν ἐνστάσεως, ἅτε δὴ ἀναξίων ὄντων, τῷ μεμηνότι καθάπερ εἰρήκαμεν φροντίδα παρασχεῖν ἀμελησάντων· οὕτω μέντοιγε, ὥστε τὰ λοιπὰ τῆς διαθήκης μένειν κεφάλαια ἐν τῇ ἰδίᾳ ἰσχύι [13].

12. Εἴ τινα τῶν γονέων ἐν αἰχμαλωσίᾳ κρατεῖσθαι συμβαίνῃ, καὶ οἱ τούτου παῖδες εἴτε πάντες εἴτε εἷς μὴ σπουδάσαιεν τοῦτον ἀναῤῥύσασθαι, εἰ μὲν δυνηθῇ οὗτος τὴν τῆς αἰχμαλωσίας συμφορὰν ἐκφυγεῖν, ἐν τῇ αὐτοῦ εἶναι ἐξουσίᾳ, πότερον ταύτην ἀχαριστίας αἰτίαν ἐν τῇ ἰδίᾳ βούλοιτο ἐγγράψαι διαθήκῃ ἢ καὶ μή· εἰ δὲ τυχὸν διὰ τῆς τῶν παίδων ἀμελείας καὶ καταφρονήσεως μὴ ἐλευθερωθῇ, ἀλλ' ἐν αἰχμαλωσίᾳ τελευτήσῃ, ἐκείνους εἰς τὴν αὐτοῦ διαδοχὴν ἐλθεῖν οὐκ ἀνεχόμεθα, οἵτινες οὐκ ἐσπούδασαν τῆς ἀναῤῥύσεως αὐτοῦ φροντίσαι, ἀλλὰ τὰ αὐτοῖς ἀπ' αὐτοῦ διαφέρειν ὀφείλοντα πράγματα τῇ ἐκκλησίᾳ τῆς πόλεως ἐξ ἧς ὁρμᾶται προσκυροῦσθαι. καταγραφῆς δηλαδὴ ἐπὶ δημοσίου ἐκμαρτυρίου γινομένης, ὥστε μηδὲν ἐκ τούτων παραιτεῖσθαι, ἀλλ' εἰς αἰχμαλώτων ἀναῤῥύσεις προχωρεῖν. ταῦτα δὲ γίνεσθαι, εἰ μὴ τὰ τῆς ἀχαριστίας γραφῇ καὶ φανερῶς κατὰ νόμους ἀποδειχθῇ [14].

13. Ἐὰν δὲ πρὸ τῆς αἰχμαλωσίας γράψειεν διαθήκην ὁ ἐν αἰχμαλωσίᾳ ὢν ὡς μήτινα ἔχων κληρονόμον ἑτέρους ἐξωτικοὺς ἐάσας, καὶ αὐτοὶ τῆς ἀναῤῥύσεως ἀμελήσωσι, μηδ' αὐτοί τι τῶν αὐτοῦ κληρονομείτωσαν, ἀλλ' εἰς ἀνάῤῥυσιν ὡς εἴρηται αἰχμαλώτων παρὰ τῶν ταῖς ἐκκλησίαις φροντιζόντων δίδοσθαι καὶ τὰς ἐκείνων ψυχὰς διὰ τῆς ἀναῤῥύσεως τῶν ὁμοίων ἐπι-

---

[13] Nov. cit. §. 12 ex Proch. h. t. c. 9. [14] Nov. cit. §. 13 ex Proch. h. t. c. 10.

κουφίζεσθαι. τὴν δὲ τοιαύτην ποινὴν θεσπίζομεν γίνεσθαι ἐν τοῖς κληρονόμοις τοῖς τὸν ὀκτὼ καὶ δέκατον τῆς ἡλικίας πληρώσασι χρόνον [15].

14. Ἐν δὲ ταῖς τοιαύταις αἰτίαις ἡνίκα ὑπὲρ ἀναῤῥύσεως ἀναγκαῖόν ἐστι χρήματα δοθῆναι, εἴ τις ἴδια μὴ ἔχοι χρήματα, ἄδειαν ἐχέτω, εἴπερ τῆς εἰρημένης ὑπάρχει ἡλικίας, δανείζεσθαι χρήματα, [καὶ πράγματα ἀκίνητα ἢ] κινητὰ ὑποτίθεσθαι, εἴτε ἴδια ἔχει εἴτε τοῦ ἐν αἰχμαλωσίᾳ κρατουμένου. ἐπειδὴ ἐν τοῖς εἰρημένοις ἅπασι τοῖς ὑπὲρ ἀναῤῥύσεως αἰχμαλώτων δίδοσθαι ἢ ἀναλίσκεσθαι δεικνυμένοις τὰ τοιαῦτα συναλλάγματα ὡς παρὰ προσώπου αὐτεξουσίου καὶ τελείας ἡλικίας ὄντος γινόμενα βέβαια εἶναι παρακελευόμεθα, μηδενὸς τοῖς μετὰ τῶν τοιούτων προσώπων ἐπὶ ταῖς μνημονευθείσαις αἰτίαις καθάπερ εἴρηται συναλλάττουσι προκρίματος γινομένου· ἀνάγκην δηλαδὴ ἔχοντος τοῦ ἐκ τῆς αἰχμαλωσίας ἐπερχομένου τὰ τοιαῦτα συναλλάγματα βέβαια ἡγεῖσθαι καὶ τούτοις ὡς ἰδίοις ὀφλήμασιν ἐνέχεσθαι [16].

15. Εἴ τις ἐκ τῶν μνημονευθέντων γονέων ὀρθόδοξος ὑπάρχων αἴσθηται τὸν ἴδιον παῖδα ἢ παῖδας μὴ ὄντας τῆς καθολικῆς πίστεως, μηδὲ ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ κοινωνεῖν ἐν ᾗ πάντες οἱ μακαριώτατοι πατριάρχαι μιᾷ συμπνοίᾳ καὶ ὁμονοίᾳ τὴν ὀρθόδοξον ταύτην πίστιν κηρύσσειν καὶ τὰς ἁγίας ζ̄ συνόδους, τὴν ἐν νικαίᾳ πρώτην, τὴν ἐν ἐφέσῳ, τὴν ἐν χαλκηδόνι, περιπτύσσεσθαι ἤγουν ἀναφέρειν γινώσκονται, καὶ διαμένωσιν οἱ τοιοῦτοι παῖδες ἐν τῇ αὐτῇ ἀπιστίᾳ, δίδομεν τοῖς αὐτῶν γονεῦσιν ἄδειαν, ὑπὲρ ταύτης μάλιστα τῆς αἰτίας ἀχαρίστους αὐτοὺς καὶ ἀποκλήρους ἐν τῇ ἰδίᾳ γράφειν διαθήκῃ. καὶ ταῦτα μὲν περὶ ἀχαριστίας τὰ αἴτια διετυπώσαμεν [17].

16. Γενικὴν δὲ πρόνοιαν τοῖς παισὶ τοῖς ὀρθοδόξοις παρέχοντες κελεύομεν, σῴων φυλαττομένων τῶν νόμων τῶν ἤδη περὶ τῶν αἱρετικῶν προενεχθέντων καὶ περὶ τοὺς νεστοριανοὺς καὶ ἀκεφάλους, ὡσαύτως δὲ καὶ περὶ τοὺς ἰακωβίτας καὶ μονοθελήτας καὶ ὅσαι ἄλλαι αἱρέσεις εἰσὶ παρὰ τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ἀποκηρυσσόμεναι, καὶ ταύταις φωραθεῖέν τινες ἐνεχόμενοι, τὰ αὐτὰ περὶ τούτους ἅπαντας ἀπαραβάτως φυλάττεσθαι· ὥστε εἴποτε γονεῖς εὑρεθεῖεν μιᾷ τῶν ἀπαριθμουμένων αἱρέσεων ἢ καὶ ἑτέρᾳ τινὶ τούτων παραπλήσιον κατεχόμενοι, καὶ διὰ τοῦτο ἐκ τῆς κοινωνίας τῆς

[15] Nov. cit. et Proch. l. l. [16] Nov. cit. §. 13 ex Proch. h. t. c. 12.
[17] Nov. cit. §. 14 ex Proch. h. t. c. 13.

καθολικῆς ἐκκλησίας κεχωρισμένοι εἰσὶ, μὴ ἐξεῖναι αὐτοὺς ἄλλους κληρονόμους ἑαυτοῖς ἐνιστᾶν, εἰ μὴ τοὺς ἑαυτῶν ὀρθοδόξους παῖδας, ἢ παίδων μὴ ὑπόντων τοὺς ἐξ ἀῤῥενογονίας καὶ θηλυγονίας συγγενεῖς, ὀρθοδόξους δηλαδὴ τυγχάνοντας. εἰ δὲ ὡς εἰκὸς ἐκ τῶν παίδων τινὲς μέν εἰσιν ὀρθόδοξοι, ἄλλοι δ' ἐκ ταύτης κεχωρισμένοι, πᾶσαν τὴν τῶν γονέων περιουσίαν εἰς τοὺς παῖδας καὶ μόνον τοὺς ὀρθοδόξους περιέρχεσθαι θεσπίζομεν, εἰ καὶ τελευταίας βουλήσεις τὰ τοιαῦτα πρόσωπα ποιήσουσι παρὰ τὴν δύναμιν τῆς ἡμῶν διατάξεως ἐχούσας. εἰ δὲ μετὰ ταῦτα οἱ ἀδελφοὶ οἱ τῆς ἐκκλησίας κεχωρισμένοι ἐπὶ ταύτην ἀναστρέψουσι, τὸ ἁρμόζον αὐτοῖς μέρος ἐν τῷ σχήματι, ἐν ᾧ εὑρεθῇ κατὰ τὸν χρόνον ὃν ἀποδίδοται, τούτοις παρέχεσθαι, ὡς μηδεμίαν περὶ των καρπῶν ἢ τῆς διοικήσεως τοῦ μέσου χρόνου ὄχλησιν ἢ ἐπάχθειαν τοὺς ὀρθοδόξους ὑπομένειν τοὺς πρώην τὰ πράγματα διακρατήσαντας. τῶν δὲ τοιούτων πραγμάτων, ἅτινα ἐκ τῆς μοίρας τῶν μὴ κοινωνούντων ἀδελφῶν οἱ ὀρθόδοξοι ἐκτήσαντο, ὥσπερ τὴν ἐκποίησιν κωλύομεν, οὕτως καὶ τῶν παρελθόντων χρόνων τοὺς καρποὺς ἢ τὴν διοίκησιν οὐδαμῶς παρὰ τῶν ὑφ' ὧν διεκρατήθη εἰσπράττεσθαι ἢ ἀναψηλαφᾶσθαι κελεύομεν. εἰ δὲ μέχρι πέρατος τῆς ἰδίας ζωῆς ἐν τῇ αὐτῇ πλάνῃ οἱ μὴ κοινωνοῦντες διαμείνοιεν, τότε τοὺς ὀρθοδόξους ἀδελφοὺς ἢ κληρονόμους αὐτῶν πληρεστάτῳ δεσποτείας δικαίῳ τὰ αὐτὰ πράγματα κεκτῆσθαι θεσπίζομεν. εἰ δὲ οἱ παῖδες πάντες διεστραμμένοι καὶ τῆς καθολικῆς ἐκκλησίας ἀλλότριοι εὑρεθεῖεν, ἄλλοι δὲ ἐγγύτεροι συγγενεῖς ἐξ ἀῤῥενογονίας [ἢ θηλυγονίας] τὴν ὀρθόδοξον πίστιν τιμῶντες καὶ κοινωνικοὶ εἶεν καὶ ἀποδειχθεῖεν, τούτους τῶν παίδων τῶν αἱρετικῶν προτιμᾶσθαι καὶ τὴν αὐτῶν διαδέχεσθαι κληρονομίαν. εἰ δὲ καὶ παῖδες καὶ ἐγγύτατοι συγγενεῖς ἐκ τῆς κοινωνίας τῆς ὀρθοδόξου πίστεως ξένοι τυγχάνουσι, τηνικαῦτα εἰ μὲν σχῆμα κληρικῶν οἱ γονεῖς αὐτῶν ἔχοιεν, τῇ ἐκκλησίᾳ τῆς πόλεως, ὅπου τὴν οἴκησιν εἶχον, τὰ αὐτῶν πράγματα βουλόμεθα διαφέρειν· οὕτω μέντοι, ὥστε εἰ οἱ ἐκκλησιαστικοὶ ἐντὸς ἐνιαυτοῦ προθεσμίας τὰ τῶν τοιούτων προσώπων πράγματα διεκδικῆσαι ἀμελήσαιεν, τὴν αὐτῶν δεσποτείαν τῷ ἡμετέρῳ ταμείῳ ἐκδικεῖσθαι. εἰ δὲ λαϊκοὶ ὦσι, δίχα τινὸς διακρίσεως τὰς αὐτῶν περιουσίας εἰς τὸ θεῖον ἡμῶν ἰδικὸν ὁμοίως περιέρχεσθαι. ἅτινα κρατεῖν θεσπίζομεν καὶ εἰ χωρὶς διαθήκης τὰ τοιαῦτα πρόσωπα τελευτήσει. πάντων τῶν [κατὰ] αἱρετικῶν ἐν ταῖς ἄλλαις διατάξεσι διατυπωθέντων καὶ κατὰ τῶν νεστοριανῶν καὶ ἀκε-

φάλων καὶ τῶν ἄλλων πάντων τῶν μὴ κοινωνούντων τῇ καθολικῇ ἐκκλησίᾳ, ἐν ᾗ αἱ προλεχθεῖσαι ἁγίαι ζ̄ σύνοδοι καὶ πατριάρχαι ἀναφέρονται, καὶ κατὰ τῶν αὐτῶν κληρονόμων ὁμοίως φυλαττομένων. εἰ γὰρ ὑπὲρ κοσμικῶν αἰτιῶν μεριμνῶμεν, πόσῳ μᾶλλον ὑπὲρ τῆς τῶν ψυχῶν σωτηρίας προνοητικωτάτην φροντίδα δεῖ συνεισφέρειν [18].

17. *Εἰ τοίνυν πάσας τὰς εἰρημένας τῆς ἀχαριστίας αἰτίας εἴτε φανερὰν ἐξ αὐτῶν εἴτε μίαν οἱανδήποτε οἱ γονεῖς τῇ ἰδίᾳ γράψοιεν διαθήκῃ, καὶ οἱ γραφόμενοι κληρονόμοι τὰς ὀνομασθείσας αἰτίας ἢ μίαν ἐξ αὐτῶν ἀληθῆ εἶναι ἀποδείξαιεν, τὴν διαθήκην τὴν ἰδίαν ἔχειν ἰσχὺν παρακελευόμεθα* [19].

18. *Θεσπίζομεν τοίνυν, μὴ ἐξεῖναι τοῖς παισὶ τοὺς ἰδίους γονεῖς ἀποκλήρους καταλιμπάνειν ἢ καθ' οἱονδήποτε τρόπον τῶν ἰδίων πραγμάτων, ἐν οἷς διατίθεσθαι ἐξουσίαν ἔχουσι, τούτους παντελῶς ἀλλοτρίους ποιεῖν, εἰ μὴ τὰς αἰτίας, ἃς ἀριθμοῦμεν, ἐν ταῖς ἰδίαις ἰδικῶς ἐγγράψοιεν διαθήκαις. ταύτας δὲ εἶναι κελεύομεν· εἰ οἱ γονεῖς εἰς ἀναίρεσιν ζωῆς τοὺς ἰδίους παῖδας [παραδοῖεν], δίχα μέντοιγε αἰτίας εἰς καθοσίωσιν ἀναφερομένης* [20].

19. *Εἰ φαρμακείαις ἢ γοητείαις ἢ ἄλλῳ τρόπῳ οἱ γονεῖς τῇ τῶν παίδων ζωῇ ἐπιβουλεύσαντες ἀποδειχθεῖεν* [21].

20. *Εἰ ὁ πατὴρ τῇ ἰδίᾳ νύμφῃ ἢ παλλακῇ τοῦ ἰδίου παιδὸς μιγείη* [22].

21. *Εἰ οἱ γονεῖς τοὺς ἰδίους παῖδας διαθήκας ποιήσασθαι κωλύσαιεν ἐν τοῖς πράγμασιν, ἐν οἷς ἔχουσιν ἄδειαν τοῦ διατίθεσθαι· πάντων δηλαδὴ τῶν ἐπὶ παντὶ κωλύσει τῶν τοιούτων διαθηκῶν φυλαττομένων, ἅπερ ἐπὶ τῷ τῶν γονέων προσώπῳ διεστίξαμεν* [23].

22. *Ἄδειά* [24] *ἐστιν τοῖς παισὶν ἐν ταῖς ἰδίαις διαθήκαις μηδὲν ἐκ τῶν ἰδίων περιουσιῶν ἐκείνῳ τῷ προσώπῳ καταλιμπάνειαν τῷ τὸ τοιοῦτον μῦσος πεπραχέναι γινωσκομένῳ* [25].

23. *Εἰ τῶν παίδων ἢ ἑνὸς ἐξ αὐτῶν ἐν μανίᾳ τυγχάνοντος οἱ γονεῖς τῆς φροντίδος αὐτῶν ἀμελήσαιεν, ταὐτὰ φυλάτ-*

---

[18] Nov. cit. §. 14 ex Proch. h. t. c. 14. 15. [19] Nov. cit. ex Proch. h. t. c. 16. [20] Nov. cit. §. 14 in f. et c. 4 pr. §. 1 ex Proch. h. t. c. 18. 19. [21] Nov. cit. c. 4 §. 2 ex Proch. h. t. c. 20. [22] Nov. cit. §. 3 ex Proch. h. t. c. 21. [23] Nov. cit. §. 4 ex Proch. h. t. c. 22. [24] Quae hic exciderunt, ex Prochiro suppleri possunt. [25] Nov. cit. §. 5 ex Proch. h. t. c. 23.

τεσθαι προστάττομεν, ἅτινα περὶ τῶν μαινομένων γονέων κατὰ τῶν υἱῶν ἐθεσπίσαμεν [26].

24. Τούτοις τοῖς θέμασι καὶ τὴν τῆς αἰχμαλωσίας συμφορὰν προστίθεμεν, ἐν ᾗ εἰ τοὺς παῖδας κρατεῖσθαι καὶ διὰ τῆς τῶν γονέων καταφρονήσεως ἢ ἀμελείας μὴ ἀναῤῥυσθέντας τελευτῆσαι συμβαίνει, μηδαμῶς τούτων γονεῖς εἰς τὰς περιουσίας τῶν παίδων ἔρχεσθαι, ἐφ᾽ αἷς διατίθεσθαι οἱ παῖδες ἠδύναντο, ἀλλὰ πάντα καὶ ἐν τούτῳ τῷ κεφαλαίῳ φυλάττεσθαι, ἅπερ καὶ περὶ γονέων καὶ συγγενῶν τῶν ἐξ ἀδιαθέτου εἰς τὰ τῶν τοιούτων προσώπων δίκαια καλουμένων κληρονόμων ἀνωτέρω διετυπώσαμεν [27].

25. Εἴ τις ἐκ τῶν μνημονευθέντων παίδων ὀρθόδοξος τυγχάνων αἴσθηται τὸν ἴδιον γονέα ἢ γονεῖς μὴ εἶναι ὀρθοδόξους, τὰ αὐτὰ καὶ ἐπ᾽ ἐκείνων τῶν προσώπων κρατεῖν, ἅπερ ἀνωτέρω περὶ τῶν γονέων διετυπώσαμεν [28].

26. Εἰ τὰς τοιαύτας τοίνυν αἰτίας ἢ φανερὰς ἐξ αὐτῶν ἢ μίαν οἱ παῖδες ἐν ταῖς ἰδίαις γράψοιεν διαθήκαις, καὶ οἱ γραφόμενοι παρ᾽ αὐτῶν κληρονόμοι ἢ πάσας φανερὰς ἢ μίαν ἐκ τούτων ἀποδείξαιεν ἀληθῆ, τὴν διαθήκην ἐν τῇ ἰδίᾳ ἰσχύϊ διαμένειν προστάττομεν [29].

27. Εἰ δὲ ταῦτα μὴ φυλαχθῇ, μηδεμίαν δύναμιν τὴν τοιαύτην διαθήκην εἰς τὴν ἔνστασιν τῶν κληρονόμων ἔχειν θεσπίζομεν, ἀλλ᾽ ἀνατρεπομένης τῆς διαθήκης τοῖς ἐξ ἀδιαθέτου εἰς τὴν τοῦ τελευτήσαντος κληρονομίαν καλουμένοις τὰ ἐκείνου πράγματα δίδοσθαι τυποῦμεν· τῶν λεγάτων δηλονότι καὶ τῶν ἐλευθεριῶν καὶ τῶν δόσεων τῶν ἐπιτρόπων καὶ τῶν ἄλλων κεφαλαίων, καθάπερ ἀνωτέρω εἴρηται, τὴν ἰδίαν ἐχόντων ἰσχύν. εἴ τι δὲ [περὶ] λεγάτου παρ᾽ αὐτοῦ δοθέντος ἢ ἐλευθεριῶν ἢ ἄλλων οἱωνδήποτε κεφαλαίων ἄλλοις νόμοις εὑρεθῇ ταύτῃ τῇ διατάξει ἐναντίον, τοῦτο κρατεῖν κατ᾽ οὐδένα βουλόμεθα τρόπον. καὶ αὗται μὲν τῶν ἀποκλήρων αἱ ποιναί, καθὼς διετυπώθησαν· εἴ τινες δὲ ἐξ αὐτῶν εἰς ἐγκλήματα ἀναφέρονται, τοὺς τούτων πράκτορας καὶ τὰς ἄλλας ὑπομένειν ποινὰς τὰς τοῖς νόμοις διωρισμένας. ταῦτα δὲ διετυπώσαμεν, ἵνα καὶ τοὺς γονεῖς καὶ τοὺς παῖδας ἀπὸ τῆς τῶν διαθηκῶν ὕβρεως ἐλευθερώσωμεν [30].

---

[26] Nov. cit. §. 6 ex Proch. h. t. c. 24. [27] Nov. cit. §. 7 ex Proch. h. t. c. 25. [28] Nov. cit. §. 8 ex Proch. h. t. c. 26. [29] Nov. cit. §. 9 ex Proch. h. t. c. 27. [30] Nov. cit. §. 9 rel. et c. 5 pr. ex Proch. h. t. c. 28.

28. *Εἰ δέ τινες κληρονόμοι ὀνομασθεῖεν, κἂν εἰ ῥητοῖς πράγμασιν ἀρκεσθῆναι προσταχθεῖεν, ἐν τούτῳ τὴν μὲν διαθήκην μὴ ἀνατρέπεσθαι προστάττομεν, ὅπερ δ' ἂν ὑπέλαττον αὐτοῖς τῆς ἐκ τῶν νόμων μοίρας καταλειφθῇ, τοῦτο κατὰ τοὺς ἄλλους ἡμῶν νόμους παρὰ τῶν κληρονόμων ἀποπληροῦσθαι. καὶ γὰρ τῆς ἡμετέρας γαληνότητος τοῦτο φροντὶς, τὸ τὴν ὕβριν τῆς ἀποκληρώσεως τῶν γονέων καὶ τῶν παίδων ἀνελεῖν. σκοπεῖν γὰρ ὀφείλουσιν οἱ γονεῖς, ὅτι καὶ αὐτοὶ παῖδες γεγόνασιν καὶ τὰ αὐτὰ παρὰ τῶν οἰκείων γονέων ἐσχήκασι, καὶ παραπλησίως οἱ νῦν ὄντες υἱοὶ σπουδάζουσι τοὺς τῶν γονέων λογισμοὺς θεραπεύειν, ἐπειδὴ καὶ αὐτοὶ γονεῖς ἐπιθυμοῦσι γενέσθαι καὶ ὑπὸ τῶν ἰδίων εὔχονται τιμηθῆναι παίδων* [31].

29. *Τὸ εἰπεῖν ὅτι ὁ υἱός μου ἀπόκληρος ἔστω, εἰ μὲν μόνος ἐστὶν, ἔῤῥωται. εἰ δὲ πολλοὶ, οὐδεὶς ἀποκληροῦται διὰ τὸ ὄνομα* [32].

ΤΙΤΛΟΣ λη'.

Περὶ ἐλευθεριῶν.

1. *Τῶν προσώπων ἄκρα διαίρεσίς ἐστιν αὕτη, ὅτι τῶν ἀνθρώπων οἱ μέν εἰσιν ἐλεύθεροι, οἱ δὲ δοῦλοι. καὶ τὴν μὲν ἐλευθερίαν, ἐξ ἧς ἡ τῶν ἐλευθέρων ἐπινενόηται προσηγορία, οὕτως ὁρίζεσθαι χρή. ἐλευθερία ἐστὶν εὐχέρεια φυσικὴ ἑκάστῳ συγχωροῦσα πράττειν ἃ βούλεται, εἰ μὴ νόμος ἢ βία κωλύῃ. βία μὲν, ἐπειδὴ βουλόμενόν τι πρᾶξαι, ὃ τοῖς νόμοις οὐκ ἀπηγόρευται, διακωλύει τὶς ἰσχύϊ μείζονι βιασάμενος· νόμῳ δὲ, ὅτε τιμωριῶν ἀπειλαῖς εἴργομαι πράττειν ἃ βούλομαι. οἰκέτην γὰρ ποιεῖν κατὰ γνώμην τὶ καὶ δεσπότου δέος ἐμποδίζει* [1].

2. *Δουλεία ἐστὶν ἐθνικοῦ νόμου διατύπωσις, ἐξ ἧς τις ὑποβάλλεται τῇ ἑτέρου δεσποτείᾳ ὑπεναντίον φυσικοῦ νόμου. ἡ γὰρ φύσις πάντας ἐλευθέρους προήγαγεν· ἡ δὲ τῶν πολέμων ἐπίνοια τὴν δουλείαν ἐφεῦρεν. ὁ γὰρ τοῦ πολέμου νόμος κτῆμα τῶν κρατούντων θέλει τοὺς νενικημένους ἐν δουλείᾳ εἶναι* [2].

3. *Οἱ δοῦλοι ἢ γίνονται ἢ τίκτονται. τίκτονται μὲν ἐκ τῶν ἡμετέρων θεραπαινίδων, γίνονται δὲ ἐκ τῶν ἐθνικῶν νο-*

---

[31] Nov. cit. ex Proch. h. t. c. 29. [32] Basil. XXXV, 8, 2.

[1] Theoph. Inst. I, 3 pr. et §. 1 ex Proch. XXXIV, 1. [2] Theoph. cit. §. 2 ex Proch. h. t. c. 2.

μίμων, τουτέστιν ἐκ τῆς αἰχμαλωσίας. ἡ μὲν τῶν δούλων τύχη οὐδεμίαν ἐπιδέχεται διαίρεσιν· οὐ γάρ ἐστιν εἰπεῖν ἐπ' αὐτῶν μᾶλλον ἢ ἧττον δοῦλον. ἐστὶν οὖν ἄτομος ἡ δουλεία. ἐπὶ δὲ τῶν ἐλευθέρων πολλὰς εὑρίσκομεν διαφοράς· ἢ γὰρ εὐγενεῖς εἰσιν ἢ ἀπελεύθεροι [3].

4. Ἡ αἰτία τῆς ἐλευθερίας ἅπαξ δοκιμασθεῖσα, εἴτε ἀληθὴς εἴτε ψευδὴς εἴη, οὐκ ἀναψηλαφᾶται [4].

5. Οἱ ἐλεύθεροι εἰς δύο διαιροῦνται, εἰς εὐγενεῖς καὶ ἀπελευθέρους. καὶ εὐγενής ἐστιν ὁ εὐθέως ἅμα τῷ τεχθῆναι ἐλεύθερος ὢν καὶ μήπω τοῦ ζυγοῦ τῆς δουλείας γευσάμενος, εἴτε ἐκ συνοικεσίου εὐγενοῦς τεχθῇ, εἴτε ἐκ δύο ἀπελευθέρων, εἴτε τὸ ἓν πρόσωπόν ἐστιν εὐγενὲς, τὸ δὲ ἕτερον ἀπελεύθερον [5].

6. Εἴ τις ἐξ ἐλευθέρας τεχθῇ μητρὸς, δούλου δὲ πατρὸς, εὐγενής ἐστιν, ὥσπερ ὁ ἐξ ἐλευθέρας μητρὸς καὶ ἀδήλου πατρὸς τουτέστιν ἀπὸ πορνείας τεχθείς. οὐδὲ βλάπτει τὴν τοῦ παιδὸς εὐγένειαν τὸ ἐκ πορνείας γενέσθαι τὴν σύλληψιν. ἀρκεῖ γὰρ ἐλευθέραν εἶναι τὴν μητέρα κατὰ τὸν τοῦ τοκετοῦ χρόνον, εἰ καὶ ὁ τῆς συλλήψεως καιρὸς οἶδεν αὐτὴν δούλην [6].

7. Ἡ ἐλευθέρα συλλαβοῦσα εἴπερ δουλωθῇ κατά τινας νόμῳ ἐγνωσμένας αἰτίας [καὶ] τέκῃ, ἐλεύθερον τὸ τεχθέν. ὁ γὰρ κυοφορούμενος οὐ βλαβήσεται ἐκ τῆς συμφορᾶς περιστάσης τὴν μητέρα [7].

8. Ἐάν τις δούλη οὖσα κατὰ τὸν καιρὸν ὃν συνέλαβε τῆς δουλείας ἐλευθερωθῇ, ὀλίγου δὲ χρόνου παραδραμόντος καταδουλωθῇ, εἶτα τέτοκε μετὰ τὴν καταδούλωσιν, κελεύομεν ἐλεύθερον εἶναι τὸ τικτόμενον. ἀρκεῖ γὰρ τῷ ἐν γαστρὶ ὄντι κατὰ τὸν μέσον καιρὸν ἐλευθέραν εἶναι τὴν μητέρα [8].

9. Δύναταί τις ἐλευθεροῦν τὸν ἑαυτοῦ δοῦλον ἢ ἐν ταῖς ἁγιωτάταις ἐκκλησίαις, ἢ ἐπ' ἄρχοντος, ἢ ἐπὶ φίλων, ἢ δι' ἐπιστολῆς, ἢ ἐν διαθήκῃ, ἢ ἐν οἱᾳδήποτε τελευταίᾳ βουλήσει [9].

10. Ἡ διάταξις κελεύει ἐπὶ πάσης ἐλευθερίας, εἴτε παρὰ στρατιώτου εἴτε παρὰ ἰδιώτου, εἴτε ζῶν ἐλευθερώσει τὶς τὸν ἐπίκοινον οἰκέτην εἴτε τελευτῶν, εἴτε ἥμισυ [εἴτε τρίτον εἴτε ὁσονδήποτε μέρος ἔχει τοῦ οἰκέτου], εἴτε δύο εἴτε πλείονές εἰσι κοινωνοὶ, ἀνάγκην αὐτοὺς ἔχειν τὰ ἴδια μέρη πιπράσκειν, ἢ αὐτῷ τῷ κοινωνῷ βουλομένῳ ἐλευθερῶσαι, ἢ τῷ κληρονόμῳ αὐτοῦ. ἐξέστω δὲ καὶ αὐτὸν τὸν οἰκέτην σὺν τῇ ἐλευθερίᾳ

[3] Theoph. cit. §. 4. 5 ex Proch. h. t. c. 3. [4] Theoph. Inst. I, 6, 6. [5] Theoph. I, 4 pr. ex Proch. h. t. c. 4. [6] Theoph. cit. ex Proch. h. t. c. 5. [7] Theoph. cit. ex Proch. h. t. c. 6. [8] Theoph. cit. ex Proch. h. t. c. 7. [9] Theoph. I, 5, 1 ex Proch. h. t. c. 8.

γράφειν κληρονόμον, ἵνα αὐτοῖς δώσῃ τὸ ἴδιον τίμημα. εἰ δὲ παραιτήσονται οἱ κοινωνοὶ πωλῆσαι τὸ ἴδιον μέρος καὶ λαβεῖν τὸ τίμημα, γενέσθω ὁ δοῦλος ἐλεύθερος μηδὲ τιμήματος διδομένου. τὸ δὲ πεκούλιον αὐτοῦ πάντες οἱ κοινωνοὶ ἐχέτωσαν κατὰ τὸ μέρος [τῆς δεσποτείας, ἐξουσίαν ἔχοντος τοῦ ἐλευθεροῦντος τὸ ἴδιον μέρος] τοῦ πεκουλίου παραχωρῆσαι τῷ ἐλευθερουμένῳ· τῶν πατρωνικῶν δικαίων ἁρμοζόντων ἐκείνῳ μόνῳ τῷ ἐλευθερώσαντι [10].

11. Ἐὰν δὲ ὁ δοῦλος λογοθεσίοις ὑπόκειται, ὁριζέτω ὁ ἄρχων χρόνον, οὗτινος ἐντὸς τὰ λογοθέσια ὁ δοῦλος ὀφείλει ὑποστῆναι καὶ παρασχεῖν εἴ τι χρεωστεῖ, καὶ οὕτως ἐλευθερωθῆναι. ἔστω δὲ τὸ τίμημα τοῦ δούλου, εἰ μὲν ἀτεχνής ἐστι, νομισμάτων ι̅· εἰ δὲ τέχνην ἐπίσταται, χωρὶς νοταρίου καὶ ἰατροῦ, νομισμάτων λ̅· ἐὰν δὲ νοτάριός ἐστιν ἢ ἰατρὸς, ἕως ξ̅· ἐὰν δὲ εὐνοῦχοι ὦσιν οἱ δοῦλοι μείζονες τῶν ι̅ ἐνιαυτῶν, χωρὶς τέχνης νομισμάτων ν̅· ἐὰν τέχνην ἴσασι, ο̅ νομισμάτων· ἐὰν δὲ τῶν ι̅ ἐνιαυτῶν ἥττονές εἰσι, λ̅ νομισμάτων. ἐὰν δὲ οἱ κοινωνοὶ παραιτήσωνται τὸ τίμημα λαβεῖν, λέγοντες ὅτι καὶ αὐτοὶ ἐλευθερῶσαι βούλονται, πάντες ἅμα ἐλευθερώσουσι, τοῦ πεκουλίου παρ᾽ αὐτοῖς μένοντος κατὰ τὸ μέρος τῆς δεσποτείας, τῶν δὲ δικαίων τῶν πατρωνικῶν πᾶσι τοῖς ἐλευθερωταῖς ὁμοίως ἁρμοζόντων [11].

12. Ἠράσθη τὶς δούλης ἀλλοτρίας, καὶ συνεφώνησεν πρὸς τὸν δεσπότην αὐτῆς ἄλλο ἀνδράποδον ὑπὲρ αὐτῆς δοῦναι, ἐὰν ἐλευθερώσῃ αὐτὴν ἢ αὐτῷ παραδώσῃ αὐτὴν εἰς τὸ ἐλευθερωθῆναι παρ᾽ αὐτοῦ. καὶ ὁ μὲν δεσπότης τῆς θεραπαίνης ἢ ἠλευθέρωσεν αὐτὴν ἢ παρέδωκε τῷ ἐρῶντι αὐτῆς. λαβὼν δὲ ἐκεῖνος τὴν θεράπαιναν καὶ συναφθεὶς αὐτῇ παῖδας ἔσχεν ἐξ αὐτῆς, οὐ δέδωκε δὲ εὐγνωμόνως τὸ ἀντ᾽ αὐτῆς ἀνδράποδον. ὅθεν προσῆλθεν ὁ τῆς θεραπαίνης ποτὲ δεσπότης, καὶ ἀντιγράφει πρὸς αὐτὸν ἡ διάταξις λέγουσα· ὁπότε θεματίζεις μεταξὺ σοῦ καὶ ἐκείνου, ὅντινα εἰς συνάφειαν τὴν θεράπαιναν τὴν σὴν ἑαυτῷ συζεῦξαι μνημονεύεις, ἀρέσαι καὶ συμφωνηθῆναι, ἵνα σοὶ ὑπὲρ αὐτῆς δώσῃ ἀνδράποδον, ὀφείλεις εἰδέναι, ὅτι ἐὰν ἠλευθέρωσας ἢ ἐκείνῳ παρέδωκας καὶ αὐτὸς ἠλευθέρωσεν, ἀνακλητέας τῆς ἐλευθερίας ἐξουσίαν οὐχ ἕξεις, ἀλλὰ μόνον, εἰ μήπω παρῆλθεν ὁ ὡρισμένος τῆς περὶ δόλου ἀγωγῆς χρόνος, τουτέστιν ἡ διετία, καὶ τὴν πίστιν τοῦ συμφωνηθέντος

[10] Cod. VII, 7, 1 ex Proch. h. t. c. 9. [11] Cod. cit. ex Proch. h. t. c. 10—12.

ῥήγνυσιν, ἐπιζητῆσαι ὀφείλεις τὴν περὶ δόλου σοι δοθεῖσαν ἀγωγήν. ἐὰν δὲ παρά σοι ἡ δεσποτεία τῆς θεραπαίνης ταύτης ἐναπομείνει, προσελθὼν τῷ ἄρχοντι τῆς ἐπαρχίας μετὰ τῶν ἐξ αὐτῆς γεννηθέντων δύνασαι αὐτὴν ἀναλαβεῖν, εἰ μή τις κινηθῇ περὶ τύχης αὐτῆς ζήτησις [12].

13. Ἐὰν ἐξέδωκεν ὡς ἐλευθέραν τὴν ἑαυτοῦ θεράπαιναν ὁ δεσπότης, ὁ δὲ ἐλεύθερος ὢν καὶ πιστεύσας τῷ διδοῦντι ταύτην ἔλαβεν, ἴσως καὶ προικῴων γενομένων συμβολαίων, ἢ μηδὲ γενομένων, τῆς δὲ γνώμης τὸ πρᾶγμα διοικηθείσης, οὐκ ἂν εἴη δίκαιον τὸν τοιοῦτον μὴ συνεστᾶναι γάμον· ἀλλὰ σιωπηρὰν ἐλευθερίαν ἀκολουθεῖν εἴτε τῷ ἀνδρὶ εἴτε τῇ γυναικὶ τοιούτου τινὸς παρὰ δεσπότου γεγονότος θεσπίζομεν, ἀναρπάζεσθαί τε τὸν τοιοῦτον ἢ τὴν τοιαύτην εἰς εὐγένειαν, καὶ τὸ πρᾶγμα ὡς ἐπ᾽ ἐλευθέροις τε καὶ εὐγνώμοσι κρίνεσθαι. εἰ δὲ αὐτὸς μὲν οὐ συναρμόσειεν τὸν γάμον ὁ θατέρου τῶν προσώπων δεσπότης, ᾔδει δὲ τὸ γινόμενον καὶ ἐπίτηδες ἀποκρύπτει, ἵνα ὕστερον πρᾶγμα ῥάψοιε τῶν συναφθέντων θατέρῳ, τὴν τοιαύτην τιμωρούμεθα τιμωρίαν εἴγε σαφῶς ἀποδειχθῇ, καὶ ἀφαιρούμεθα τὴν δεσποτείαν ἀπὸ τῶν τοιούτων πονηρῶς βεβουλευμένων· καὶ ἔστω πάλιν καὶ τοῦτο γάμος, ὥσπερ ἂν εἰ συνήνεσεν ὁ κεκτημένος τὴν ἀρχήν, καὶ ὁ μὲν ἐκπιπτέτω τῆς δεσποτείας, αὖθις δὲ εἰς εὐγένειαν ἁρπαζέσθω τὸ δοῦλον πρόσωπον. τοιούτου συμβαίνοντος ἀποτελέσματος, εἴπερ συνήνεσεν ἢ εἴπερ ἐκακούργησεν ὁ κεκτημένος, πρόδηλον οὖν, ὡς καὶ οἱ παῖδες οἱ ἐκ τῶν τοιούτων γάμων ἐλεύθεροί τε καὶ εὐγενεῖς ἔσονται [13].

14. Δοῦλος στρατευόμενος εἰδήσει τοῦ δεσπότου ἐλευθεροῦται [14].

15. Ὁ μηνύων τὸν φόνον τοῦ οἰκείου δεσπότου τὴν ἐλευθερίαν ἐχέτω ὡς ἔπαθλον [15].

16. Τὰ παρὰ τῶν δεσποτῶν ἐκτιθέμενα βρέφη εἰς ῥύμας ἢ εἰς ἐκκλησίας ἢ ἑτέρους τόπους, δουλικῆς καταστάσεως καθεστῶτα, ἐλεύθερα παραυτίκα εἶναι κελεύομεν, καὶ εἰ συμβῇ τις σύστασις ὑπάρχειν τῷ ἐνάγοντι εἰς τὸ δεῖξαι, ὅτι τὸ τοιοῦτον πρόσωπον διαφέρει τῇ αὐτοῦ δεσποτείᾳ [16].

17. Ὁ δεσπότης τὸν ἴδιον δοῦλον ἢ τὴν θεράπαιναν ὡς ἐλευθέραν συνάπτων πρὸς γάμον καὶ σιωπῶν, αὐτίκα εἰς εὐγένειαν ἀνατρέχουσι καὶ ἐλεύθεροί εἰσιν [17].

[12] Cod. II, 20, 4 ex Proch. h. t. c. 13. [13] Nov. 22 c. 11 ex Proch. h. t. c. 14. [14] Cod. XII, 33, 6 ex Proch. h. t. c. 15. [15] Cod. VII, 13, 1 ex Proch. h. t. c. 16. [16] Athan. XVIII, 7. [17] Athan. ib. parat. §. 7.

18. *Τὰ ἐξ ἐλευθέρας γαστρὸς τικτόμενα ἐλεύθερά εἰσιν, εἰ καὶ ἐναπόγραφος δουλείας ἐστὶν ὁ σπορεύς*[18].

19. *Περιφρονῶν ὁ δεσπότης τοῦ οἰκείου δούλου ἐν ἀῤῥωστίᾳ καὶ ἀπολύων, ἀπόλλυσι τὴν ἐπ' αὐτῷ δεσποτείαν καὶ ἔστω ἐλεύθερος*[19].

20. *Ὁ ἀναφωνῶν εἰς ἐλευθερίαν αὐτὸς δεικνύτω. εἰ δὲ μή, κατεχέσθω ἐν δουλείᾳ*[20].

21. *Ὁ ἐν νομῇ ὢν ἐλευθερίας*[21] *καὶ λέγων εὐγενὴς εἶναι, δείκνυσιν. εἰ δέ τις τὸν ἐν νομῇ ὄντα ἐλευθερίας ἀπελεύθερον ἢ δοῦλον εἶναι τοῦτον λέγει, δείκνυσιν. ἔξεστι γὰρ τῷ λέγοντι ἑαυτὸν εἶναι εὐγενῆ ὑφαρπάζειν τὰς ἀποδείξεις*[22].

22. *Ὁ βίᾳ τὸν ἐλεύθερον συλλαβόμενος καὶ δήσας, οὐκ ἔστι νομεύς*[23].

23. *Ὁ ἀπαιτῶν ὑπηρεσίας τινὰ ὡς ἀπελεύθερον, αὐτὸς δείκνυσιν*[24].

24. *Ἐάν τις ἀπὸ νομῆς δουλείας εἰς ἐλευθερίαν ἀναφωνήσῃ, ἀναγκάζεται δεῖξαι ἑαυτὸν εὐγενῆ, καὶ χρὴ τὸ γένος ἀποδεῖξαι καὶ τοῦτο διαβεβαιῶσαι*[25].

25. *Ἀπὸ τιμωρίας ἐλεύθερος οὐ καταδουλοῦται, κἂν εἰς μέταλλον δοθῇ*[26].

26. *Οὔτε εἰδότος οὔτε ἀγνοοῦντος οὔτε συναινοῦντος τοῦ δεσπότου ἔῤῥωται ὁ τοῦ ἐναπογράφου πρὸς τὴν ἐλευθέραν γάμος*[27].

27. *Ὁ στρατιώτης λεγατεύσας τῷ ἰδίῳ δούλῳ τὶ ἐλευθερίαν αὐτῷ χαρίζεται*[28].

28. *Λέοντος νεαρά. — Τοὺς ἐν δουλείᾳ συναφθέντας πρὸς γάμον, εἰ μὲν τὸν ἕτερον ὁ δεσπότης ἐλευθερίᾳ τιμήσῃ, μέχρι τελειώσεως αὐτοῦ καὶ βούλεται στέργειν τὸ συνοικέσιον, ἔστω ἄῤῥηκτον· εἰ δὲ τυχὸν ἐλεύθερος θαῤῥῶν τῇ ἐλευθερίᾳ πειραθῇ συναρπάζειν τὸ συνοικοῦν πρόσωπον εἰς τὴν οἰκείαν τύχην, ὑποκύπτειν τῷ ζυγῷ τῆς δουλείας ἕνεκα τῆς τοιαύτης ἀχαριστίας*[29].

29. *Ἐὰν ἐλεύθερος πρὸς δουλικὴν τύχην αἱροῖτο συμβιῶναι, ἢ ἐκδουλεύειν μέχρι τῆς τοῦ κυρίου τελευτῆς, ἢ τὴν ἐπιζητουμένην ἀποπληρῶσαι τῷ δεσπότῃ τιμήν· εἰ δὲ ἀπορῇ, ἵνα θητεύων κατ' ἔτος δίδωσι τῷ δεσπότῃ νομίσματα δύο*[30].

---

[18] Athan. l. c. [19] Athan. l. c. [20] Basil. XXII, 1, 8. [21] Lege *ἀπελευθερότητος*. [22] Basil. XXII, 1, 14. [23] Basil. eod. 20. [24] Basil. eod. 18. [25] Basil. eod. 54. [26] Athan. *π. διαφ. ἀναγν.* §. 13. [27] Athan. ibid. [28] Athan. ibid. §. 18. [29] Nov. Leonis 101. [30] Nov. Leonis 100.

30. *Πᾶς ὁ ἀναφωνῶν εἰς ἐλευθερίαν ἀπὸ δουλείας ἐν φόρῳ τοῦ λεγομένου δεσπότου δικάζεται* [31].

31. *Ἐὰν ἀγοράσας παρὰ νέου δοῦλον ἐλευθερώσῃ αὐτὸν, ἀργεῖ μὲν ἡ ἀποκατάστασις, ἔχει δὲ κατὰ τοῦ ἀγοραστοῦ ὁ νέος ἀγωγὴν εἰς τὸ διαφέρον* [32].

32. *Ἐκ τοῦ μ' βιβλίου τῶν κωδ.* — *Ὁ ἐπιβὰς τῆς τελευταίας ἡμέρας τοῦ κ̄ ἐνιαυτοῦ καλῶς ἐλευθεροῖ* [33].

33. *Κἂν μὴ ὅλην τὴν τιμὴν δῷ ὁ δοῦλος, ἀναπληροῖ δὲ αὐτὴν ἀπὸ καμάτου, καὶ ἐστὶν ἐλεύθερος* [34].

34. *Ὁ ὑπεύθυνος τιμωρίας οὐ καλῶς ἐλευθεροῖ* [35].

35. *Καὶ ὁ ἐλευθερῶν οἰκέτην νομίζων αὐτὸν ἀλλότριον, ἔῤῥωται ἡ ἐλευθερία* [36].

36. *Δύο ἐλάττονες τῶν κ̄ ἐτῶν δύνανται ἐλευθεροῦν τὸν ἐπίκοινον δοῦλον κἂν ὁ εἷς δείξῃ αἰτίαν, οὐκ ἐπὶ βήματος μόνον ἀλλὰ καὶ ἐν παρόδῳ, καὶ ἐν κώμῃ κἂν μὴ παρῇ τῷ ἄρχοντι ῥαβδοῦχος* [37].

37. *Τὸ ῥύσασθαι δεσπότην θανάτου ἢ ἀτιμίας αἰτία ἐλευθερίας ἐστίν* [38].

38. *Ἀλλότριον δοῦλον μηδεὶς ἐλευθερούτω* [39].

39. *Ὁ ἀπὸ πλαστῶν κωδικέλλων ἐλευθερωθεὶς καὶ χρυσίον διδοὺς τῷ κληρονόμῳ, ἐλεύθερός ἐστι διὰ τὸ τοῦ νόμου φιλελεύθερον* [40].

40. *Οἱ δοῦλοι οἱ τοὺς τὴν μονίτην ποιοῦντας ἐλέγχοντες ἐλεύθεροι γίνονται* [41].

41. *Ἐάν τις δούλην ἐν συναφείᾳ ἔχῃ μὴ ἔχων γαμετὴν, καὶ μένῃ μετ' αὐτῆς μέχρι τελευτῆς, εἴτε ἔχων παῖδας μετ' αὐτῆς εἴτε καὶ μὴ, καὶ μηδὲν εἴπῃ περὶ αὐτῆς ἐν διαθήκῃ, γίνεται ἐλευθέρα* [42].

42. *Ἰατρὸς ὢν ἀπελεύθερος, δύναται ὁ πάτρων τῆς αὐτῆς ἐπιστήμης ὢν κωλύειν τοῦ ἰατρεύειν, ἀλλὰ καὶ ἀκολουθεῖν αὐτόν· ἵνα μέντοι συγχωρῇ αὐτὸν [τὰς μεσημβρινὰς ἡσυχάζειν ὥρας]. εἰ δὲ μὴ βούλεται, παρέχει τῷ πάτρωνι τὰς παρ' αὐτοῦ γενομένας καινοτομίας* [43].

43. *Ὁ διὰ τὸ καταμηνύσαι τοῦ ἰδίου δεσπότου τὴν ἀναίρεσιν ἐλευθερωθεὶς οὐδενός ἐστιν ἀπελεύθερος* [44].

[31] Basil. VII, 5, 88. [32] Basil X, 4, 48. [33] Basil. XLVIII, 1, 1 (ex Dig. XL, 1, 1). [34] Basil. eod. 4 §. 10. [35] Basil. eod. 8. [36] Basil. XLVIII, 2, 4 §. 1. [37] Basil. eod. 6. 7. 8. [38] Basil. eod. 9 pr. [39] Basil. eod. 9 §. 1. [40] Basil. XLVIII, 3, 47 pr. [41] Basil. XLVIII, 18, 2. [42] Basil. XLVIII, 19, 3. [43] Basil. XLIX, 3, 25. [44] Basil. XLIX, 4, 3.

44. Ἀπελευθέρα παλλακευομένη ἢ νομίμως γαμουμένη τῷ πάτρωνι τῶν ὑπηρεσιῶν ἀπαλλάττεται [45].

45. Ὁ ἀπελεύθερος τῶν ὑπηρεσιῶν ἐλευθερούμενος καὶ λαβὼν ἐλευθέραν [τοῦ διατίθεσθαι ἐξουσίαν], χρεωστεῖ τιμὴν τῷ πάτρωνι καὶ πενόμενον αὐτὸν τρέφειν [46].

46. Ὁ λαβὼν δούλην ἐπὶ τῷ ἐλευθερῶσαι ἢ δοῦλον, οὐ δύναται οὔτε ὑπηρεσίας αὐτῷ ἐπιτιθέναι οὔτε ἀχάριστον αὐτὸν φαινόμενον ἀναδουλῶσαι [47].

47. Οἱ τῆς πατρωνίσσης παῖδες καὶ πορνογενεῖς ὄντες ἔχουσι κατὰ τοῦ ἀπελευθέρου αὐτῆς τὴν κατὰ τῆς διαθήκης ἐναντίωσιν· οἱ δὲ τοῦ πατρὸς νόμιμοι ὄντες [48].

48. Ἐὰν ἑκὼν τις γράψῃ ἑαυτὸν οἰκέτην, μηδὲν ἀδικεῖσθαι, πολλὰ δὲ μᾶλλον ἄκων [49].

49. Ὁ ἀπελεύθερος ἀγαγόμενος πρὸς γάμον τὴν θυγατέρα ἢ ἐκγόνην ἢ προεκγόνην τοῦ πάτρωνος, ἢ τὴν γενομένην αὐτοῦ γαμετὴν, αὐστηρῶς τιμωρεῖται [50].

50. Ὁ τοῦ κουράτωρος ἀπελεύθερος οὐ δύναται λαβεῖν τὴν κηδεμονευθεῖσαν ὑπὸ τοῦ πάτρωνος αὐτοῦ [51].

51. Ἐὰν ὁ ἀνὴρ ἐλευθερώσῃ τὸν προικιμαῖον δοῦλον ἀκούσης τῆς γυναικὸς, καὶ γραφῇ παρ' αὐτοῦ κληρονόμος, τὸ μὲν μέρος τὸ ἁρμόζον αὐτῷ ὡς πάτρωνι ἀποκαθίστησι, τὸ δὲ λοιπὸν διὰ τῆς ἀγωγῆς τῆς προικὸς, ἐὰν μέντοι ἡ γυνὴ ἐλευθεροῦντι ἀντέλεγεν [52].

52. Εἰ δὲ κατὰ γνώμην αὐτῆς ὡς δωρουμένης αὐτῆς ἠλευθέρωσεν, οὐ δύναται τοῦτον ἐπιζητεῖν, καὶ παύεται τῆς προικὸς εἶναι, διότι ἐπέτρεψεν αὐτὸν ἐλευθερῶσαι [53].

53. Οὐ κεκώλυται ὁ ἀνὴρ τοὺς προικιμαίους δούλους ἐλευθεροῦν ἐν συνεστῶτι τῷ γάμῳ, καὶ ἐν τῇ τελευτῇ, καὶ κατὰ ἀποκατάστασιν ἤγουν μετὰ χρόνους τινὰς, [καὶ] ἔτι ζῶν. καὶ ἔῤῥωται ἡ ἐλευθερία, κἂν τὰ μάλιστα ἁρμόσῃ τῷ πενθερῷ ἡ ἀπαίτησις τῆς προικὸς τελευτώσης ἐν τῷ γάμῳ τῆς γυναικός [54].

54. Οἱ ἀπελεύθεροι κατὰ μίμησιν τῶν εὐγενῶν εἰσι, καὶ εἰ σχοῖεν παῖδας μετὰ τὴν ἐλευθερίαν, ὑπεξουσίους αὐτοὺς ἔχουσιν, ἐν ᾧ ἀπὸ γάμων νομίμων εἰσίν [55].

55. Θεσπίζομεν, ὅσοι ἐν ἐκκλησίαις ἢ ἄλλοις τόποις ἀποῤῥιφέντες δειχθῶσι, τούτους πᾶσι τρόποις ἐλευθέρους εἶναι κε-

[45] Basil. XLIX, 3, 44. [46] Basil. eod. 39. [47] Basil. eod. 51. [48] Basil. XLIX, 4, 14. [49] Cod. VII, 16, 6. [50] Basil. XXVIII, 5, 31. [51] Basil. eod. 32. [52] Basil. XXVIII, 8, 58. [53] Basil. eod. 59. 60. [54] Basil. XXIX, 1, 90. [55] Basil. XXXI, 2, 9.

λεύομεν, εἰ καὶ ἀκριβής τις ἀπόδειξις ὑπάρχει τῷ ἐνάγοντι εἰς τὸ δεῖξαι, ὅτι τὸ τοιοῦτον πρόσωπον τῇ αὐτοῦ διαφέρει δεσποτείᾳ. εἰ γὰρ τοῖς ἡμετέροις προστέτακται νόμοις, ὥστε τοὺς νοσοῦντας οἰκέτας παρὰ τῶν δεσποτῶν καταφρονηθέντας, καὶ ὡς τῆς αὐτῶν ὑγιείας ἀπελπισθείσης ἐκ τῶν κεκτημένων ἐπιμελείας μὴ ἀξιουμένους, εἰς ἐλευθερίαν ἁρπάζεσθαι, πόσῳ μᾶλλον τοὺς ἐν αὐτῇ τῆς ζωῆς ἀρχῇ τῇ τῶν ἄλλων ἀνθρώπων καταλειφθέντας εὐσεβείᾳ καὶ παρὰ ἄλλων ἀνατραφέντας ἀνεξόμεθα εἰς ἄδικον δουλείαν καθέλκεσθαι; ἀλλὰ τούτοις τούς τε ὁσιωτάτους ἐπισκόπους [καὶ] τοὺς ἐνδοξοτάτους ἄρχοντας βοηθεῖν, καὶ τὴν ἐλευθερίαν αὐτοῖς ἐκδικεῖν θεσπίζομεν, μήτε τὰς ἐκ τῶν ἡμετέρων νόμων τῶν ταῦτα πραττόντων διαφευγόντων ποινὰς, οἷα πάσης ἀπανθρωπίας καὶ ὠμότητος πεπληρωμένων καὶ τοσοῦτον πάσης μιαιφονίας χείρονος, ὅσον ταύτην τοῖς ἀθλιωτέροις ἐπάγουσιν [56].

56. Οἱ ἀπὸ πειρατῶν καὶ λῃστῶν ληφθέντες ἐλεύθεροι μένουσιν [57].

57. Ἐκ τοῦ ε΄ τί. τῶν σχολ. [58]. — Ἐὰν ληφθείς τις ὑπὸ βαρβάρων ὑποστρέψῃ, παρὰ μηδενὸς κατεχέσθω εἰς δουλείαν.

58. Ἐὰν ἔγκυος κεφαλικῶς καταδικασθῇ, ἐλεύθερον τίκτει, καὶ οὐ τιμωρεῖται, ἕως ἂν τέκῃ. ἀλλὰ καὶ ἡ ἐξ ἐννόμου [γάμου] συλλαβοῦσα καὶ ὑποστᾶσα ὕδατος καὶ πυρὸς [ἀπαγόρευσιν], ῥωμαῖον τίκτει καὶ τῷ πατρὶ ὑπεξούσιον [59].

59. Ἴσμεν ἤδη τινὰ τῶν παλαιῶν διάταξιν παρακελευομένην τὰς τῶν τελευτώντων ἀδιαθέτως περιουσίας, οἷς κατὰ νόμους οὐχ ὕπεστι ἐξ ἀδιαθέτου κληρονόμος, ἐπὶ τὸ θεῖον ἡμῶν ταμιεῖον εἰσκομίζεσθαι. ἐν ᾧ πολλάκις καὶ οἰκετικὰ πρόσωπα συνυπενήνεγκται καὶ ὡς ἐντεῦθεν ἀδιάλυτον τὸν τῆς δουλείας ζυγὸν αὐτοῖς γνωρίζεσθαι. διὰ τοῦτο ἡ ἡμετέρα γαληνότης ἐλέῳ τε καὶ συμπαθεῖ ὄμματι ἀπὸ τῆς δεῦρο παρακελεύεται, πᾶν οἰκετικὸν ἀνῆκον ὡς ἐξ ἀδιαθέτου τῷ θείῳ ἡμῶν ταμιείῳ ἐν πάσῃ τῇ ἡμετέρᾳ πολιτείᾳ πρὸς ἐλευθερίαν εὐθὺς ἐφίεσθαί τε καὶ ἁρπάζεσθαι, καὶ τὰ τῶν ῥωμαίων κατὰ νόμους πολιτεύεσθαι καὶ τοῖς αὐτῶν οἰκέταις, κἂν ἐν μόνοις οἰκετικοῖς προσώποις ἡ πᾶσα οὐσία αὐτῶν καθεστήκοι. ὡς εἴ τίς γε τὴν τοιαύτην νομοθεσίαν παραβλέψειε, μὴ τύχοι ἐλευθερίας τῶν αὐτοῦ ἁμαρτημάτων [60].

---

[56] Basil. XXXIII, 2, 4. [57] Basil. XXXIV, 1, 15 §. 2. [58] In alio est: ἐκ τοῦ αὐτοῦ τίτλου. Non invenio locum, qui huc quadret. [59] Basil. XLVI, 1, 14. [60] Proch. XXXIV, 17.

60. *Περὶ ἀποτροφῆς.* — *Οἱ πάτρωνες καὶ οἱ ἀπελεύθεροι τρέφουσιν ἀλλήλους*[61].

61. *Ἐὰν ἀρνοῦνται οἱ ἀπελεύθεροι τρέφειν, τὰ περὶ τούτων ψηφίζεσθαι ἕνεκα τῆς ἀποτροφῆς ὁ δικαστής. ἡ δὲ ψῆφος τῆς ἀποτροφῆς οὐκ ἀναιρεῖται τὴν προκρίματος ζήτησιν τῶν ἀπελευθέρων*[62].

62. *Πρὸς τὴν οὐσίαν ἀποτρέφει τὸν ἄπορον πάτρωνα ὁ ἀπελεύθερος, οὐ μὴν εἰς τὰ μέγιστα*[63].

63. *Τοὺς παῖδας τοῦ πάτρωνος οὐ πάντοτε, ἀλλὰ τῆς αἰτίας διαγινωσκομένης τρέφει. καὶ αὐτοῖς γὰρ ὑπηρετικὴν ἀκολουθίαν χρεωστεῖ*[64].

64. *Ἀλλὰ καὶ ὁ μητρῷος ἀπελεύθερος τρέφει. ὁμοίως καὶ ἡ ἀπελευθέρα*[65].

65. *Ὁ πάτρων οὐκ ἀναγκάζεται τρέφειν τὸν ἀπελεύθερον. μὴ τρέφων δὲ αὐτὸν ἐκπίπτει τῶν διὰ τὴν ἐλευθερίαν ἐπιτεθέντων καὶ τοῦ πατρωνικοῦ δικαίου*[66].

66. *Ἐὰν ὁ ἐλεύθερος ἀποδειχθῇ βίαν ἐπαγαγεῖν τῷ πάτρωνι, ἢ σφοδρῶς τύψας ἢ ἐνδείᾳ ἢ ἀσθενείᾳ καταλιπὼν αὐτόν, πρῶτον μὲν οὕτως ὑποταγῇ, πιπρασκέσθω καὶ ἡ τιμὴ αὐτοῦ διδότω τῷ πάτρωνι*[67].

ΤΙΤΛΟΣ λθ'.

Περὶ λεγάτων.

1. *Ὁ λεγατάριος οὐ δύναται μέρος τὰ ἐν τῇ διαθήκῃ γραφόμενα καταδέχεσθαι καὶ μέρος παραιτεῖσθαι*[1].

2. *Ἀγέλης λεγατευθείσης καὶ τὰ προστεθέντα λαμβάνει ὁ λεγατάριος. [εἰ δὲ καὶ μειωθῇ κἂν εἰς ἕνα οὖν περιστῇ, λαμβάνει αὐτὸ ὁ λεγατάριος], εἰ καὶ ἐπαύσατο εἶναι ἀγέλη*[2].

3. *Καὶ οἴκου λεγατευομένου λαμβάνει ὁ λεγατάριος τὸ ἔδαφος*[3].

4. *Ἐὰν τὸ αὐτὸ ποσὸν λεγατευθῇ μοι ἐν διαθήκῃ καὶ κω-*

---

[61] Basil. XXXI, 6, 5 §. 18. [62] Basil. ibid. [63] Basil. ib. §. 19. [64] Basil. ib. §. 20. [65] Basil. ib. §. 21. 24. [66] Basil. ib. 6 pr. [67] Basil. ib. 6 §. 1. Legerim: *πρῶτον μὲν οὗτος ὑποταγέσθω τῷ πάτρωνι· εἰ δὲ μὴ οὕτως ὑπομνησθῇ, πιπρ. κτλ.*

[1] Dig. XXX, 38 pr. ex Proch. XXXV, 1. [2] Dig. eod. 21 ex Proch. h. t. c. 2. [3] Dig. cit. ex Proch. h. t. c. 3.

δικέλλῳ, ἑκάτερον ἄκυρον τοῦ διαθεμένου ἐν λήθῃ τοῦτο καταλιπόντος [4].

5. Ἐὰν κεχρεωστημένος παρά σου λεγάτον καὶ διαφόρως ἀντιχρεωστήσας σοὶ καταβάλλω μὴ ἀντιλογισάμενος, κατὰ χάριν δοκῶ τοῦτο συγχωρεῖν [5].

6. Ἐάν τις κτῆμα κατεξαίρετον τοῖς ἀδελφοῖς αὐτοῦ λεγάτον καταλιπὼν μετὰ ταῦτα καὶ ἄλλῳ τινὶ τὸ αὐτὸ κτῆμα λεγατεύσῃ, πάντες ἅμα συνιόντες οἱ λεγατάριοι τὸ κτῆμα λαμβάνουσιν [6].

7. Ἐλεγάτευσά σοι τὸν ἐμὸν οἰκέτην μετὰ τοῦ πεκουλίου αὐτοῦ. ἐπιζήσας τῇ ποιήσει τῆς διαθήκης ἠλευθέρωσα τὸν οἰκέτην ἢ ἐξεποίησα αὐτὸν ἢ συνέβη αὐτὸν τελευτῆσαι. οὐ μόνον ἐπ᾽ αὐτῷ ἀλλὰ καὶ ἐπὶ τῷ πεκουλίῳ τὸ λεγάτον ἀσθενεῖ. τῶν γὰρ πρωτοτύπων μὴ σωζομένων ὑφεστᾶναι οὐ δύναται τὰ παρακολουθήματα [7].

8. Ἐάν τινι μέρος τῆς οὐσίας λεγατευθῇ καὶ ὑφέληται τῆς κληρονομίας πρᾶγμα, ἐκπίπτει τῆς ἁρμοζούσης αὐτῷ τῶν λεγάτων ἀπαιτήσεως ἐφ᾽ οἷς παρακατέσχε πράγμασι, καὶ τούτων τὸ μέρος ἀπαιτεῖν οὐ δύναται [8].

9. Ἐὰν μέρος τῆς οὐσίας λεγατευθῇ τινι, ἐπιλογὴν ἔχει ὁ κληρονόμος, ἢ τὸ μέρος τοῦ πράγματος δοῦναι ἢ τὴν ἀποτίμησιν αὐτοῦ. τῶν γὰρ ἀδιαιρέτων πάντως τὸ τίμημα δίδωσιν [9].

10. Ἐὰν πολλὰ καὶ διάφορα πράγματα ἔχων λεγατεύσω σοὶ ἐξ αὐτῶν ἓν ἢ καὶ πλείω, μὴ δηλώσω δὲ ποῖον ἐξ αὐτῶν, ὁ κληρονόμος ἔχει τὴν ἐπιλογὴν, ἐφ᾽ ᾧ μέντοι μὴ τὸ χεῖρον δοῦναι τῷ λεγατευθέντι, ἀλλὰ τὸ μέσης ὑπάρχον ποιότητος [10].

ΤΙΤΛΟΣ μ΄.

Περὶ ἐπιτρόπων.

1. Ἐπιτροπεύονται κατὰ τὸν πολιτικὸν νόμον ἐλεύθεροι οἱ διφεντεύειν ἤτοι διεκδικεῖν ἑαυτοὺς διὰ τὴν ἡλικίαν μὴ δυνάμενοι [1].

---

[4] Haec et corrupta sunt, et unde sumta sint nescio. [5] Basil. XXII, 1, 26. [6] Cod. VI, 37, 7 ex Proch. h. t. c. 4. [7] Dig. XXXIII, 8, 1. 2 ex Proch. h. t. c. 5. [8] Cod. VI, 37, 5 ex Proch. h. t. c. 6. [9] Dig. XXX, 26 §. 2 ex Proch. h. t. c. 7. [10] Dig. eod. 37 ex Proch. h. t. c. 8.

[1] Dig. XXVI, 1, 1 pr. ex Proch. XXXVI, 1.

2. Ἐὰν ἔχῃ δίκην πρὸς τὸν ἐπίτροπον ὁ ὀρφανὸς, ἀναγκαζέτω αἰτεῖν ἑαυτῷ κουράτωρα [2].

3. Ἀλλὰ καὶ τῷ ἀλάλῳ δίδοται ἐπίτροπος [3].

4. Τῷ υἱῷ τοῦ αἰχμαλώτου ἐπίτροπος οὐ δίδοται, ἀλλὰ τῇ οὐσίᾳ κουράτωρ. ὑποστρέφοντος γὰρ τοῦ πατρὸς γίνεται αὐτοῦ ὑπεξούσιος, ὡς εἰ μηδέποτε ᾐχμαλωτίσθη [4].

5. Τῷ ἔχοντι ἐπίτροπον νοσοῦντα ἢ γέροντα δίδοται κουράτωρ, ὅστις διοικητὴς πραγμάτων μᾶλλόν ἐστιν. καὶ ὁ λεγόμενος βοηθὸς κινδύνῳ τῶν ἐπιτρόπων διὰ τοῦ ἄρχοντος προχειρίζεται [5].

6. Καὶ ὁ ἔπαρχος καὶ ὁ ἄρχων καὶ ὁ πρὸς καιρὸν ἐπιτραπεὶς ἐπαρχίας διοίκησιν, ἴσως τοῦ ἄρχοντος ἀποθανόντος, ἐπιτρόπους δύναται δοῦναι [6].

7. Οἱ στρατηγοὶ πάντες ἐπιτρόπους διδόασιν, ἀλλὰ μόνους τοὺς ὄντας ἐκ τῶν πόλεων αὐτῶν ἢ τῶν ὑπ᾽ αὐταῖς ἀγρῶν [7].

8. Προτιμῶνται τῶν θηλειῶν οἱ ἄῤῥενες εἰς τὰς ἐπιτροπὰς τελείας ἡλικίας ὑπάρχοντες, εἰ μὴ ἄρα μήτηρ ἢ μάμμη πρόσκειται. αὗται γὰρ προκαλοῦνται εἰς τὸ ἐπιτροπεύειν προτιμώμεναι παντὸς ἐπιτροπεύειν ὀφείλοντος, ἐξῃρημένων μόνων τῶν κατὰ διαθήκας ἐαθέντων [8].

9. Ὁ πλησιέστερος συγγενὴς ἐπιτροπεύει. εἰ δὲ πολλοὶ τὸν αὐτὸν ἐπέχουσι βαθμὸν, πάντες ἐπιτροπεύουσιν [9].

10. Τοὺς θεοφιλεστάτους ἐπισκόπους καὶ μοναχοὺς ἐκ μηδενὸς νόμου ἐπιτρόπους ἢ κουράτωρας οἱουδήποτε προσώπου γίνεσθαι συγχωροῦμεν [10].

11. Σχόλιον. — Ἐπιτρόπους φησὶ παίδων ὀρφανῶν καὶ τῆς οὐσίας αὐτῶν. τοῦτο γὰρ ὑπῆρχεν ἡ πρῴην ἐπιτροπὴ ἡ τῶν τοιούτων παίδων, καὶ τῆς αὐτῶν ὑποστάσεως ἔστ᾽ ἂν ἔφηβοι γίνωνται παντοῖα φροντὶς ἦν αὐτοῖς. ἐκ δὲ τῆς νῦν λεγομένης ἐπιτροπῆς, οἷον ὡς ἐπὶ τὸ πλεῖστον τῆς τοῦ τελευτήσαντος περιουσίας, οὐδαμῶς ὁ νόμος τοὺς ἐπισκόπους ἐκώλυσε. τοὐναντίον μὲν οὖν φησι ρλα΄ νεαρὰ, ὅτι κἂν ὁ διαθέμενος τοῦτο ἀπηγόρευσεν, ἀλλ᾽ οὖν ἐκ παντὸς ὁ ἐπίσκοπος τὰ εἰς εὐσεβεῖς αἰτίας ὑπ᾽ ἐκείνου καταλειφθέντα ἐποπτευέτω, πῶς

---

[2] Dig. eod. 3 §. 2 ex Proch. h. t. c. 2. [3] Dig. eod. 6 pr. ex Proch. h. t. c. 3. [4] Dig. eod. 6 §. 4 ex Proch. h. t. c. 4. [5] Dig. eod. 13 ex Proch. h. t. c. 5. [6] Dig. XXVI, 5, 1 pr. ex Proch. h. t. c. 6. [7] Dig. eod. 3 ex Proch. h. t. c. 7. [8] Nov. 118 c. 5 ex Proch. h. t. c. 8. [9] Nov. l. c. ex Proch. h. t. c. 9. [10] Nov. 123 c. 5 ex Epanag. IX, 1.

διοικεῖται, καὶ εἰ μὴ καλῶς προβαίνουσιν, αὐτὸς προνοητικῶς ἐνεργείτω [11].

12. Τοὺς πρεσβυτέρους καὶ διακόνους καὶ ὑποδιακόνους τῷ δικαίῳ καὶ μόνῳ τῆς συγγενείας εἰς ἐπιτροπὴν ἢ κουρατωρείαν καλουμένους τὴν λειτουργίαν ὑποδέχεσθαι συγχωροῦμεν [12].

13. Ποινὴ λέοντος. — Ὁ ἐπίτροπος, ὁ ἀντὶ πατρὸς καὶ μητρὸς τῆς ἐπιτροπευομένης παιδὸς ὤν, φθορεὺς ἀναφανεὶς ἐξορίζεται καὶ τῆς ὑπάρξεως αὐτοῦ ἀποστερεῖται. τοῦτο δὲ ἡ παροῦσα νεαρὰ καινίζει τὸ μὴ τὸν δημόσιον τὴν ὕπαρξιν ἐγκολποῦσθαι τοῦ φθορέως, ἀλλὰ τῇ φθαρείσῃ παιδὶ προσπορίζεσθαι καὶ ταύτῃ δίδοσθαι, μῶμόν τινα τούτου τοῦ νόμου ἀποτριβομένη [13].

14. Ἐκ τοῦ ε' βι. τοῦ κώδ. τί. ξβ'. — Οὐδεὶς ἀναγκάζεται τοῦ αὐτοῦ κουρατωρεύειν, οὗπερ καὶ ἐπετρόπευσεν [14].

15. Καὶ αὐτεξούσιος δίδοται ἐπίτροπος, καὶ δοῦλος ἴδιος, καὶ ἐπακολουθεῖ σιωπηρὰ ἐλευθερία. ἀλλοτρίῳ δὲ δούλῳ οὐ δίδοται, ἀλλ' ὑπὸ αἵρεσιν, ὅτε ἐλευθερωθῇ [15].

16. Οἱ ἄνηβοι χωρὶς τῶν ἐπιτρόπων πράττοντες οὐδὲν δοκοῦσι δύνασθαι ἢ γινώσκειν [16].

17. Ἐὰν διαλύσωμαι πρὸς τοὺς ἐπιτρόπους μου περὶ τοῦ ἐμοῦ μέρους, οὐ κωλύομαι κινεῖν κατ' αὐτῶν ἐκ προσώπου τοῦ ἀδελφοῦ μου κληρονομῶν αὐτόν [17].

18. Ἐὰν ἡ μήτηρ ἐπαγγέλληται μὴ δευτερογαμῆσαι [18], κληρονομείτω τὸν υἱὸν ἄνηβον τελευτῶντα, μηδὲ ἐὰν ὑποκατάστατος ἐδόθη αὐτὴ παρὰ τοῦ πατρὸς, εἰ μὴ ἄρα πρότερον αὐτῷ ἐπίτροπον αἰτήσει καὶ ἀποκαταστήσει τὰ ἐκ τῆς ἐπιτροπῆς χρεωστούμενα [19].

19. Ἡ μήτηρ ἐπιτραπεῖσα παρὰ τοῦ ἀνδρὸς ζεῦξαι τὴν θυγατέρα ᾧτινι βούλεται, οὐ δύναται τὸν ἐπίτροπον ἐπιλέγεσθαι ἢ τὸν τοῦ πατρὸς δοῦλον ἢ ἀπελεύθερον [20].

20. Ἐὰν ὁ ἀπελεύθερος ἐπιτροπεύων ἀγάγηται τὴν ὀρφανὴν ἢ ζεύξῃ τῷ υἱῷ αὐτοῦ, ἐξορίζεται [21].

21. Οὐ δύναται ὁ ἐπίτροπος τὸν ἐπιτροπευθέντα παρ' αὐτοῦ λαμβάνειν εἰς θέσιν [22].

---

[11] Scholium a. ad Epan. l. c. [12] Nov. 123 c. 5 ex Epanag. IX, 2. [13] Nov. Leonis 34. [14] Cod. V, 62, 20. [15] Cf. Inst. I, 14. Dig. XXVI, 2, 10. Cod. V, 28, 5. [16] Cf. Inst. III, 19, 9. [17] Basil. XI, 2, 9. [18] Nonnulla hic excidisse videntur. [19] Nov. 22 c. 40. [20] Basil. XXVIII, 5, 29. [21] Basil. eod. 30. [22] Basil. XXXIII, 1, 17 pr.

22. Ὁ ἐπιτροπεύων τοῦ ἰδίου προγονοῦ καλῶς αὐτὸν υἱοθετεῖται [23].

23. Οἱ τὰς ἐγγύας τῶν ἐπιτρόπων λαμβάνοντες δεικνύουσιν αὐτοὺς εὐπόρους εἶναι κατὰ τὸν καιρὸν ὃν ἐδίδοντο [24].

24. Ἐκ τοῦ α΄ βι. τοῦ κώδ. τί. κδ΄. — Ὁ ἐν διαθήκῃ δοθεὶς ἐπίτροπος ἱκανὰ διδόναι οὐκ ἀναγκάζεται [25].

ΤΙΤΛΟΣ μα΄.

Περὶ τοῦ πότε δεῖ ἐνάγειν τοὺς δανειστὰς κατὰ τῶν κληρονόμων τῶν τελευτησάντων.

1. Θεσπίζομεν μηδενὶ παντελῶς ἐξεῖναι ἢ τοὺς κληρονόμους τοῦ τελευτήσαντος ἢ τοὺς γονεῖς ἢ τοὺς παῖδας ἢ τὴν γαμετὴν ἢ συγγενεῖς ἢ ἄλλους αὐτοῦ προσγενεῖς ἢ ἐγγυητὰς πρὸ τῆς τῶν θ̅ ἡμερῶν προθεσμίας, ἐν αἷς πενθεῖν δοκοῦσιν, αἰτιᾶσθαι ἢ καθ᾽ οἱονδήποτε τρόπον παρενοχλεῖν, ἤ τινα ὑπόμνησιν αὐτοῖς ἐπιφέρειν, ἢ ἐν δικαστηρίῳ αὐτοὺς καλεῖν, εἴτε ὀνόματι χρέους παρὰ τοῦ τελευτήσαντος καταγομένου εἴτε ἄλλης οἱασοῦν αἰτίας χάριν εἰς τὰ μνημονευθέντα ἰδικῶς ὁρώσης πρόσωπα [1].

2. Εἰ δέ τις ἐντὸς τῶν θ̅ ἡμερῶν τολμήσῃ κρατῆσαί τινα τῶν εἰρημένων προσώπων, ἢ μεθοδεῦσαί τινα ὁμολογίαν ἢ ὑπόσχεσιν, ἢ ἐγγύην παρ᾽ αὐτοῦ κομίσασθαι, ταῦτα πάντα ἀνίσχυρα εἶναι θεσπίζομεν [2].

3. Μετὰ δὲ τὴν τῶν θ̅ ἡμερῶν παραδρομὴν εἴ τις κατὰ τῶν τοιούτων προσώπων ἔχειν νομίσῃ ἐναγωγὰς, ταύτας κατὰ τοὺς νόμους ἐγγυμναζέτω· μηδενὸς δηλαδὴ τοῖς ἐνάγουσι προκρίματος ἐκ ταύτης τῆς προθεσμίας περὶ χρονίας παραγραφῆς ἢ ἄλλης οἱασδήποτε δικαιολογίας παντελῶς γινομένου [3].

---

[23] Basil. eod. 28 (32) §. 1. [24] Basil. XXII, 1, 11. [25] Inst. I, 24 pr.
[1] Nov. 115 c. 5 §. 1 ex Proch. XXXVII, 1. [2] Nov. cit. ex Proch. h. t. c. 2. [3] Nov. cit. ex Proch. h. t. c. 3.

ΤΙΤΛΟΣ μβ'.

Περὶ καινοτομιῶν.

1. Καινὸν ἔργον ποιεῖ τις ἢ διὰ τὸ οἰκοδομεῖν ἢ διὰ τὸ καταλύειν τὶ καὶ τὴν προτέραν ὄψιν ἐναλλάσσειν [1].

2. Τῷ δούλῳ κτίζοντι καλῶς παραγγέλλει τίς. δοῦλος δὲ ἑτέρῳ κτίζοντι παραγγέλλειν οὐ δύναται [2].

3. Ἐὰν πολλῶν τινων ᾖ τὸ πρᾶγμα, περὶ ὃ γίνεται τὸ ἔργον, εἰ καὶ ἑνὶ μόνῳ παραγγελθῇ, ὀρθῶς γίνεται ἡ παραγγελία καὶ δοκεῖ πρὸς πάντας τοὺς δεσπότας γεγονέναι. εἰ δὲ εἷς ἐκ τῶν δεσποτῶν μετὰ τὴν παραγγελίαν ἐποικοδομῇ, οὐκ ἐνάγονται περὶ τούτου οἱ ἄλλοι· οὐδὲ γὰρ χρὴ τὰ παρὰ ἑτέρου γινόμενα βλάπτειν τοὺς μηδὲν πεποιηκότας [3].

4. Προστάττομεν, ὁ τὸν παλαιὸν οἶκον ἀνανεῶν τὸ ἀρχαῖον σχῆμα μὴ παρεξίτω μηδ' ἀφαιρείσθω τὰ φῶτα ἢ τὴν ἄποψιν τῶν γειτόνων, εἰ μὴ ἄρα δουλείαν ἔχει τοιαύτην κατὰ σύμφωνον ἢ ἐπερώτησιν παραχωρηθεῖσαν αὐτῷ ἢ ἐπιτρέπουσαν ὡς βούλεται τὸ παλαιὸν ἐπιτρέπειν σχῆμα. ὁ γὰρ τοιαύτην ἔχων δουλείαν ἀκωλύτως ἃ βούλεται οἰκοδομείτω, εἰ καὶ βλάπτει τοὺς γείτονας, ἐπειδὴ τοῦτο κατὰ σύμφωνον ἢ ἐπερώτησιν αὐτῷ ἐπιτέτραπται. ἡνίκα δὲ δύο οἶκοι ἄντικρυ ἀλλήλων εἰσὶ, χρὴ μεταξὺ αὐτῶν δώδεκα πόδας εἶναι, ἀρχομένους ἀπὸ τοῦ ἐπικειμένου τῶν θεμελίων οἰκήματος καὶ μέχρι παντὸς τοῦ ὕψους φυλαττομένους. [τούτου γὰρ τοῦ διαστήματος φυλαττομένου] ἔξεστιν ἑκάστῳ εἰς ἄπειρον ὕψος τὸν ἴδιον ἐγείρειν οἶκον καὶ θύρας ἐν αὐτῷ παρακυπτικὰς κατασκευάζειν, εἴτε νέον οἰκοδομεῖ εἴτε παλαιὸν ἢ τὸν ἐκ πυρὸς διαφθαρέντα [4].

5. Ἐν ταύτῃ τῇ εὐδαίμονι πόλει ἄποψιν τοῦ γείτονος δώδεκα μόνους ἀπαιτῶν πόδας μὴ ἀφαιρείσθω, ἐὰν ἐξ εὐθείας ὁρᾷ τὴν θάλασσαν ἑστὼς ἐν τοῖς ἰδίοις οἴκοις ἢ καθήμενος ἐν αὐτοῖς καὶ μὴ ἀναγκαζόμενος παρατρέπειν ἑαυτὸν εἰς πλάγιον, ἐφ' ᾧ ἰδεῖν τὴν θάλασσαν. ἐὰν δὲ ρ̅ ποδῶν ἐν μέσῳ τῶν δύο οἴκων εἴη διάστημα, ἐξέστω ἀκωλύτως κτίζειν τῷ βουλομένῳ καὶ τὴν ἐπὶ θάλασσαν ἄποψιν ἀφαιρεῖσθαι τοῦ γείτονος [5].

6. Ἐὰν δέ τις ἀπὸ μαγειρείου ἢ ἀπὸ ἀφεδρῶνος ἢ ἀπὸ κλίμακος ἢ ἀπὸ βαστερνίων ἤγουν τῶν λεγομένων διαβατικῶν

---

[1] Dig. XXXIX, 1, 1 §. 11 ex Proch. XXXVIII, 1. [2] Dig. eod. 5 §. 1 ex Proch. h. t. c. 2. [3] Dig. eod. 5 §. 5 ex Proch. h. t. c. 3. [4] Cod. VIII, 10, 12 ex Proch. h. t. c. 4. [5] Cod. eod. ex Proch. h. t. c. 5.

ἤτοι παρόδων ἄποψιν ἐπὶ θάλασσαν ἔχει, τὴν τοιαύτην ἄποψιν καὶ ἐντὸς ρ̅ ποδῶν οἰκοδομῶν ἀκωλύτως ἀφαιρεῖται, εἰ μόνον ι̅β̅ πόδες εἰσὶν ἐν μέσῳ τῶν δύο οἴκων. εἰ δὲ καὶ σύμφωνόν ἐστιν ἐπιτρέπον τινὶ τὴν οἰκοδομὴν, κρατείτω τὸ σύμφωνον, εἰ καὶ βλάπτῃ τὸν γείτονα περὶ θαλάσσης ἄποψιν, εἴτε αὐτὸς ὁ νῦν δεσπόζων τοῖ οἴκου συνεφώνησεν εἴτε οἱ προκτησάμενοι αὐτοῦ τὸν οἶκον· οὐδὲ γὰρ προσήκει τὰς ὑπαρχούσας τινὶ δουλείας διὰ τῶν γενικῶν νόμων ἀναιρεῖσθαι[6].

7. Δουλείαν ἐπιτιθέναι τοῖς ἐπικοίνοις οἰκήμασιν ὁ εἷς τῶν κοινωνῶν παραγνώμην τοῦ ἑτέρου οὐ δύναται[7].

8. Κατὰ δένδρων μέντοι καὶ κήπων δουλεία ἀπόψεως μὴ φυλάττεται[8].

9. Ὅτε μέσου ὄντος στενωποῦ ἢ πλατείας οἰκοδομεῖ τις τὸν ἑαυτοῦ οἶκον, εἰ καὶ πλεῖον ἔχει τῶν ι̅β̅ ποδῶν τὸ τοῦ στενωποῦ ἢ τῆς πλατείας, μὴ ἀφαιρείσθω τὸ περιττὸν καὶ τῷ ἰδίῳ οἴκῳ προστιθέτω. οὐ γὰρ ἐπὶ βλάβῃ τοῦ δημοσίου τοὺς ι̅β̅ πόδας ὥρισεν ἡ διάταξις, ἀλλ᾽ ὥστε μὴ στενώτερον τῶν ι̅β̅ ποδῶν εἶναι τὸν μεταξὺ τῶν οἴκων ἀέρα. ὅτε δὲ πλεῖον εὑρεθῇ τὸ τῆς ῥυμίδος ἢ πλατείας μέτρον, μηδὲν ἐξ αὐτοῦ ἀφαιρείσθω, ἀλλὰ τῇ πόλει περισώζεσθαι τὰ οἰκεῖα. ἐὰν δὲ παλαιῶν ὄντων τῶν οἴκων εὑρεθῇ μεταξὺ αὐτῶν καθαρὸς ἀὴρ στενώτερος ὢν τῶν ι̅β̅ ποδῶν, μηδένα τούτων ἐξέστω παρὰ τὸ παλαιὸν σχῆμα ὑψοῦν τὸν ἴδιον οἶκον ἢ θυρίδας ποιεῖν[9].

10. Εἰ μέντοι πόδες ι̅ ὑπῆρχον μέσον καὶ μὴ ἐλάττονες, τότε παρακυπτικὰς μὲν μὴ ἐξέστω τῷ κτίζοντι ποιεῖν, [εἰ μὴ πρότερον εἶχεν αὐτὰς, φωταγωγοὺς δὲ ἐξέστω αὐτῷ ποιεῖν] ἀπὸ ϛ̅ ποδῶν τοῦ πάτου ἀνοιγομένας· μηδενὸς δυναμένου ποιεῖν ψευδοπάτιον ἐν τῷ ἰδίῳ οἴκῳ καὶ δι᾽ αὐτοῦ τὴν φωταγωγὸν θυρίδα κατασκευάζειν παρακυπτικήν[10].

11. Τὸν ἐπίκοινον τοῖχον οὐδέτερος τῶν κοινωνῶν δύναται καταλύειν ἢ ἀνανεοῦν παραγνώμην τοῦ κοινωνοῦ, ἐπειδὴ οὐκ ἔστι μόνος δεσπότης[11].

12. Ἀπὸ γυμνοῦ τόπου οὐκ ἔστι κώλυσις τὸ ὑψοῦν[12].

13. Ἐὰν τὸν πεσόντα οἶκον ἀνανεῶν τις βούληται ὑψῶσαι καὶ ἐμποδίσαι τοὺς τοῦ γείτονος φῶτας, ἢ ἕτερόν τι ποιῆσαι ἐπὶ βλάβῃ τοῦ γείτονος, ἀναγκάζεται καὶ τὸν τύπον καὶ τὴν

---

6 Cod. eod. ex Proch. h. t. c. 6. 7 Dig. VIII, 1, 2 ex Proch. h. t. c. 7.
8 Cod. VIII, 10, 12 ex Proch. h. t. c. 8. 9 Cod. eod. ex Proch. h. t. c. 9.
10 Cod. eod. ex Proch. h. t. c. 10. 11 Dig. VIII, 2, 8 ex Proch. h. t. c. 11.
12 Dig. eod. 9 ex Proch. h. t. c. 12.

κατάστασιν τῶν πρώην οἰκημάτων καὶ τὸ παλαιὸν σχῆμα φυλάττειν, εἰ μὴ σύμφωνόν ἐστιν [13].

14. Οὗτινος τὰ οἰκήματα δικαίῳ δουλείας οὐχ ὑπόκεινται, ἐν τῇ ἐξουσίᾳ τούτου ἐστὶν εἰς ἄπειρον ταῦτα ὑψοῦν, ἐν ᾧ μέντοι τὰ ὑποκείμενα οἰκήματα τοῦ γείτονος μὴ βαρύνῃ δουλείᾳ βαρυτέρᾳ, παρ' ἣν φέρειν ὀφείλουσιν [14].

15. Οὐ καλῶς τις κωλύει τὸν γείτονα αὐτοῦ ἀνοίγοντα πυλεῶνα κατὰ τῆς δημοσίας ἐντὸς τοῦ ἀπὸ τῶν κεράμων αὐτοῦ σταλαγμοῦ, ἐν ᾧ μὴ βλάπτει τὴν πάροδον [15].

16. Ἐὰν ἡ πηγὴ, ἀφ' ἧς ἕλκει τὶς ὕδωρ, ξηρανθεῖσα ἐπί τινας χρόνους, αὖθις πρὸς τὰς ἑαυτῆς ἐπανέλθῃ φλέβας, καὶ πάλιν τὸ ὕδωρ ἄρξηται φέρεσθαι, ἀνανεοῦται αὐτῷ ἡ δουλεία, καὶ ἀποκαθίσταται αὐτῷ ὁ τοῦ ὕδατος ἑλκυσμὸς, καθὼς ἦν τὸ πρότερον [16].

17. Οὔτε φοῦρνον οὔτε ἑστίαν εἰς τὸν ἐπίκοινον τόπον δύναταί τις ποιεῖν, εἰς ὃν τὸ πῦρ καταβλάπτει [17].

18. Ἐάν τις ποιήσῃ τυρέψειον, ἐξ οὗ καπνὸς ἐκπεμπόμενος καταβλάπτει τοὺς ἐν αὐτοῖς ὑψηλοτέρως οἰκοῦντας, δύνανται κατὰ νόμους οἱ βλαπτόμενοι κωλύειν αὐτὸν εἰσπέμπειν τὸν καπνόν. ἀλλὰ καὶ τὸ ἀνάπαλιν, εἰ οἱ ἐν ταῖς ὑψηλοτέραις στέγαις οἰκοῦντες ὕδωρ ῥίπτουσι ἢ κόπρον καὶ βλάπτουσι τοὺς ἐν τοῖς χθαμαλωτέροις οἰκοῦντας, κωλύονται τοῦτο ποιεῖν. ἐπὶ τοσοῦτον γὰρ ἔξεστί τινι ποιεῖν τι ἐν τοῖς ἑαυτοῦ, ἐφ' ὅσον ἕτερον μὴ καταβλάπτῃ. τὸ αὐτὸ καὶ περὶ δυσωδίας [18].

19. Ἐὰν ὁ τοῖχός σου κατὰ τὸν οἶκόν μου κλίνῃ ἥμισυ ποδὸς, ἀναγκάζω σὲ ἀνορθοῦν αὐτόν [19].

20. Ἐὰν δένδρον τοῦ γείτονος ἐν τῷ μεσαυλίῳ κείμενον μεγάλας ἐκτεῖναν ῥίζας τοὺς θεμελίους τῆς ἐμῆς οἰκίας βλάπτῃ, προνοίᾳ τοῦ ἄρχοντος ἀναγκαζέσθω ὁ γείτων ἐκτεμεῖν [20].

21. Ἐάν τις κατὰ ἀλλοτρίου τοίχου κατὰ βίαν θυρίδα ποιήσῃ, ἀναγκάζεται ἰδίοις ἀναλώμασιν τὸ ἀρχαῖον ἀποκαταστῆσαι σχῆμα [21].

22. Οὐδεὶς δύναται κόπρον πλησίον τοῦ ἀλλοτρίου τοίχου ἔχειν, εἰ μὴ τοιαύτην δουλείαν ἔχοι [22].

---

[13] Dig. eod. 11 pr. ex Proch. h. t. c. 13. [14] Dig. eod. 24 ex Proch. h. t. c. 14. [15] Dig. eod. 41 §. 1 ex Proch. h. t. c. 15. [16] Dig. VIII, 3, 34 §. 1 et 35 ex Proch. h. t. c. 16. [17] Dig. VIII, 2, 13 pr. ex Proch. h. t. c. 17. [18] Dig. VIII, 5, 8 §. 5 ex Proch. h. t. c. 18. [19] Dig. eod. 17 pr. ex Proch. h. t. c. 19. [20] Cod. VIII, 1, 1 ex Proch. h. t. c. 20. [21] Cod. III, 34, 8 ex Proch. h. t. c. 21. [22] Dig. VIII, 5, 17 §. 2 ex Proch. h. t. c. 22.

23. Ἐάν τις γένηται χρεία ὑπαλλαγῆς ὀστράκων σωληναρίων τῶν καθεδρίων, ἕκαστος ἀπὸ τοῦ ἰδίου καθεδρίου ἀρχόμενος διορθούσθω, μέχρις ἂν φθάσῃ ἑτέρου γείτονος καθέδριον [23].

24. Τοὺς ὑπονομιαίους καράβους οὕτως δεῖ καθαίρειν καὶ ἐπανορθοῦν· ἀρχόμενος ἕκαστος ἀπὸ τοῦ ἰδίου τόπου μέχρις ἂν φθάσωσιν ἑτεροδέσποτον τὸν τόπον ἢ χριστήριον, κατὰ ἀναλογίαν τῶν ἀνωτέρως ῥηθέντων, καὶ ὄντων ἐν τοῖς κατάγουσιν ἐπικοίνων καθεδρίων. εἰ δὲ καὶ κῆπον παρέρχεται ὁ αὐτὸς ὑπονομιαῖος κάραβος, τὸν κύριον τοῦ κήπου ὀρύσσειν τὴν ἀρδευομένην γῆν καὶ ἀνακαθαίρειν τοὺς νεμομένους, τῆς προνοίας ὀφειλούσης γίνεσθαι ἐκ τοῦ τὸν κῆπον νεμομένου τὸ τὴν σαπρίαν ἔξω παρ᾽ αὐτοῦ ῥίπτεσθαι [24].

25. Οὐ συνίσταται τοιοῦτον εἶδος δουλείας, ὥστε μὴ ἐξεῖναί με ἐν τῷ οἴκῳ μου τὴν ἑστίαν ἀνάπτειν ἢ πῦρ ἀνάπτειν ἢ καθέζεσθαι ἢ λούεσθαι. ὅθεν κἂν ταῦτα συμφωνηθῇ, ἀνίσχυρα κατὰ νόμον εἰσίν [25].

26. Τοῦ μὴ ἐξεῖναί τινι καπνὸν ἀπὸ ποδεψίου ἢ καπνοδόχον βαλανείου ἐπιπέμπειν τῷ γείτονι, ἢ ὕδωρ ῥίπτειν, εἶδος δουλείας ἐστίν [26].

27. Ἐὰν χρεωστῶ σοι δουλείαν τοῦ μὴ κτίσαι καὶ κτίσω, καὶ παρέλθῃ μακρὸς καὶ ἀνέγκλητος χρόνος, ἀναιρεῖταί σοι ἡ κατ᾽ ἐμοῦ δουλεία τῷ χρόνῳ [27].

28. Κλίμακα τοῦ ἐπικοίνου τοίχου πλησίον δύναμαι στῆσαι. οὐδεμία γὰρ ἐντεῦθεν προσγίνεται βλάβη, διὰ τὸ τὴν ἀφαίρεσιν αὐτῆς εὔκολον εἶναι [28].

29. Ἐὰν χρεωστῇς μοι τοιαύτην δουλείαν, ὥστε μὴ ἐξεῖναί σοι εἰς ὕψος αἴρειν τὴν σὴν οἰκίαν, ἵνα μὴ ἐμποδίσῃς τῷ φωτὶ τῆς ἐμῆς οἰκίας, ὅπερ διὰ τῶν θυρίδων τῶν οὐσῶν ἐν τῷ ἐμῷ τοίχῳ χορηγεῖταί μοι· ἐγὼ δὲ ἐποφειλόμενος τὴν δουλείαν ἐπὶ ῑ καὶ κ̄ ἔτη ἥλωσα τὰς ἐμὰς θυρίδας ἢ ἀνῳκοδόμησα αὐτὰς τουτέστιν ἔφραξα, καὶ ἔμεινε τοῦτο τὸ σχῆμα ἐπὶ τοῖς εἰρημένοις χρόνοις, τηνικαῦτα διαφθείρεται τὸ τῆς δουλείας δίκαιον, ἡνίκα ὕψωσας σὺ τὴν σὴν οἰκίαν, καὶ ἔμεινεν αὕτη εἰς ὕψος ἀρθεῖσα χρόνον δεκαετῆ ἢ εἰκοσαετῆ. [ἰδοὺ γὰρ ἐνταῦθα κἀγὼ τῇ] δουλείᾳ οὐκ ἐχρησάμην ἐν τῷ πεφραγμένας ἔχειν τὰς θυ-

---

[23] Proch. h. t. c. 23. [24] Proch. h. t. c. 24. [25] Dig. VIII, 5, 8 §. 6 ex Proch. h. t. c. 25. [26] Dig. eod. 8 §. 7 ex Proch. h. t. c. 28. [27] Dig. XLI, 3, 4 §. 29 ex Proch. h. t. c. 29. [28] Dig. VIII, 2, 19 §. 2 ex Proch. h. t. c. 30.

ρίδας, [καὶ σὺ] σαυτῷ περιεποίησας τὴν ἐλευθερίαν ἐν τῷ ἀνυψῶσαί σε· διὸ ἀπώλετό μου ἡ δουλεία. εἰ μέντοι ἐμοῦ κεκλεισμένας ἔχοντος τὰς θυρίδας ἐπὶ τοσοῦτον χρόνον οὐδὲν ὑπό σου γέγονε καινότερον, τουτέστιν οὐκ ἀνύψωσας τὸν σαυτοῦ οἶκον, ἀκέραιός μοί ἐστιν ἡ δουλεία, καὶ ἐὰν ἀνοίξω τὰς θυρίδας μετὰ ῑ καὶ κ̄ ἔτη, σὺ δὲ θέλεις ἀνυψῶσαι, δύναμαί σε κωλύειν διὰ τὸ προσόν μοι δίκαιον [29].

30. Ἐὰν παραχωρηθῇ μοι δουλεία, ὥστε ἐξεῖναί μοι τὰς ἐμὰς δοκοὺς τοῖς σοῖς ἐπιτιθέναι οἴκοις καὶ τὸν σὸν βαρύνειν τοῖχον, εἶτα ἀπεθέμην τὸν σὸν τρυπήσας τοῖχον ἐκεῖ τὰς ἐμὰς δοκοὺς, ἀφειλόμην δὲ μετὰ ταῦτα καὶ δεκαετίαν ἔμεινα μὴ ἀποθέμενος ἐν ταῖς γινομέναις ὀπαῖς τὰς ἐμὰς δοκοὺς, εἰ μὲν ἔμειναν αἱ ὀπαὶ οὕτως ἀνεῳγμέναι, ὥσπερ καὶ ἦσαν ὅτε ἔβαλον τὰς δοκοὺς, οὐδὲ εἷς σοι χρόνος περιποιήσει ἐλευθερίαν· εἰ δὲ ἐμοῦ τὰς δοκοὺς ἀφελομένου σὺ τὰς τρύπας ἔφραξας, καὶ ἀνῳκοδόμησας αὐτὰς, καὶ μετὰ ταῦτα ῑ ἢ καὶ κ̄ ἔτη παρῆλθον, προσεγένετό σοι ἐλευθερία. διὰ τῆς χρήσεως ἔλαβες γὰρ τὴν δεσποτείαν, διὸ ἐν τοσούτοις χρόνοις ἀνοικοδομηθείσας ἔσχες τὰς ὀπάς. εἰ δὲ μηδὲν ποιήσας καινότερον εἴασας ταύτας ἐπὶ σχήματι, σώζεταί μοι διὰ παντὸς τὸ τῆς δουλείας δίκαιον, καὶ βουληθέντι μοι τυχὸν μετὰ ῑ ἢ καὶ κ̄ ἔτη πάλιν ἀποθέσθαι τὰς δοκοὺς κατὰ τὸν σὸν τοῖχον ἐν ταῖς αὐταῖς ὀπαῖς, οὐδὲν ἐναντιωθήσεται διὰ τὸ μὴ κτήσασθαί σε ἐλευθερίαν ἐκ τοῦ χρᾶσθαι [30].

31. Τῆς ἐπὶ τάφον ἀγούσης ὁδοῦ οὐδέποτε ἡ δουλεία τῇ τοῦ χρόνου παραδρομῇ ἐκ τοῦ χρᾶσθαι φθείρεται [31].

32. Ὅστις χωρὶς κελεύσεως βασιλικῆς καταπεμφθείσης τῷ ἐπάρχῳ τῆς πόλεως πολλὰς ῥύμας ἢ καὶ μέρη τούτων τοῖς ἰδίοις ἀναφράξει οἴκοις, ἢ καταχρήσεται ταῖς στοαῖς εἰς οἰκείαν χρῆσιν ἀφελὼν, ἀναμφισβητήτως τὰ ἀρχαῖα δίκαια τῇ πόλει ἀποδώσει [32].

33. Ἐὰν εἰς τὸ ἐπίκοινον ῥεῖθρον ὁ εἷς τῶν κοινωνῶν δαπανήσῃ, ὁ ἀνακαινίζων τοῦτο ἕξει κατὰ τοῦ ἑτέρου τὴν ὑπὲρ αὐτοῦ μόνου τοῦ ἐπικοίνου πράγματος ἀγωγὴν, ἀπαιτῶν τὸ γενόμενον δαπάνημα, ἐφ' οἷς ἀνήλωσεν [33].

34. Ἐάν τίς σοι παραχωρήσῃ δίκαιον ἀντλήσεως εἰς τὸ

[29] Dig. eod. 6 ex Proch. h. t. c. 31. [30] Dig. eod. ex Proch. h. t. c. 32. [31] Dig. VIII, 6, 4 ex Proch. h. t. c. 33. [32] Cod. VIII, 11, 20 ex Proch. h. t. c. 34. [33] Dig. XVII, 2, 52 §. 12 ex Proch. h. t. c. 35.

διαφέρον αὐτῷ ὕδωρ, ἀναγκάζεται καὶ ἄκοντος αὐτοῦ δουλείαν τῆς ὁδοῦ παραχωρῆσαι, εἴπερ ἄλλως μὴ δύνασαι χρήσασθαι τῷ τῆς ἀντλήσεως δικαίῳ [34].

35. Οὐκ ἔστι τινὶ σωλῆνας προσπλάσαι ἤτοι συζεῦξαι τῷ ἐπικοίνῳ τοίχῳ ὡς δι᾽ αὐτῶν ἕλκειν ὕδωρ [35].

36. Πᾶσα δουλεία καὶ πᾶσα χρῆσις ἐπὶ τῶν μὴ κεχρημένων διὰ τῆς τοῦ χρόνου παραδρομῆς, ἐπὶ μὲν τῶν παρόντων δεκαετίᾳ, ἐπὶ δὲ τῶν ἀπόντων εἰκοσαετίᾳ, ἀπόλλυται [36].

37. Ὁ καλῇ πίστει ἀγοράσας ἔδαφος, μετὰ δὲ τὸ γνῶναι τοῦτο εἶναι ἀλλότριον κτίσας ἐν αὐτῷ, τὰ μὲν δαπανήματα οὐκ ἀπαιτεῖ, συγχωρεῖται δὲ περιελεῖν τὸ οἰκοδόμημα δίχα ζημίας τοῦ δεσπότου τοῦ ἐδάφους [37].

38. Ἐὰν ἀλλότριον ἀγρὸν ἀγνοῶν τις καλῇ πίστει ἀγοράσας καὶ σπείρῃ ἐπεῖσε ἢ κτίσῃ, χρὴ τὸν δικαστὴν μὴ ὡς ἔτυχεν ἀποφήνασθαι, ἀλλὰ τὰ πρόσωπα καὶ τὰς αἰτίας σκοπεῖν. τὰ μὲν πρόσωπα οὕτως· ἐὰν ὁ ἀληθὴς δεσπότης τοῦ ἀγροῦ εὔπορος ὢν τὰ αὐτὰ ἔμελλεν ποιεῖν καὶ οἰκοδομεῖν ἢ γεωργεῖν τὸν ἀγρὸν, καταδικάζει αὐτὸν δοῦναι τὴν γενομένην δαπάνην καὶ οὕτως τὸν ἀγρὸν ἀναλαβεῖν. εἰ δὲ τυχὸν πένης ὢν οὐκ ἠβούλετο ταῦτα ποιεῖν, ἀρκεῖ τῷ καλῇ πίστει νεμομένῳ τὸν ἀγρὸν, δίχα βλάβης τοῦ ἀγροῦ περιελεῖν πάντα ἃ ἐποίησεν, εἰ μὴ ὁ τοῦ ἀγροῦ δεσπότης ἑτοίμως ἔχει διδόναι τῷ νεμομένῳ, ὅσα μέλλει λαμβάνειν μετὰ τὸ καταλυθῆναι τὸ οἰκοδόμημα τὰς ὕλας πιπράσκων. τὰς δὲ αἰτίας οὕτω χρὴ σκοπεῖν· τυχὸν εἰ τοῦ ἀγροῦ δεσπότης πράσιμον αὐτὸν ἔχει ὡς μέλλειν πωλεῖν αὐτόν· τότε γὰρ οὐ συγχωρεῖται, κἂν ἄπορός ἐστι, μόνην καταδικαζόμενος εἰς ὃ βέλτιον ὁ ἀγρὸς ἐγένετο [38].

39. Εἴ τις κακῇ πίστει πράγματα νεμόμενος ἢ κατὰ πρᾶσιν ἢ κατὰ δωρεὰν ἢ ἄλλῳ τρόπῳ ταῦτα ἐκποιήσει, ὁ δὲ νομίζων ταῦτα προσήκειν αὐτῷ εἰ ἐντὸς δέκα ἐνιαυτῶν μεταξὺ τῶν παρόντων καὶ εἴκοσι τῶν ἀπόντων μὴ διαμαρτύρηται κατὰ τοὺς νόμους τὸν ἀγοραστὴν ἢ τὸν τὴν δωρεὰν δεξάμενον ἢ τὸν τὰ πράγματα οἱῳδήποτε τρόπῳ ἔχοντα, βεβαίως ταῦτα αὐτοὺς ἔχειν μετὰ τὴν τῆς δεκαετίας δηλονότι ἐπὶ τῶν παρόντων καὶ εἰκοσαετίας τῶν ἀπόντων παραδρομήν. εἰ δὲ ἀγνοεῖ ὁ ἀληθὴς δεσπότης τῶν ἐκποιηθέντων πραγμάτων, ὅτι τὰ πράγματα

---

[34] Dig. VIII, 3, 3 §. 3 ex Proch. h. t. c. 36. [35] Dig. VIII, 2, 19 ex Proch. h. t. c. 37. [36] Cod. III, 34, 13 ex Proch. h. t. c. 38. [37] Dig. VI, 1, 37 ex Proch. h. t. c. 39. [38] Dig. eod. 38 ex Proch. h. t. c. 40.

αὐτῷ προσήκει καὶ ὅτι γέγονεν ἐκποίησις, κελεύομεν μὴ ἄλλως τοῦτον ἀποκλείεσθαι πλὴν διὰ τῆς παραγραφῆς τῆς τριακονταετίας, μὴ δυναμένου τοῦ τὰ πράγματα νεμομένου λέγειν, ὅτι καλῇ πίστει ταῦτα νέμεται, ἀφ᾽ οὗ παρὰ τοῦ κακῇ πίστει νεμομένου ταῦτα ἐκομίσατο. περὶ δὲ τῆς παραγραφῆς τῆς δεκαετίας ταῦτα διατυπῶσαι συνείδομεν, ὥστε εἴ ποτέ τις ἐν τῇ εἰρημένῃ τῆς ῑ ετίας χρονικῇ παραγραφῇ ἐπί τινας μὲν ἐνιαυτοὺς παρὼν ᾖ, ἐπί τινας δὲ ἀπὼν, ἄλλους τοσούτους ἐνιαυτοὺς πρὸς [τῇ δεκαετίᾳ προστεθῆναι, ὅσους ἐξ αὐτῆς] τῆς δεκαετίας ἀπὼν γέγονεν [39].

40. Ὁ ἐνάγων τινὶ περὶ ἀκινήτου μὴ ἀπὸ δικαίας αἰτίας νεμηθέντος καὶ μηδέπω ἀποκλεισθεὶς τῇ τριακονταετίᾳ [μηδὲ ἀπολέσας τὴν ἰδίαν ἐναγωγὴν, εἰς τὸ ἴδιον δίκαιον ἀποκαθίσταται] [40].

41. Τὰ κινητὰ πράγματα τῇ τριετίᾳ ἀνεπιφωνήτως κρατούμενα δεσπόζονται [41].

42. Ὁ ἔχων δουλείαν τοῦ ποτίζειν ἢ βόσκειν ἐν τῷ ἀγρῷ σου θρέμματα, δύναται κτᾶσθαι δουλείαν τοῦ ἐν αὐτῷ ποιεῖν καλύβην [42].

43. Ὁ βουλόμενος πλησίον ἁλωνίου οἰκοδομεῖν, ἐν ᾧ καταβλάπτει τὸν τούτου δεσπότην, κωλύεται τῆς τοιαύτης οἰκοδομῆς [43].

44. Ὁ δι᾽ ἀλλοτρίου ἀγροῦ ἕλκων ὕδωρ εἰδότος τοῦ δεσπότου τοῦ ἀγροῦ, κτᾶται κατ᾽ αὐτοῦ δουλείαν τοῦ ἀγροῦ τῷ νενομισμένῳ χρόνῳ τουτέστι τῷ τριετεῖ. ἐὰν δὲ πρὸ τοῦ παρελθεῖν τοῦτον τὸν χρόνον κωλύσῃ αὐτὸν ὁ δεσπότης τοῦ ἀγροῦ, οὐ δύναται ἀπαιτεῖν αὐτὸν [τὰ περὶ τὸν ὁλκὸν γενόμενα αὐτῷ δαπανήματα, ἀλλὰ καὶ αὐτοῦ τοῦ] ὁλκοῦ [δεσπότης γίνεται ὁ τοῦ ἐδάφους] κύριος, ἕως ἂν συνίσταται ὁ ὁλκός. διαλυομένου δὲ αὐτοῦ δύναται τὰς ὕλας ὁ πάλαι δεσπότης διεκδικεῖν [44].

45. Ἐὰν ὁ προκτήτωρ οὐκ ἠδύνατο κωλύειν τὴν τοῦ ὕδατος πάροδον, οὐδὲ ὁ νῦν ἀγοραστὴς δύναται κωλύειν. μετὰ γὰρ τοῦ τοιούτου βάρους ἀγοράσαι δοκεῖ [45].

46. Οἱ χθαμαλώτεροι τόποι τῶν ἀγρῶν σιωπηρὰν δουλείαν τοῖς ὑψηλοτέροις χρεωστοῦσιν εἰς τὸ δέχεσθαι τὰ ἴδια

---

[39] Nov. 119 c. 7. 8 ex Proch. h. t. c. 41. [40] Cod. VII, 32, 6 ex Proch. h. t. c. 42. [41] Cod. VII, 31 ex Proch. h. t. c. 43. [42] Dig. VIII, 3, 6 §. 1 ex Proch. h. t. c 44. [43] Cod. III, 34, 14 ex Proch. h. t. c. 45. [44] Cod. eod. 2 ex Proch. h. t. c. 46. [45] Cod. eod. 3 ex Proch. h. t. c. 47.

αὐτῶν ὕδατα, κέρδος ἔχοντες ἀντὶ τούτου τοῦ βάρους τὸ πᾶσαν τὴν λιπαρότητα τῶν ὑψηλοτέρων γηδίων ὑποδέχεσθαι [46].

47. Ἐὰν ἐπὶ πέντε ἐνιαυτοὺς μὴ χρησάμενος τῇ τοῦ ἀγροῦ δουλείᾳ πωλήσω αὐτὸν ἑτέρῳ, ψηφίζεται τὰ ε̅ ἔτη τῷ ἀγοραστῇ. ἐὰν ἐκεῖνος ἐπὶ ε̅ ἐνιαυτοὺς ἄλλους μὴ χρήσεται τῇ δουλείᾳ, ἐκπέσῃ αὐτῆς. εἰς μὲν γὰρ τὸ κτήσασθαι τὴν ἐλευθερίαν τῆς δουλείας τὸν αὐτὸν ἀπαιτοῦμεν εἶναι παρ' ὅλον τὸν νόμιμον καιρὸν, εἰς δὲ τὸ ἀπολέσαι διὰ τῆς ἀχρηστίας ἀρκούμεθα τὸ μηδὲ χρήσασθαι καὶ μόνον παρ' ὅλον τὸν τοῦ νόμου καιρὸν, καὶ οὐ περιεργαζόμεθα, εἴτε εἷς εἴτε πλείους εἰσὶν οἱ μὴ χρησάμενοι [47].

48. Ἐάν τις δημοσίαν ὁδὸν ἤτοι γῆν παρὰ ἀλλοτρίου χωρίου ὀρύττῃ, τὸν ὅρον μὴ ὑπερβαίνει [48].

49. Ἐὰν τειχίον, πόδα ἕνα ἀπολείπῃ· εἰ δὲ οἰκήματα, πόδας ϛ̅· εἰ δὲ τάφον ἢ βόθρον ὀρύττων, ὅσον τὸ βάθος εἴη, τοσοῦτον λείπῃ· εἰ δὲ φρέαρ, [ὀργυιάν, εἰ μήπω φρέαρ] προϋπάρχῃ τοῦ γείτονος καὶ διὰ τοῦ καινοῦ ἔργου βλάπτει αὐτόν [49].

50. Ἐὰν πλησίον τοῦ ἀγροῦ σου ὑδραγώγιον ἔχω, παρέπεται σιωπηρῶς τῇ τοιαύτῃ δουλείᾳ ταῦτα· τὸ ῥεῖθρον ἀνανεοῦν καὶ τὸ εἰσιέναι καὶ ἐξιέναι ἐμέ τε καὶ τοὺς ἐμοὺς τεχνίτας. χρεωστεῖς δέ μοι καὶ διαστήματα καταλιμπάνειν, ὡς ἂν δι' αὐτῶν καὶ ἐκ δεξιοῦ καὶ ἐξ ἀριστεροῦ πορεύεσθαί με ἐπὶ τὸ ῥεῖθρον, εἰς τὸ ἐν αὐτοῖς ἀποτίθεσθαι γῆν καὶ λίθους καὶ τὴν ὕλην τὴν ἐκ τοῦ ὁλκοῦ ἐκφερομένην καὶ ἄσβεστον καὶ ψάμμον πρὸς ἀνανέωσιν τοῦ ὑδραγωγίου [50].

51. Ἐὰν πιπράσκων ἀγροῦ μέρος συμφωνήσω δι' αὐτοῦ ἕλκειν ὕδωρ, καὶ μήπω ποιήσαντός μου τὸν ὀχετὸν ὁ νόμιμος παρέλθῃ χρόνος, σώζεταί μοι τὸ δίκαιον. εἰ δὲ ἐποίησα μὲν, μὴ ἐχρησάμην δὲ, φθείρεται [51].

52. Ἡ δουλεία τοῦ ὕδατος ἐὰν συστῇ, ὥστε ἐν μόνῳ τῷ θέρει κεχρῆσθαι αὐτῇ ἢ ἐν ἑνὶ [μηνὶ] ἢ ὑπὲρ ἐνιαυτὸν, διπλασιάζεται τῆς ἀχρηστίας ὁ χρόνος. τὸ αὐτὸ καὶ ἐπὶ τῆς ὁδοῦ. εἰ δὲ ὑπὲρ ἡμέραν, τῷ νομίμῳ χρόνῳ φθείρεται· μία γάρ ἐστιν ἡ δουλεία [52].

53. Τῷ περὶ ὅρων ἢ ὁροθεσίων δικαστηρίῳ τοῦ μακροῦ

[46] Dig. XXXIX, 3, 1 §. 23 ex Proch. h. t. c. 48. [47] Dig. VIII, 6, 18 §. 1 ex Proch. h. t. c. 49. [48] Dig. X, 1, 13 ex Proch. h. t. c. 50. [49] Dig. eod. ex Proch. h. t. c. 51. [50] Dig. VIII, 4, 11 ex Proch. h. t. c. 52. [51] Dig. VIII, 6, 19 pr. ex Proch. h. t. c. 53. [52] Dig. eod. 7 ex Proch. h. t. c. 54.

χρόνου παραγραφὴ οὐκ ἀντίκειται, ἀλλὰ μόνη ἡ τῶν λ χρόνων παραγραφὴ χώραν ἔχει [53].

54. Ἐν ταῖς περὶ ὅρων ζητήσεσι δεῖ τὸν δικαστὴν ἀκολουθεῖν ἢ τοῖς ὑπομνήμασιν ἢ τῇ δημοσίᾳ ἀπογραφῇ τῇ πρὸ τῆς κατάρξεως συστάσῃ, εἰ μὴ ἄρα τῇ ποικίλῃ τῶν κτητόρων διαδοχῇ καὶ τῇ κρίσει τῶν κατὰ καιροὺς νεμομένων ἀλλαγέντες οἱ ὅροι ἀποδειχθῶσι. τότε γὰρ τούτοις τοῖς ὅροις προσεκτέον τοῖς ὑπὸ τῶν κτητόρων ὁρισθεῖσι, καὶ οὐχὶ τοῖς παλαιοτέροις [54].

55. Ἡνίκα δημοσία ὁδὸς ἢ σεισμοῦ συμβεβηκότος ἢ ἐπικλύσαντος αὐτὴν ποταμοῦ ἀπολεῖται, ὁ πλησιάζων δεσπότης ἀναγκάζεται παρέχειν τὴν δημοσίαν ὁδὸν διὰ τῶν ἰδίων τόπων [55].

56. Ἐὰν ποταμὸς μέσον δύο ἀγρῶν ῥεῖ, τουτέστι τοῦ σοῦ καὶ τοῦ ἐμοῦ, εἶτα κατὰ βραχὺ καὶ ἀνεπαισθήτως προσθήσει μὲν τῇ ἐμῇ γῇ, ὡς μὴ δύνασθαί τινα νοῆσαι πόσον καὶ ἐν ὁποίῳ χρόνῳ τῆς ἡμετέρας δεσποτείας τὸ προστιθέμενον, τοῦτο ἐμὸν γίνεται. εἰ δὲ ἡ τοῦ ποταμοῦ βία καὶ ὁρμὴ μέρος τὶ τοῦ σοῦ ἀγροῦ ἀφείλετο καὶ τῷ ἐμῷ προσήγαγεν ἀγρῷ, καὶ δῆλόν ἐστι τὸ προστεθὲν, τῆς σῆς μένει δεσποτείας· οὐδὲ γὰρ ἀνεπαισθήτως τοῦτο γέγονεν [56].

57. Ἐὰν ὕδωρ ἕλκοντός μου διὰ ὑδραγωγίου φαίνεται μὲν ἕως τόπου τινὸς, μὴ δείκνυται δὲ δι' ὅλου τοῦ ὁλκοῦ τὸ ὕδωρ, φθαρέντος τυχὸν τοῦ ὑδραγωγίου, ἐν τῷ μέσῳ ἀβλαβὴς ἡ κατὰ παντὸς τοῦ ὁλκοῦ δουλεία φυλάττεται [57].

58. Πᾶσα ἀγωγὴ προσήκουσα σεπτῷ οἴκῳ, εἴτε προσωπικὴ εἴτε ὑποθηκαρία ἐστὶν, οὐχ ὑπερβαίνει τὰ μ ἔτη, τῶν ἁρμοζουσῶν ἑκάστῳ εὐαγεῖ οἴκῳ προσκαίρων παραγραφῶν φυλαττουσῶν μέντοιγε τοὺς οἰκείους χρόνους [58].

59. Ἐὰν βλαβῇ σῶμα ἐλεύθερον, ἡ καταδίκη γίνεται εἰς τὴν δαπάνην τῆς ἰατρείας καὶ τῆς ἐργασίας, οὐ μὴν τῆς ἀμορφίας· σῶμα γὰρ ἐλεύθερον οὐ διατιμᾶσθαι. ὁ δὲ σῶμα δούλου βλάψας ἀπαιτεῖται πρὸς τοῖς εἰρημένοις καὶ εἰς εἴ τι ἠλαττώθη ἡ διατίμησις αὐτοῦ [59].

60. Οὐκ ἀπρεπῶς δὲ καὶ τοῦτο ἔδοξεν ἡμῖν ὁρίσασθαι, ἵνα οἱ ἐπὶ ἐγκλήματι περιοριζόμενοι ἐν τῷ ἰδίῳ οἴκῳ [μὴ] παραγράφωνται χρόνῳ [60].

---

[53] Cod. III, 39, 6 ex Proch. h. t. c. 55. [54] Dig. X, 1, 11 ex Proch. h. t. c. 56. [55] Dig. VIII, 6, 14 ex Proch. h. t. c. 57. [56] Theoph. Inst. II, 1, 20 ex Proch. h. t. c. 58. [57] Dig. VIII, 3, 35 ex Proch. h. t. c. 59. [58] Nov. 111 c. 1 ex Proch. h. t. c. 60. [59] Dig. IX, 1, 3 ex Proch. h. t. c. 61. [60] Proch. h. t. c. 62.

61. Ἀλλὰ μηδὲ τοῖς διὰ δουλείαν βασιλικὴν ἀπολιμπανομένοις συμψηφιζέσθω χρόνος, ἐφ' ὅσον διάγουσιν ἐν τῷ τόπῳ τῆς λειτουργίας μέχρις ὅτου ὑποστρέψωσιν [61].

62. Ὁ κωφὸς καὶ ἄλαλος, ὁ μαινόμενος, ὁ ἄφρων καὶ ὁ αἰχμάλωτος οὐ περιγράφονται χρόνῳ. τότε δὲ ὁ χρόνος αὐτοῖς ἄρχεται τρέχειν, ὅτε ὁ μὲν ἐπανέλθῃ, οἱ δὲ τοῦ πάθους ἀπαλλαγῶσιν [62].

63. Ἐκ τοῦ βι. κωδίκων τί. ιδ' διγ. — Ἐὰν περιέλῃ ὁ γείτων παλαιὸν ἔργον, καὶ τὸ ὕδωρ ἐκ τούτων φυσικῶς βλάπτει τὸν ὑποκείμενον ἀγρὸν, οὐ χώρα τῇ περὶ ὕδατος πλησμονῆς ἀγωγῇ. ἀεὶ γὰρ τοῖς ὑποκειμένοις ἀγροῖς ἐπίκειται δουλεία τοῦ ὑποδέχεσθαι τὸ φυσικῶς ῥέον ὕδωρ ἐκ τῶν ὑπερκειμένων [63].

64. Βι. τοῦ αὐτοῦ τί. — Ποταμοῦ παρεντιθεμένου συνίσταται δουλεία, ἐὰν ποδὶ περᾶται ἢ γέφυραν ἔχει, οὐ μὴν ἐάν ἐστι ναυσίπορος. εἰ δὲ ἄλλοι δεσπόται τοὺς ἐκεῖθεν [64] τοῦ ποταμοῦ ἔχουσιν ἀγροὺς, δέον ἐστὶ καὶ αὐτοὺς παραχωρεῖν. εἰ δὲ καὶ αὐτὸς ἐκεῖθεν κέκτηται, οὐ διακόπτεται ἡ δουλεία. ἡ γὰρ ὁδὸς πληροῦται φθάνουσα πόλιν ἢ δημοσίαν ὁδὸν ἢ ποταμὸν ναυσίπορον ἢ ἕτερον ἀγρὸν τοῦ δουλευομένου [65].

65. Ὁδὸς πλατεῖα ἐστὶ τὸ παριέναι καὶ τὸ ἐλαύνειν καὶ ἕλκειν καὶ τὸ βαστάζειν δόρυ ὀρθὸν, εἰ μὴ οἱ καρποὶ βλάπτονται [66].

66. Τί. τῶν αὐτῶν. — Κατὰ νόμον ἡ πλατεία ὁδὸς εἰς μὲν ὀρθὸν ὀκτὼ ποδῶν ἐστιν, εἰς δὲ κάμψιν ἑξκαίδεκα [67].

67. Μονοπάτιόν ἐστι, δι' οὗ τις δύναται παρελθεῖν ποδὶ καὶ ἔφιππος. ἡ δὲ πάροδος δι' ἧς καὶ βούκολα καὶ ὑποζύγια περιφέρειν [68].

68. Ἐὰν παραχωρήσῃς μοι ἕλκειν ὕδωρ, καὶ μὴ ὁρίσῃς τὸν τόπον, ὅλος ὁ ἀγρὸς δουλεύει. μᾶλλον δὲ οἱ τόποι οἱ μὴ ἔχοντες κτίσμα ἢ ἀμπέλους ἢ δένδρα, ὅτε τὴν ἀρχὴν ἡ δουλεία συνίσταται [69].

69. Ὅτε περὶ καινοτομίας κτίσματος ἢ ὅρων γίνεται ζήτησις, οὐκ ἀπαιτοῦμεν τοὺς παριόντας εἰδέναι πάντως, ἐπὶ ποίων ὑπάτων ἢ πότε γέγονεν, ἀλλ' εἰ ἀκηκόασι παρὰ τῶν ἐπισταμένων ἢ ἀκουσάντων, πότε τὸ ἔργον ἐγένετο [70].

[61] Proch. h. t. c. 63. [62] Proch. h. t. c. 64. [63] Basil. LVIII, 13, 1 §. 22. [64] Legerim ἑκατέρωθεν. [65] Basil. LVIII, 3, ult. [66] Basil. eod. 7. [67] Basil. eod. 8. [68] Basil. eod. 12. [69] Basil. eod. 21. 22. [70] Basil. XXII, 1, 28.

70. Ἀλλοτρίοις οἴκοις ἢ ἀγροῖς ἢ ἐργαστηρίοις ἢ πράγμασι μηδεὶς ἐξ οἰκείας προσηγορίας σανίδας ἐπιτιθέτω, δήμευσιν ἐκ παραβασίας εὐλαβούμενος [71].

71. Ἐκ τοῦ η′ τί. τοῦ α′ βι. τῶν διγέστων. — Τὰ τείχη τῶν πόλεων οὔτε ἀνανεοῦν ἔστι παρὰ κέλευσιν βασιλέως ἢ τῶν ἀρχόντων, ἤ τίποτε συνάπτειν ἢ ἐπιτιθέναι αὐτοῖς [72].

72. Ἐκ τοῦ η′ τί. τῶν διγέστων. — Τοῖς ἐν θαλάσσῃ ἁλιεύουσιν ἔξεστι ποιεῖν ἐν τῷ αἰγιαλῷ καλύβην εἰς ὑποδοχὴν αὐτῶν. ὁ δὲ κτίζων ἐν αἰγιαλῷ καὶ τοῦ ἐδάφους δεσπόζει, ἐφ᾽ ὅσον τὸ κτίσμα συνίσταται· μετὰ γὰρ τὸ πεσεῖν ἔξεστιν ἑτέρῳ κτίσαι καὶ δεσπόσαι τοῦ ἀγροῦ [73].

73. Ἐὰν ἡ θυγάτηρ μου ἀγνοοῦντός μου γαμηθῇ καὶ ἐν ζωῇ μου συλλάβῃ καὶ μετὰ θάνατόν μου τέκῃ, τὸ τικτόμενον οὐκ ἔστι νόμιμον τῷ πατρὶ αὐτοῦ [74].

74. Ἀπόλλυσι τὴν πολιτείαν ὁ τοὺς ὅρους αὐτῆς ἐξιών, καὶ ἀναλαμβάνει τὸ δίκαιον τῆς πολιτείας ὁ εἰς τοὺς ὅρους αὐτῆς εἰσιών [75].

75. Οὐ δεσπόζω τὸ ἀλλότριον, κἂν ἐν κήνσῳ αὐτὸ ἀπογράψωμαι [76].

ΤΙΤΛΟΣ μγ′.

Περὶ φόνου.

1. Ὁ ἐντειλάμενός τινι φονεῦσαι ὡς φονεὺς κρίνεται [1].

2. Ὁ τὸν νήπιον φονεύσας τιμωρίᾳ φόνου ὑπόκειται. καὶ ὁ ἐλάττονα τῶν κε ἐτῶν φονεύσας ἐνάγεται ὡς φονεύς [2].

3. Οἱ ἐπίσημοι λῃσταὶ ἐν οἷς τόποις ἐπλημμέλησαν φουρκίζονται. καὶ χρή, ἵνα διὰ τῆς θέας καταπτοηθῶσιν οἱ ἐγχειροῦντες τοιούτοις, καὶ ἵνα γένηται παραμυθία τοῖς συγγενέσι τῶν ἀναιρεθέντων [3].

4. Ὁ ἀνελὼν ἀνιόντα ἢ κατιόντα ἢ συγγενῆ αὐτοῦ πυρὶ παραδίδοται [4].

---

[71] Athan. π. διαφ. ἀναγν. §. 4. [72] Dig. I, 8, 9 §. 4. Basil. XLVI, 3, 7 §. 3. [73] Dig. I, 8, 5 §. 1 et l. 6 pr. praetermissa in Basil. XLVI, 3. [74] Dig. I, 5, 11 praetermissa in Basil. XLVI, 1. [75] Basil. XXXIV, 1, 15. [76] Basil. L, 1, 59.

[1] Dig. XLVIII, 8, 15 §. 1 ex Proch. XXXIX, 8. [2] Cod. IX, 16, 8. 6 ex Proch. eod. c. 12. [3] Dig. XLVIII, 19, 28 §. 15 ex Proch. eod. c. 16. [4] Dig. XLVIII, 9, 1 pr. ex Proch. eod. c. 35.

5. Πυρὶ παραδίδονται οἱ δοῦλοι, οἵτινες τὴν σωτηρίαν τῶν οἰκείων δεσποτῶν ἐπεβούλευσαν. κἀκεῖνοι τιμωρείσθωσαν, ὅσοι τῆς φωνῆς αὐτοῦ ἀναιρουμένου ἢ τῆς κατ' αὐτὸν βουλῆς αἰσθόμενοι μὴ συνέδραμον, εἴτε ἐν οἴκῳ εἴτε ἐν ὁδῷ ἢ ἀγρῷ τοῦτο συνέβη [5].

6. Ὁ φονεύων ἑκουσίως, οἵας ὑπάρχοι ἡλικίας, ξίφει τιμωρείσθω [6].

7. Οὔτε ἡ νεάνις, τουτέστιν ἡ ἑπταέτης, οὔτε ὁ μαινόμενος φονεύων ὑπόκειται θανάτῳ [7].

8. Ὁ μετὰ ξίφους πλήττων τινὰ ἐὰν φονεύσῃ, ξίφει τιμωρείσθω. εἰ δὲ ὁ πληγεὶς οὐ τελευτήσῃ, ὁ τὴν πληγὴν δεδωκὼς χειροκοπείσθω, διότι ὅλως μετὰ ξίφους κατετόλμησε δοῦναι [8].

9. Μάχης μεταξύ τινος γενομένης, ἐὰν συμβῇ θάνατον προελθεῖν, τηρείτωσαν τὰ ὄργανα οἱ ἀκροαταὶ δι' ὧν ἐπράχθη ὁ θάνατος. καὶ εἰ εὕρωσιν διὰ ξύλων τελείων ἢ λίθων μεγάλων ἢ λακτισμάτων τὸν φόνον γεγενημένον, τὸν τοῦτο διαπραξάμενον χειροκοπείσθωσαν. εἰ δὲ δι' ἐλαφροτέρων τινῶν συμβῇ γενέσθαι τὸν θάνατον, τυπτέτωσαν τοῦτον καὶ ἐξοριζέτωσαν [9].

10. Ἐὰν ἐν μάχῃ μετὰ χειρὸς τύψῃ τὶς καὶ φονεύσῃ, τυπτόμενος ἐξοριζέσθω [10].

11. Ἐάν τις τὸν ἴδιον οἰκέτην ῥάβδοις ἢ λώροις τύψῃ, καὶ ἐκ τούτου συμβῇ ἐκεῖνον τελευτῆσαι, οὐ κατακρίνεται ὡς ἀνδροφόνος. εἰ δὲ ἀμέτρως αὐτὸν ἐβασάνισε ἢ φαρμάκῳ ἀνεῖλεν ἢ προσέκαυσεν, ὡς φόνον πεποιηκὼς τιμωρεῖται [11].

12. Ἀκουσίως δὲ φόνον ποιήσας ἐξορίζεται [12].

13. Ἐὰν πατὴρ κατηγορήσῃ τινὸς περὶ φόνου παιδὸς αὐτοῦ, καὶ ἀποφανθῇ κατὰ συκοφαντίαν κινήσας, οὐκ ἀτιμοῦται [13].

14. Ἐκ τοῦ θ' βι. τῶν κωδ. τί. μς'. — Οὔτε ἡ μήτηρ ἐκδικοῦσα τὸν φόνον τοῦ ἰδίου παιδὸς, οὔτε ὁ κληρονόμος προσταχθεὶς παρὰ τοῦ διαθεμένου ἐκδικῆσαι τὸν ἑαυτοῦ θάνατον, καὶ ἀποτυχόντες, ὑποκείσονται τῇ συκοφαντίᾳ, ἀλλὰ συγγνωσθήσονται ἑκάτεροι [14].

15. Ἐὰν υἱὸς ἐκδικῇ θάνατον πατρὸς καὶ ἀποτύχῃ, οὐχ ὑπόκειται τῇ συκοφαντίᾳ [15].

---

[5] Dig. XLVIII, 19, 28 §. 11 et Cod. VI, 35, 12 ex Proch. eod. c. 37. [6] Ecl. XVII, 45 ex Proch. eod. c. 79. [7] Dig. XLVIII, 8, 12 ex Proch. eod. c. 80. [8] Ecl. XVII, 46 ex Proch. eod. c. 82. [9] Ecl. eod. 47 ex Proch. eod. c. 83. [10] Ecl. eod. 48 ex Proch. eod. c. 84. [11] Ecl. eod. 49 ex Proch. eod. c. 85. [12] Proch. eod. c. 86. [13] Dig. XLVIII, 1, 14 ex Proch. eod. c. 81. [14] Basil. LX, 1, 29. [15] Basil. eod. 31.

16. Ὅτε ὁ δοῦλος ἀδίκως φονευθῇ, χώρα τῷ νόμῳ [16].

17. Ὁ τὸν ληστεύοντα αὐτοῦ ἀνελὼν οὐ κινδυνεύει [17].

18. Ἐὰν μεμηνὼς φονεύσῃ ἢ τετράποδον ἢ κεραμὶς πεσοῦσα ἢ ἑπταέτης, ἀργεῖ ὁ ἀκουΐλιος τουτέστιν ἡ ποινή [18].

19. Ὁ μὴ φονεύσας, ἀλλ' αἰτίαν θανάτου δεδωκώς, τῇ τοῦ διπλοῦ ἀπαιτήσει ὑπόκειται, ὡς ὁ δεδωκὼς φάρμακον ἀντὶ ἰατρείας ἢ ξίφος τῷ μαινομένῳ [19].

20. Εἴ τινες ἀκοντίῳ παίζοντες φονεύουσι, χώρα τῷ ἀκουϊλίῳ, εἰ μὴ ἄρα ἐν κάμπῳ ἠκόντιζον· [οὐ γὰρ ὀφείλει παρὰ καιρὸν] ἐκεῖθεν παρελθεῖν. κἀκεῖ δὲ ὁ ἐπίτηδες εἰς αὐτὸν ἀκοντίσας ὑπόκειται τῷ ἀκουϊλίῳ. τὸ γὰρ ἐπιβλαβὲς παίγνιον εἰς ἀμέλειαν ἀναφέρεται [20].

21. Ἐὰν ἄλλος κρατήσῃ καὶ ἄλλος ἀνέλῃ, ὁ κρατήσας ὑπόκειται τῷ θανάτῳ [21].

22. Ἐὰν πολλοὶ πλήξωσι, καὶ μή ἐστι δῆλον τῇ πληγῇ τίνος ἀπέθανεν, πάντες ὑπόκεινται ὡς φονεῖς, καὶ τοῦ ἑνὸς καταβαλόντος οἱ λοιποὶ οὐκ ἐλευθεροῦνται· ποινὴ γάρ ἐστιν [22].

23. Ἐάν τις θανατηφόρως τραυματίσας καὶ ἄλλος ἀνέλῃ, ὁ πρῶτος ὡς τραυματίσας καὶ ὁ δεύτερος ὡς ἀνελὼν ὑπόκεινται [23].

24. Ἐὰν πολλοὶ δοκὸν ῥίψαντες ἀνέλωσι, πάντες τῷ ἀκουϊλίῳ ἐνάγονται [24].

25. Ὁ τὸν ἐπίκοινον δοῦλον φονεύων ἢ τραυματίζων ὑπόκειται τῷ ἀκουϊλίῳ τῆς ζημίας ἀποτιμωμένης [25].

26. Ὁ δεσπότης τοῦ ἀναιρεθέντος δύναται κινεῖν τὸν περὶ ἀνδροφόνων νόμον, καὶ οὐ προκρίνεται κινήσας τὸν ἀκουΐλιον [26].

27. Ὁ πλαστῶς ὁμολογήσας πεφονευκέναι καταδικάζεται τῷ ἀκουϊλίῳ, εἴτε ὅλως ἐφονεύθη ὑφ' οἱουδήποτε. εἰ δὲ μετὰ τὴν κατάθεσιν δείκνυσιν ὅτι ζῇ, ἐλευθεροῦται τοῦ ἀκουϊλίου [27].

28. Ὁ δεσπόζων τοῦ φονεύσαντος, κἂν φυγὰς ἦν, ἐνέχεται εἰς τὴν τιμὴν αὐτοῦ [28].

29. Ἐάν τινων ἐν μιᾷ στέγῃ ὄντων ἀναιρεθῇ τις, πάντες κολάζονται. εἰ δὲ ἐν ταὐτῷ κλίματι οὐκ ἄλλως, εἰ μὴ ᾔδεισαν [29].

30. Ὑπὸ δὲ τὴν αὐτὴν στέγην νοοῦμεν τοὺς δυναμένους ἀκοῦσαι φωνὰς τοῦ φονευθέντος. ἀλλὰ καὶ ἡ δούλη κἂν μὴ δύναται τὸ σῶμα βοηθεῖν, ἀλλ' οὖν ὀφείλει κράζειν, ἵνα οἱ

---

[16] Basil. LX, 3, 3. [17] Basil. eod. 4. [18] Basil. eod. 5 §. 2. [19] Basil. eod. 7 §. 6. [20] Basil. eod. 9 §. 4 et c. 10. [21] Basil. eod. 11 §. 1. [22] Basil. eod. 11 §. 2. [23] Basil. eod. 11 §. 3. [24] Basil. eod. 11 §. 4. [25] Basil. eod. 19. 21 pr. [26] Basil. eod. 23 §. 9. [27] Basil. eod. 23 §. 11. [28] Basil. eod. 27 §. 3. [29] Basil. XXXV, 16, 1 §. 26.

λοιποὶ ἀκούσωσι ἢ οἱ γείτονες. τοῦτο δὲ μὴ ποιοῦσα ἐσχάτως τιμωρεῖται, εἰ καὶ μὴ φόβῳ τοῦ ἀποθανεῖν οὐκ ἔκραξε. δεῖ γὰρ τοὺς οἰκέτας προκρίνειν τῆς ἰδίας σωτηρίας τὴν τῶν δεσποτῶν αὐτῶν [30].

31. Ἀναιρεθέντος δεσπότου ἐν μεγάλῃ κώμῃ, μόνοι οἱ ὄντες μετ' αὐτοῦ καὶ οἱ ἐπὶ σφαγῇ ὑπονοούμενοι ἢ τῇ συνειδήσει κολάζονται. εἰ δὲ ἐν ὁδῷ ἀναιρεθῇ, οἱ συνόντες μετ' αὐτοῦ καὶ οἱ ἀποφυγόντες [31].

32. Ἐὰν τελευτῶν ὁ δεσπότης εἴπῃ περὶ τοῦ δούλου, ἐπαχθῆναι αὐτῷ τὴν αἰτίαν τοῦ φόνου, οὐ πιστεύεται, εἰ μὴ καὶ ἑτέρωθεν δείκνυται [32].

33. Ἐὰν ἐπιχειρηθῇ ὁ δεσπότης καὶ μὴ ἀναιρεθῇ, αὐτὸς τιμωρεῖται τὴν φαμιλίαν, ἔχων καὶ κατὰ τῶν ἀπελευθέρων [33].

34. Ἐκ τοῦ ις' τί. βι. λε'. — Ἀνδρὸς ἢ γυναικὸς ἀναιρουμένων οἱ ἑκάτεροι δοῦλοι τιμωροῦνται, κἂν τοῦ πενθεροῦ εἰσιν [34].

35. Ὁ κατὰ βίαν ἀγροῦ τινος ἐπιβαίνων, κἂν ἐκ τοῦ οἰκείου αὐτοῦ μέρους ἀναιρεθῇ τις κἂν ἐκ τοῦ ἐναντίου, ὡς ἀνδροφόνος τὴν κεφαλὴν ἀποτεμνέσθω [35].

36. Ὁ τὸν ἐπελθόντα φονεύσας, ἐν ᾧ περὶ τὴν ζωὴν ἐκινδύνευσεν, ἀνεύθυνος ἔσται, λαμβάνων καὶ τὴν ἐν αὐτῷ γενομένην βλάβην [36].

37. Ἐάν τις τὸν μετὰ ὅπλου ἐν τῇ οἰκίᾳ εἰσιόντα θεάσηται, τοῦτον ἀνελεῖν πειρώμενος, ἐὰν μὲν δίχα ἰδίου κινδύνου διὰ τῆς ἑτέρας ἐξόδου ἔξω δυνηθῇ ἐκφυγεῖν, τοῦ ἴσως ἀτοπήματος οὐκ ἐφείσατο, ἀλλὰ ἀνεῖλεν, ὁ τοιοῦτος ἐνέχεται τῷ ἀκουϊλίῳ [37].

38. Τὸν λῃστὴν ἔξεστιν ἑκάστῳ ἀκινδύνως φονεύεν [38].

39. Ἐσχάτη τιμωρία ἐστὶ τὸ φουρκισθῆναι ἢ καυθῆναι. ταῦτα γὰρ πλησιάζουσι θανάτου [39].

40. Οὐχ ὑφίσταται σπῖλον ὁ υἱὸς ἀπὸ τοῦ πατρῴου ἐγκλήματος ἢ ποινῆς, οὐδέ τις ἕτερος ἐξ ἁμαρτήματος ἑτέρου [40].

41. Καλῶς ὅπλοις ἐξωθῶ τὸν μετὰ ὅπλων ἐπιόντα, παραχρῆμα μέντοι· καὶ οὐ μόνον ἀντιστῆναι ἔξεστιν, ἀλλὰ καὶ ἐκβληθέντα εὐθὺς ἀντεκβαλεῖν, οὐ μέντοι μετὰ διωρίαν [41].

---

[30] Basil. eod. 1 §. 27. 28. [31] Basil. eod. 1 §. 30. [32] Basil. eod. 3 §. 1. [33] Basil. eod. 6 §. 3. [34] Basil. eod. 1 §. 15. 16. [35] Leges rusticae X, 10. [36] Cod. IX, 16, 2 ex Proch. XXXIX, 39. [37] Haec et corrupta sunt, et unde hausta sint non invenio. [38] Cod. IX, 16, 3 ex Proch. XXXIX, 11. [39] Basil. LX, 51, 26. [40] Basil. eod. 24. [41] Basil. LX, 17, 3 §. 9.

42. Ἐκ τῶν ῥοπῶν. — Κατὰ τρυφὴν καὶ πενίαν ἐφόνευσέ τίς τινα, καὶ ὁ ἀνθύπατος ἐπὶ πενταετίαν ἐξορίσας αὐτὸν ἀπεδέχθη [42].

ΤΙΤΛΟΣ μδ'.

Περὶ υἱοθεσιῶν.

1. Δι' ἐπιστολῆς συγγένειαι οὐκ ἀποδείκνυνται, ἀλλ' ἢ διὰ γεννήσεως ἢ ἐκ τῆς θέσεως [1].

2. Οὐ συνίστησι τὴν συγγένειαν ψιλὴ βεβαίωσις, οὐδὲ ἡ ἐψευσμένη ἀπογραφὴ, κἂν ἑκάτεροι συναινέσωσιν, ἀλλ' ἢ μόνος νόμιμος γάμος ἢ θέσις [2].

3. Ἔξεστι πᾶσι τοῖς βουλομένοις υἱοποιεῖσθαι ἀκωλύτως [3] τὴν αὐτῶν εὐεργεσίαν ποιεῖν [4].

4. Ἔξεστι μὴ μόνον τοῖς ἄῤῥεσιν υἱοποιεῖσθαι, ἀλλὰ πολλῷ μᾶλλον καὶ τῷ θήλει προσώπῳ· ἔχειν δὲ καὶ τὸ ὑπεξούσιον τὸ υἱοθετούμενον, οὐ κατὰ νομικὴν αὐθεντίαν, ἀλλὰ κατὰ προαίρεσιν τῶν υἱοθετηθέντων [5].

5. Ἐὰν υἱοθετήσωμαι τὸν ἤδη λαβόντα τὴν παρ' ἐμοῦ διαζευχθεῖσαν, οὐκ ἔστιν ὁ γάμος ἀθέμιτος [6].

6. Ἐὰν ὁ ἐπίτροπος ἢ ὁ γενόμενος κουράτωρ υἱοθετήσῃ τὸν ἄνδρα τῆς ἐπιτροπευθείσης ἢ κουρατωρευομένης ἢ τὸν πατέρα αὐτοῦ, ἡ θέσις ἄκυρός ἐστιν, οὐ μὴν ὁ γάμος λύεται, ὥσπερ λύεται ἡνίκα τὶς τὸν ἴδιον γαμβρὸν υἱοθετήσηται [7].

7. Ἐκ τοῦ λγ' βι. τοῦ α' τί. — Καὶ διὰ τῆς θέσεως γίνεταί τις ὑπεξούσιος. καὶ υἱοθετοῦνται μὲν ὑπεξούσιοι, υἱοθετοῦνται δὲ καὶ αὐτεξούσιοι [8].

8. Οἱ μὲν ὑπεξούσιοι ἐπὶ τῶν ἀρχόντων, οἱ δὲ αὐτεξούσιοι ἐπὶ βασιλέως [9].

9. Ἐὰν υἱοθετήσωμαι αὐτεξούσιόν τινα ἔξω καὶ τοὺς αὐτοῦ παῖδας ὑπεξουσίους ἐν τάξει ἐκγόνων [10].

10. Δεῖ τὸν κουράτωρα συναινεῖν τοῦ ἀφήλικος διδομένου εἰς θέσιν [11].

---

[42] Αἱ ῥοπαί XXVIII, 11.

[1] Basil. XXII, 1, 47. [2] Basil. eod. 48. [3] Addunt nonnulli εἶναι. [4] Nov. Leonis 26. [5] Nov. Leonis 27. [6] Basil. XXVIII, 4, 9. [7] Basil. eod. 24. [8] Basil. XXXIII, 1, 1. [9] Basil. eod. 2 pr. [10] Basil. eod. 2 §. 2. [11] Basil. eod. 6 (8).

11. Ὁ τυφλὸς εἰς θέσιν καὶ λαμβάνεσθαι καὶ λαμβάνειν δύναται [12].

12. Ἐὰν συναινοῦντος τοῦ υἱοῦ μου υἱοθετήσωμαι ὡς ἐξ αὐτοῦ ἔγγονον, οὐκέτι γίνεταί μοι ὑπεξούσιος [13].

13. Ὁ θετὸς υἱός μου ὑπεξελθὼν τῆς ὑπεξουσιότητος οὐχ ὑποστρέφει εἰς αὐτὴν εὐσχημόνως, εἰ μὴ δι' υἱοθεσίας [14].

14. Ἐὰν αὐτεξούσιον υἱοθετήσωμαι, πάντα τὰ αὐτοῦ προσπορίζεταί μοι σιωπηρῶς, εἴγε τῶν προσποριζομένων εἰσὶ, καὶ ὑπεξούσιοι αὐτοῦ παῖδες ἀκολουθοῦσιν αὐτῷ, ἀλλὰ καὶ οἱ κυοφορούμενοι καὶ οἱ ἀπὸ τῶν πολέμων ὑποστρέφοντες παῖδες [15].

15. Υἱοθετηθεὶς παρὰ τοῦ αὐτεξουσίου μου υἱοῦ οὔκ ἐστί μου ἔγγονος [16].

16. Ὁ ἀπὸ θετοῦ υἱοῦ τεχθεὶς τοῦ θετοῦ ἐγγόνου τάξιν ἔχει [17].

17. Ὁ μὴ ἔχων γαμετὴν δύναται υἱοθετεῖν [18].

18. Ἐὰν υἱοθετήσωμαί τινα ἐπὶ τῷ μετὰ τριετίαν δοῦναί σοι αὐτὸν εἰς θέσιν, οὐκ ἐνέχομαι. πρόσκαιρος γὰρ υἱὸς οὐκ ἔστιν [19].

19. Συγκλητικὸς ἢ συγκλητικοῦ υἱὸς, ἐὰν ὑπ' ἰδιώτου υἱοθετηθῇ, μένει ἔχων τὸ ἀξίωμα. διὰ γὰρ τῆς θέσεως οὐ μειοῦται, ἀλλὰ αὔξει μᾶλλον τὸ ἀξίωμα [20].

20. Ὁ μὴ ἔχων υἱὸν υἱοθετεῖ ἔγγονον [21].

21. Ἐὰν αὐτεξούσιον ποιήσω ἢ παράσχω εἰς θέσιν τὸν θετόν μου υἱὸν, οὐ δύναμαι πάλιν αὐτὸν υἱοθετεῖσθαι [22].

22. Ἡ ἄκυρος υἱοθεσία δύναται διὰ βασιλέως βεβαιοῦσθαι [23].

23. Ἐὰν εἰς υἱοθεσίαν λάβω αὐτεξούσιον, οἱ παῖδες αὐτοῦ γίνονταί μου ἔγγονοι. εἰ δὲ ὑπεξούσιον υἱοθετήσωμαι, οἱ παῖδες αὐτοῦ μένουσιν ὑπεξούσιοι τοῦ φυσικοῦ πάππου [24].

24. Τὰ βάρη τοῦ υἱοθετηθέντος πρὸς τὸν υἱοθετησάμενον μετέρχεται, καὶ ἀνάγκην ἔχει τοῦ τρέφειν αὐτὸν καὶ ἐνάγειν καὶ πάντα πράττειν, ὅσα καὶ ὁ φυσικὸς πατὴρ ἐπὶ τοῖς οἰκείοις παισίν [25].

25. Ὁ σπάδων διὰ τῆς θέσεως κτᾶται ὑπεξούσιον κληρονόμον [26].

---

[12] Basil. eod. 7 (9). [13] Basil. eod. 8 (10). [14] Basil. eod. 10 (12). [15] Basil. eod. 12 (15). [16] Basil. eod. 22 (26). [17] Basil. eod. 23 (27). [18] Basil. eod. 26 (30). [19] Basil. eod. 30 (34). [20] Basil. eod. 31 (35). [21] Basil. eod. 33 (37 pr.). [22] Basil. eod. (37 §. 1). [23] Basil. eod. 34 (38). [24] Basil. eod. 35 (40 pr.). [25] Basil. eod. 40 (45). [26] Basil. eod. 35 (40 §. 2).

26. Ἡ υἱοθεσία οὐ διὰ ταβελλίωνος γίνεται, ἀλλὰ νομίμου προσώπου παρὰ τῷ ἄρχοντι [27].

27. Ἡ γυνὴ οὐ δύναται υἱοποιήσασθαι, ἥτις οὐδὲ ὑπεξουσίους ἔχει τοὺς φυσικοὺς παῖδας. ἀλλ᾽ ἐπειδὴ εἰς παραμυθίαν τῶν ἀπολλυμένων παίδων βούλεται λαβεῖν, δίδομεν αὐτῇ τοῦτο ποιεῖν, ὡσανεὶ ἐξ αὐτῆς τεχθέντων αὐτῶν. εἰ δὲ μὴ προέσχε παῖδας, οὐ δύναται τοῦτο ποιεῖν [28].

28. Γυνὴ οὔτε κατὰ βασιλικὴν αἴτησιν οὔτε κατὰ ἀρχοντικὴν δύναται λαμβάνειν τινὰ εἰς θέσιν. ἡ γὰρ θέσις δίδωσιν ἡμῖν τὴν κατὰ τοῦ παιδὸς ὑπεξουσιότητα, αὕτη δὲ τοὺς φυσικοὺς παῖδας ὑπεξουσίους οὐκ ἔχει, ὁ δὲ νόμος ἀκολουθεῖ τῇ φύσει· εἰκότως οὐ λήψεταί τινα εἰς θέσιν, εἰ μὴ ἄρα ἐκ φιλοτιμίας βασιλέως πρὸς παραμυθίαν τῶν τελευτησάντων αὐτῇ παίδων βουληθῇ λαβεῖν. ὥστε οὖν ἡ μὴ σχοῦσα παῖδας γυνὴ οὐδὲ διὰ βασιλέως ἀντιγραφῆς εἰς θέσιν λήψεταί τινα. καὶ γὰρ πρὸς τὰς εἰρημένας διαφοράς ἐστι καὶ αὕτη [29].

29. *Περὶ διαφορᾶς εὐνούχων.* — Τρεῖς διαφοραί εἰσι τῶν εὐνούχων· σπάδωνες, θλιβίαι, καὶ καστράτοι. σπάδων ἐστὶν, ὅταν τὶς ἀφ᾽ ὕψους κρημνισθῇ καὶ κατὰ βίαν εὐνουχισθῇ· θλιβίας, ὅταν θλιβῶσι τὰ τοῦ παιδὸς αἰδοῖα καὶ δι᾽ αὐτῶν εὐνουχισθῇ· καστράτος, ὁ προαιρέσει τῶν γονέων εὐνουχισθείς. καὶ ὁ μὲν σπάδων δύναται καὶ υἱοθετεῖν, ὁ δὲ καστράτος καὶ θλιβίας οὐχὶ, ἐπειδὴ γυναικὸς ἑκουσίως [διὰ] τῶν γεννητόρων ἀναλαμβάνει τάξιν, καθὼς καὶ γυναῖκες οὐχ υἱοθετοῦσιν [30].

ΤΙΤΛΟΣ με΄.

Περὶ διαλύσεως.

1. Ἐν τῷ μέσῳ τῆς δίκης καλῶς τις διαλύεται [1].

2. Πᾶσα διάλυσις ἐπὶ μόνοις κρατεῖ τοῖς συναρέσασιν [2].

3. Ἐνετείλατό τις οἰκείῳ κουράτωρι δίκην ἀγωνίσασθαι πρός τινα, οὐ διαλύσασθαι δὲ πρὸς αὐτόν. ὁ δὲ κουράτωρ

---

[27] Basil. eod. 43. (Cod. VIII, 47, 4.) [28] Basil. eod. 44. (Cod. VIII, 47, 5.) [29] Basil. eod. 52. (Theoph. I, 11, 10.) [30] Basil. eod. 51. (Theoph. I, 11, 9.)

[1] *Αἱ ῥοπαὶ* c. *π. ἀορ. χρόνου* §. 5. [2] Basil. XI, 2, 9 §. 1.

οὗτος ἀπελθὼν διελύσατο παρὰ τὴν ἐντολὴν τοῦ κυρίου τῆς δίκης. λέγει τοίνυν ἡ διάταξις, μὴ ἐῤῥῶσθαι αὐτήν [3].

4. Ἐπὶ μὲν τῶν δι' αἵματος ἐχόντων τὴν τιμωρίαν ἐγκλημάτων ἔξεστι διαλύεσθαι χωρὶς τοῦ τῆς μοιχείας ἐγκλήματος. ἐπὶ δὲ ἄλλων τῶν μὴ ἐχόντων ἐν αἵματι τὴν τιμωρίαν οὐκ ἔξεστι διαλύειν χωρὶς τοῦ τῆς πλαστογραφίας ἐγκλήματος. τὸ γὰρ τοιοῦτον ἔγκλημα, εἰ καὶ μὴ ἔχοι ἐν αἵματι τὴν τιμωρίαν, ὅμως ἔξεστιν ἐπὶ αὐτῷ διαλύεσθαι . . . . . ὑπεξῃρημένου τοῦ τῆς μοιχείας ἐγκλήματος. ὅσα δὲ ἔχει δι' αἵματος τὴν τιμωρίαν, ἐπὶ τούτοις οὐκ ἔῤῥωται ἡ διάλυσις [4].

5. Πᾶσα διάλυσις ἢ [ἀπὸ τοῦ] δοθῆναί τι τῷ διαλυσαμένῳ ἢ παρακατασχεθῆναί τι παρ' αὐτοῦ ἢ ἐπαγγελθῆναι αὐτῷ τι συνίσταται, καὶ εἰ μὴ τοῦτο γένηται, οὐκ ἔστι διάλυσις. διάλυσις γὰρ οὐδενὸς δοθέντος ἢ παρακατασχεθέντος ἢ ὁμολογηθέντος οὐδαμῶς προβαίνει [5].

6. Ἐκ τοῦ ις' τί. — Διάλυσίς ἐστιν ἀμφιβαλλομένου καὶ φιλονεικουμένου τομὴ καὶ περάτωσις. γίνεται δὲ ἢ ἐξ ἰδιοχείρου μεμαρτυρημένου ἢ δι' ἀγοραίου τετελεσμένου συμβολαίου ἢ δι' ὁμολογήσεως ἀγράφου ἐπί τινων προσώπων βεβαιουμένης [6].

7. Μετὰ τετελεσμένην διάλυσιν μὴ κινείτω τὶς, εἰ μήπω παράσχῃ πάντα, ὅσα διαλυσάμενος ἐκομίσατο, καὶ τοῦτο βουλομένου τοῦ ἐναγομένου [7].

8. Αἱ διαιρέσεις καὶ ἀγράφως γινόμεναι ἰσχύουσιν [8].

9. Ὁ περὶ ποσότητος διαλυσάμενος, μείζων ὢν τῶν κε ἐνιαυτῶν, δύναται κινεῖν περὶ λοιπῆς ἐποφειλομένης αὐτῷ ποσότητος. εἰ δὲ γενικῶς καὶ περιεκτικῶς καθόλου ἄνευ τινὸς κακουργήματος καὶ δόλου παρακολουθήσαντος διελύσατο, μηκέτι κινείτω, ἀλλὰ καὶ τὴν ἐγκειμένην ποινὴν ἀπαιτείσθω, καὶ οὕτως ἀπαρασάλευτον εἶναι τὴν τοιαύτην διάλυσιν. [τὴν γὰρ φόβῳ ἢ δόλῳ καὶ κακονοίᾳ τινὶ γενομένην διάλυσιν] ἔσω διετίας, τούτου τρανῶς ἀποδεικνυμένου, [ἀνατρέπεσθαι] [9].

10. Κατὰ κολακείαν ἢ ἀπάτην γενομένη διάλυσις οὐκ ἰσχύει [10].

11. Ἐπὶ τῇ περὶ ὕβρεως ἀγωγῇ οὐ μόνον ὁ καταδικαζόμενος ἀτιμοῦται, ἀλλὰ καὶ διαλυόμενος ἐπὶ χρήμασι. δοκεῖ γὰρ

[3] Basil. eod. 24. [4] Basil. eod. 35. [5] Basil. eod. 55. [6] Ecloga privata aucta XVI, 4. [7] Ecl. priv. aucta eod. 5. [8] Basil. XXII, 1, 68. [9] Ecl. priv. aucta eod. 6. [10] Cf. Basil. XI, 2, 29 schol.

ἐκ τοῦ συνειδέναι ἑαυτὸν ὡς ἁμαρτήσαντα παρασχεῖν τὰ χρήματα. ἐὰν δὲ [χωρὶς] χρημάτων ὁ ὑβρισθεὶς διαλύσηται, οὐ δύναται κινεῖν τὴν περὶ ὕβρεως ἀγωγήν [11].

ΤΙΤΛΟΣ μς'.

Περὶ ἀποδείξεως.

1. Ὁ λέγων, οὐ μὴν ὁ ἀρνούμενος δεικνύει [1].

2. Ὁ λέγων τὸν ἀντίδικον αὐτοῦ ὑπὸ νόμου κωλύεσθαί τινος δικαίου, δεικνύει. καὶ ὁ λέγων μὴ ὀρθῶς γενέσθαι τὴν τοῦ παιδὸς αὐτεξουσιότητα, αὐτὸς δεικνύτω [2].

3. Ὁ υἱὸς λέγων ἑαυτὸν αὐτεξούσιον, δεικνύει [3].

4. Ἐάν τις ὁμολογήσας ἐν δικαστηρίῳ παρίστασθαι καὶ εὐλόγως ἐμποδισθῆναι αὐτὸν, δείκνυσιν [4].

5. Ἐὰν ὁ τὴν περὶ πράγματος κινῶν ἀγωγὴν [μὴ] ἀποδείξῃ ἑαυτὸν δεσπότην, πάντως ὁ ἐναγόμενος νικᾷ, κἂν μηδὲν αὐτὸς ἀποδεικνύει [5].

6. Ὁ ἐναγόμενος ἀποδείξεσιν οὐ βαρεῖται [6].

7. Ὁ λέγων ἑαυτὸν ἀφήλικα, ὀφείλει προσελθεῖν τῷ ἄρχοντι καὶ τοῦτο ἀποδεῖξαι [7].

8. Τὸ εἶναι τὸν πατέρα εὐγενῆ, πρᾶξαι δὲ καὶ τιμὰς, οὐ δείκνυσιν εὐγενῆ τὴν θυγατέρα [8].

9. Ὁ ἐνάγων περὶ δεσποτείας, βαρεῖται τῇ ἀποδείξει [9].

10. Ἡ λέγουσα ἑαυτὴν ἐξ εὐγενοῦς μητρὸς τεχθῆναι, ὀφείλει τοῦτο ἀποδεῖξαι. οὐδὲ γὰρ ἀρκεῖ πρὸς ἀπόδειξιν τῆς εὐγενείας τὸ τοὺς ἀδελφοὺς μηδεμίαν ὄχλησιν περὶ τύχης ὑφίστασθαι [10].

11. Τὸ τὸν ἐνάγοντα λέγειν, οὐ δύναμαι ἀποδεῖξαι, οὐχ ὑποβάλλει τὸν ἐναγόμενον ταῖς ἀποδείξεσιν [11].

12. Πάντες οἱ ἐπὶ ἐγκλήματι κατηγοροῦντες, εὐτρεπεῖς ἔχοντες τὰς ἀποδείξεις οὕτως κατηγορείτωσαν. τὰς δὲ ἀποδείξεις λέγομεν ἢ τὰς διὰ συμβολαίων ἢ τὰς διὰ μαρτύρων [12].

---

[11] Basil. XXI, 3, 17.

[1] Basil. XXII, 1, 2. [2] Basil. eod. 5. [3] Basil. eod. 8. [4] Basil. eod. 19. [5] Basil. eod. 36. [6] Basil. eod. 42. [7] Basil. eod. 43. [8] Basil. eod. 44. [9] Basil. eod. 50. [10] Basil. eod. 51. [11] Basil. eod. 57. [12] Basil. eod. 59.

13. Ἡ ἀπογραφὴ τοῦ πατρὸς καὶ τοῦ πάππου συμβάλλεται τῷ παιδί [13].

14. Ὁ λέγων δύνασθαι δεικνύειν δούλην τὴν ἑαυτοῦ γαμετήν, ἐν τῷ μεταξὺ τρέφειν ἀπροκρίτως τοὺς παῖδας ἀναγκάζεται [14].

15. Τῆς θυγατρός μου ζησάσης ὡς αὐτεξουσίας καὶ διαθεμένης, οὐ δύναμαι μετὰ θάνατον αὐτῆς λέγειν, ἀνισχύρως αὐτὴν αὐτεξουσίαν ἐποίησα, εἰ μὴ τοῦτο διὰ μαρτύρων ἀποδείξω [15].

16. Ὁ ἀνήρ σου ἐὰν ὑπεξούσιός ἐστι τοῦ πάππου, εἰ μὴ δείξῃ τῆς χειρὸς αὐτοῦ ἀπολυθῆναι [16].

ΤΙΤΛΟΣ μζ΄.

Περὶ ἐκριπτομένων βρεφῶν καὶ τροφῆς.

1. Ἐκ τοῦ ς΄ τί. τοῦ λα΄ βι. — Φονεύει τὸ τικτόμενον ὁ πνίγων, ἀλλὰ καὶ ὁ ῥίπτων, καὶ ὁ μὴ τρέφων, καὶ ὁ ἐν δημοσίοις τόποις ἐκτιθέμενος δι᾽ ἐλεημοσύνην, ἣν αὐτὸς οὐκ ἔσχεν [1].

2. Ὁ δικαστὴς ἀναγκάζειν ὀφείλει τοὺς παῖδας τοὺς γονεῖς δι᾽ ἀπορίαν τρέφειν, ἀλλὰ καὶ δι᾽ ἀσθένειαν. ὁμοίως καὶ οἱ γονεῖς τοὺς παῖδας, εἴτε αὐτεξούσιοί εἰσιν οἱ παῖδες εἴτε ὑπεξούσιοι, εἴτε ἐκ θηλυγονίας [2].

3. Καὶ ὁ πορνογενὴς τρέφει τὴν μητέρα, καὶ ἡ μήτηρ αὐτόν, καὶ ὁ πατὴρ τὴν νόμιμον θυγατέρα [3].

4. Οὐ μόνον τρέφειν ὁ γονεὺς ἀναγκάζεται τὸν παῖδα, ἀλλὰ καὶ τὰ βάρη χορηγεῖν αὐτῷ [4].

5. Τὸν πενόμενον παῖδα καὶ μὴ δυνάμενον κάμνειν τρέφειν ὁ πατὴρ ἀναγκάζεται [5].

6. Ὁ αὐτεξούσιος παῖς, κἂν ἄνηβός ἐστι, πενόμενον τὸν πατέρα ἀναγκάζεται τρέφειν [6].

7. Ὁ εὔπορος στρατιώτης ἀποτρέφει τὸν πατέρα. τρέφειν μέν, οὐ μὴν δὲ καὶ χρέη ὑπὲρ τοῦ πατρὸς δοῦναι [7].

---

[13] Basil. eod. 16. [14] Basil. XXXI, 6, 7. [15] Basil. XXXIII, 1, 21 (25 pr.). [16] Cod. VIII, 46, 7, locus in Basil. XXXI, 2 restituendus.

[1] Basil. XXXI, 6, 4. [2] Basil. eod. 5 pr. — §. 3. [3] Basil. eod. 5 §. 4—6. [4] Basil. eod. 5 §. 12. [5] Basil. eod. 5 §. 7. [6] Basil. eod. 5 §. 13. [7] Basil. eod. 5 §. 15. 16.

8. Ὁ κληρονόμος τοῦ υἱοῦ ἀναγκάζεται τὸν πατέρα τρέφειν, εἰ μὴ ἄκρως πένεται [8].

9. Ἡ θυγάτηρ μου οὐ μόνον τιμᾶν ἀναγκάζεται, ἀλλὰ καὶ τρέφειν [9].

10. Ἐκ τοῦ β΄ τί. τοῦ λγ΄ βι. — Ἐὰν ἄκοντός σου ἢ ἀγνοοῦντός σου τὸν οἰκέτην τῆς θεραπαίνης σου ἤγουν τοῦ ἐναπογράφου ἐξέθετό τις, οὐκ ἄλλως ἀναλήψει αὐτὸν, εἰ μὴ τὰ τροφεῖα ἤγουν τὰ τῆς διδαχῆς δαπανήματα δίδως τῷ καλῇ πίστει λαβόντι αὐτόν [10].

11. Εἷς ἕκαστος τὴν ἰδίαν γονὴν τρεφέτω. εἰ ἐκθῆται αὐτὴν, ἀξίως τιμωρηθήσεται. οὐκέτι δὲ ἢ δεσπότης ἢ πάτρων ἐκδικῆσαι δύναται, ὅπερ ἂν ἐκθῆται [11].

12. Μηδεὶς τὸν ἐκτεθέντα ὑπὸ δεσποτείαν ἰδίαν ποιείτω ἢ [12] ἀπὸ εὐγενοῦς ἐτέχθη ἢ ἀπελευθέρας ἢ δούλης. ἀλλὰ μηδὲ ὁ λαβὼν καὶ τρέψας τοῦτο ποιείτω, ὡς ἀπὸ εὑρέσεως τρέφων, ἀλλ᾽ εὐγενὴς ἔστω καὶ αὐτῷ προσποριζέτω εἰς τὴν ἰδίαν πέμπων γονήν. μήτε οἱ ἀναλαμβάνοντες αὐτοὺς εἰς δουλείαν τούτους φερέτωσαν. ταῦτα δὲ φυλαττέτωσαν οἱ ἄρχοντες καὶ οἱ ἐπίσκοποι καὶ οἱ ἔκδικοι τῶν πόλεων καὶ πᾶσα ἀρχή [13].

ΤΙΤΛΟΣ μη΄.

Περὶ αἰχμαλώτων.

1. Ἐκ τοῦ λδ΄ βι. τοῦ α΄ τί. — Ὅπερ ὁ τοῦ αἰχμαλώτου δοῦλος ἐπερωτᾷ ἐν καιρῷ τῆς αἰχμαλωσίας ἢ λεγατεύεται αὐτῷ, λαμβάνουσιν οἱ κληρονόμοι αὐτοῦ [1].

2. Ἐὰν γυνὴ καταδικασθεῖσα εἰς ἁλικὰς ληφθῇ παρὰ πολεμίων καὶ ἐξ αὐτῶν πραθῇ, τῇ ἰδίᾳ αἰτίᾳ ἀποδίδοται, τοῦ δημοσίου διδοῦντος τῷ ἠγορακότι τὸ ὑπὲρ αὐτῆς τίμημα [2].

3. Οἱ ὑπόσπονδοι παρ᾽ ἡμῖν ἐλεύθεροί εἰσι καὶ κύριοι τῶν πραγμάτων αὐτῶν καὶ οὐ χρεία δικαίου ὑποστροφῆς [3].

4. Ἐλεύθερος δῆμός ἐστιν ὁ μὴ ὑποκείμενος ἑτέρῳ δήμῳ, εἴτε δὲ ἐξίσου ποιησώμεθα πίστεις, εἴτε ἐπὶ τὸ φυλάττεσθαι

---

[8] Basil. eod. 5 §. 17. [9] Basil. XXXI, 2, 7. (Cod. VIII, 46, 5.) [10] Basil. XXXIII, 2, 1. [11] Basil. eod. 2. [12] Legerim εἴτε. [13] Basil. eod. 3.

[1] Basil. XXXIV, 1, 1. [2] Basil. eod. 3 (6). [3] Basil. eod. 4 (7 pr.).

τὴν πολιτείαν ἡμῶν δι᾽ αὐτοῦ. ἀλλὰ καὶ οἱ προσφεύγοντες ἡμῖν ἐλεύθεροί εἰσιν [4].

5. Ὁ παρὰ τοῖς πολεμίοις συλληφθεὶς καὶ τεχθεὶς, διὰ τοῦ δικαίου τῆς ὑποστροφῆς λαμβάνει τὰ δίκαια αὐτοῦ [5].

6. Οἱ ἐν πολέμῳ ληφθέντες ἔχουσι τὸ δίκαιον τῆς ὑποστροφῆς [6].

7. Εἰ μὲν ὑποστρέψῃ ὁ αἰχμάλωτος, οὐδέποτε δοκοῦσιν οἱ παῖδες αὐτοῦ αὐτεξούσιοι γενέσθαι. εἰ δὲ παρ᾽ αὐτοῖς ἀποθάνῃ, ἀφ᾽ ὧν ἐλήφθη, ἔχουσι καὶ αὐτοὶ ἴδια τὰ ἐν τῷ μέσῳ κτηθέντα [7].

8. Ὁ ὑποστέφων ἄνωθεν ἐν πολιτείᾳ εἶναι δοκεῖ [8].

9. Οἱ μεθ᾽ ὅπλων ἡττηθέντες καὶ τοῖς πολεμίοις ἑαυτοὺς ἐκδεδωκότες, οὐκ ἔχουσι δίκαιον ὑποστροφῆς [9].

10. Ὁ μὴ ὑποστρέφων, δοκεῖ τελευτᾶν ἐξότε ἐλήφθη [10].

11. Ὁ αὐτόμολος ἐλεύθερος, ἀνήρ τε καὶ γυνὴ, τὸ δίκαιον τῆς ὑποστροφῆς οὐκ ἔχει [11].

12. Ἐὰν ἐν εἰρήνῃ συμφωνηθῇ ὑποστρέψαι τινὰς τῶν αἰχμαλώτων, καὶ ἑκουσίως ἀπομείνωσι παρὰ τοῖς πολεμίοις, οὐκ ἔχουσι μετὰ ταῦτα τὸ δίκαιον τῆς ὑποστροφῆς [12].

13. Ἡ διὰ τῶν στρατιωτῶν ἀναληφθεῖσα ἀπὸ πολεμίων, κἂν ὑπὲρ αὐτῆς οὐκ ἐδόθησαν τιμαὶ, οὐ λογισθήσεται δούλη, ἀλλὰ γαμετή [13].

14. Οἱ λαμβανόμενοι ἐν τοῖς ἐμφυλίοις πολέμοις οὐκ εἰσιν αἰχμάλωτοι [14].

15. Ἐὰν οἱ αἰχμάλωτοι παρὰ τοῖς πολεμίοις ἀποθάνωσι, τὰ πράγματα αὐτῶν ἐκείνοις διαφέρει, οἷς ἤμελλε διαφέρειν, εἰ μὴ ἐλήφθησαν ἢ ὑπέστρεψαν [15].

16. Τὸ ἐν πολέμῳ ἀνδράποδον λαμβανόμενον πραίδα ἐστὶν, οὐ μὴν τῷ δικαίῳ τῆς ὑποστροφῆς ἐπανέρχεται [16].

17. Εἰ δέ τις εἰρήνης γινομένης ἀπέλθῃ πρὸς τοὺς πολεμίους καὶ πάλιν ληφθῇ, ὁ πρῶτος δεσπότης λαμβάνει αὐτὸν, εἰ μὴ συνεφωνήθη ἀποδοθῆναι τοὺς αἰχμαλώτους [17].

18. Ἐάν τις τὰ πράγματα τοῦ παρὰ πολεμίοις ὄντος καλῶς διοικῇ, προσελθὼν ὁ ἄρχων ἀσφάλειαν αὐτὸν ἀπαιτήσει

---

[4] Basil. eod. ib. (7 §. 1). [5] Basil. eod. (9). [6] Basil. eod. 8 (12 pr.). [7] Basil. eod. ib. (12 §. 1). [8] Basil. eod. 12 (16). [9] Basil. eod. 13 (17). [10] Basil. eod. 14 (18). [11] Basil. eod. 15 (19 §. 4). [12] Basil. eod 16 (20 pr.). [13] Basil. eod. 17 (21 pr.). [14] Basil. eod. ib. (21 §. 1). [15] Basil. eod. 18 (22 pr.). [16] Basil. eod. 23 (28). [17] Basil. eod. ib. (28).

τοῦ καλῶς φυλάξαι αὐτὰ, καὶ δοῦναι ἢ αὐτῷ ὑποστρέφοντι ἢ τοῖς κληρονόμοις αὐτοῦ [18].

19. Πολέμιοί εἰσιν οἱ κρίνοντες πρὸς ἡμᾶς καὶ ἡμεῖς πρὸς αὐτοὺς δημόσιον πόλεμον. οἱ δὲ μὴ τοιοῦτοι, λησταί εἰσι, καὶ οἱ ὑπ' αὐτῶν λαμβανόμενοι οὐκ εἰσιν αἰχμάλωτοι, καὶ οὐδὲ χρήζουσι δικαίου ὑποστροφῆς [19].

20. Ἐάν τις ἀπὸ πολεμίων ἀπεσπάσθη, οὐ μὴν ἠγοράσθη, ἐλεύθερος ἔσται. εἰ δὲ δοῦλος ἦν, τῷ δεσπότῃ αὐτοῦ ἀποδίδοται παραχρῆμα [20].

21. Ὁ ἐκ τῶν ἐχθρῶν ἐλεύθερον ἀγοράζων αἰχμάλωτον καὶ ἐν τῷ ἰδίῳ οἴκῳ ἀποκαθιστῶν αὐτὸν, εἰ μὲν εὐπορεῖ τὰ στιχηθέντα μεταξὺ αὐτῶν ἀποπληρῶσαι, ἀπολυέσθω ἐλεύθερος. εἰ δὲ ἀπορῇ, ἐχέτω αὐτὸν ὁ ἀγοράσας ὡς μίσθιον, μέχρις ἂν πληρωθῇ, ἅπερ ἐστίχησεν· ὁριζομένου δηλονότι ὑπὸ ἀκροατῶν τοῦ ὀφείλοντος ἑκάστῳ ἔτει τῷ ἀγορασθέντι λογίζεσθαι ποσοῦ [21].

22. Ὁ ὑπὸ τῶν πολεμίων αἰχμαλωτιζόμενος οἰκέτης καὶ κλάσμα τὶ ὑπὲρ τῆς πολιτείας εἰς αὐτοὺς ἐνδεικνύμενος καὶ οὕτως ἀνθυποστρέφων, παραχρῆμα ἐλευθερούσθω [22].

23. Ὁ δὲ αἰχμαλωτισθεὶς καὶ μήτι ὑπὲρ τῆς πολιτείας ποιῶν [εἰ] ὑποστρέψῃ, παραδίδοται τῷ ἰδίῳ δεσπότῃ ἢ τοῖς διαφέρουσιν αὐτῷ εἰς τὴν προτέραν κατάστασιν [23].

24. Ὁ αὐτοπροαιρέτως τοῖς ἐχθροῖς προστρέχων καὶ πάλιν ἐν μεταμέλῳ γινόμενος καὶ ἀποφυγὼν ἐξ αὐτῶν καὶ ἀνακάμπτων, δι' ὧν ὅλως αὐτομολήσας τούτοις προσέδραμεν, ἕως τῆς ζωῆς αὐτοῦ ἔστω δοῦλος [24].

ΤΙΤΛΟΣ μθ'.

Περὶ φόβου καὶ βίας.

1. Ἐκ τοῦ δ' βι. τί. β' [1]. — Τὸ κατὰ φόβον γινόμενον οὐκ ἔῤῥωται. ἔνεστι δὲ τῷ φόβῳ καὶ βία. βία δέ ἐστι μεγάλου πράγματος [ἐπέλευσις], ἣν οὐ δυνατὸν ἀπωθεῖσθαι [2].

2. Εἴτε διὰ τὴν ἡλικίαν εἴτε διὰ φόβον εἴτε διὰ πανουρ-

---

[18] Basil. XXXIV, 2, 2 (3). [19] Basil. XXXIV, 1, 20 (24). [20] Basil. XXXIV, 2, 10 (12). [21] Ecloga privata aucta IX, 5. [22] Ecl. cit. 6. [23] Cf. Ecl. l. l. [24] Ecl. cit. 7.

[1] Scil. Digestorum. [2] Basil. X, 2, 1. 2.

γίαν εἴτε δι᾽ ἀπουσίαν περιγραφῇ τις, βοηθεῖται· εἴτε διὰ τὴν ἐναλλαγὴν τῆς καταστάσεως ἢ δικαίαν πλάνην [3].

3. *Βία λέγεται τὸ ἄνευ δικαστοῦ ἀπαιτούμενον ἢ ἄλλο τὶ παρά τινος γινόμενον* [4].

4. *Περὶ δόλου.* — *Ἐξ εὐλόγου αἰτίας, οὐχ ὑπούσης ἀγωγῆς, ἡ περὶ δόλου δίδοται* [5].

5. *Δόλος ἐστὶ κακὸς πανουργία, ἀπάτη καὶ μηχανὴ πρὸς περιγραφὴν ἑτέρου γινομένη* [6].

6. *Ἐστὶ καὶ καλὸς δόλος, καὶ μάλιστα κατὰ τῶν πολεμίων καὶ τῶν λῃστῶν* [7].

7. *Ὁ δολερῶς συμβουλεύσας μοι ἀποστῆναι κληρονομίας εὐπόρου, ἢ ἐπιλέξασθαι δοῦλον ὡς χρήσιμον, ἐνάγεται τῇ περὶ δόλου ἀγωγῇ* [8].

ΤΙΤΛΟΣ ν'.

Περὶ κλεπτούσης γυναικὸς καὶ ἀφαιρούσης.

1. *Ὁ κινῶν τὴν περὶ ἀφαιρέσεως ἀγωγὴν πραγμάτων, ὅρκον ἐπάγειν δύναται· καὶ ὄμνυσι πρῶτος τὸν περὶ συκοφαντίας. καὶ ὁ λεγόμενος κλέψαι μόνος ὀμνύειν ἀναγκάζεται, οὐ μὴν ὁ πατὴρ ἢ ὁ κληρονόμος αὐτοῦ. ἄδικον γάρ ἐστιν ἄλλον ὀμνύειν περὶ ἀλλοτρίου ἀποτελέσματος. διὸ οὐδὲ ἀντεπιφέρεται* [1].

2. *Οὔτε ὁ περὶ κλοπῆς ἐναγόμενος ἐπιφέρει τῷ ἐνάγοντι, ἵνα ὀμόσῃ, ὅτι κλέπτης ἐστίν. ἀλλ᾽ οὔτε γυνὴ ἀντεπιφέρει* [2].

3. *Τῆς οὐσίας τοῦ ἀνδρὸς εἰς τὸν δημόσιον περιελθούσης, ἡ γυνὴ ἐναγομένη ἐπὶ τῇ περὶ ἀφαιρέσεως πραγμάτων ἀγωγῇ, εἰς τὸ ἁπλοῦν ἐνάγεται· ἄλλοι δὲ εἰς τὸ διπλοῦν* [3].

4. *Ἡ παλλακὴ οὐ τῇ περὶ ἀφαιρέσεως πραγμάτων ἀγωγῇ, ἀλλὰ τῇ περὶ κλοπῆς ἀγωγῇ ἐνάγεται, καὶ εἰς τὸ διπλοῦν ἐνέχεται, καὶ ἔνθα ὁ γάμος οὐ συνίσταται* [4].

5. *Ἡ περὶ ἀφαιρέσεως πραγμάτων ἀγωγὴ παραχρῆμα τὴν ζημίαν ἀπαιτεῖ* [5].

---

[3] Basil. X, 1, 1. 2. [4] Basil. X, 2, 13 (?). [5] Basil. X, 3, 1 §. 1. [6] Basil. eod. 1 §. 2. [7] Basil. eod. 1 §. 3. [8] Basil. eod. 9 §. 1.

[1] Basil. XXVIII, 11, 11 §. 1—3. [2] Basil. eod. 12. 13. [3] Basil. eod. 16. [4] Basil. eod. 17. [5] Basil. eod. 21 §. 3.

6. Ἐὰν θανάτου αἰτίᾳ γυνὴ κλέψῃ καὶ τελευτήσῃ ὁ ἀνὴρ, ἀπαιτεῖ τὸ κλαπὲν ὁ κληρονόμος αὐτοῦ [6].

7. Ἡ περὶ ἀφαιρέσεως πραγμάτων ἀγωγὴ οὐχ ὑπερτίθεται ἐκ τοῦ κατηγορηθῆναι τὴν γυναῖκα περὶ μοιχείας [7].

8. Ἐὰν γυνή σου κλέψῃ ἀπ᾿ ἐμοῦ ὅπερ ἔχρησάς μοι, ἔχω κατ᾿ αὐτῆς τὴν περὶ κλοπῆς ἀγωγὴν εἰς τὸ διπλοῦν [8].

9. Ἡ περὶ ἀφαιρέσεως πραγμάτων ἀγωγὴ κατὰ τῶν κληρονόμων τῆς γυναικὸς εἰς ὅσον περιῆλθεν εἰς αὐτοὺς κινεῖται. εἰ δὲ σώζονται τὰ πράγματα, ἐστὶ κατὰ τῶν πραγμάτων ἡ ἀγωγή [9].

ΤΙΤΛΟΣ να΄.

Περὶ συνηγόρων.

1. Ἐκ τοῦ γ΄ βι. τοῦ α΄ τί. τῶν διγ. — Τρεῖς τάξεις εἰσὶ τῶν μὴ δυναμένων συνηγορεῖν. οἱ μὲν εἰς τὸ παντελὲς κωλύονται, οἱ δὲ ὑπὲρ μόνων ἑαυτῶν, οἱ δὲ ὑπὲρ ἑαυτῶν καὶ ἄλλων [1].

2. Συνηγορῆσαί ἐστι τὸ προθεῖναι τὴν οἰκείαν ἐν δικαστηρίῳ θέλησιν ἢ τὴν τοῦ φίλου, ἢ εἰς τὴν τοῦ ἑτέρου ὑπόθεσιν θελήσει λέγειν [2].

3. Εἰς τὸ παντελὲς κωλύεται συνηγορεῖν ὁ μὴ πληρώσας τὸν ιζ̄ χρόνον [3].

4. Ὁ παντελῶς μὴ ἀκούων οὐ συνηγορεῖ [4].

5. Ἐκ τοῦ θ΄ τί. τοῦ βι. τῶν διατ. — Ὅσα περὶ τῶν συνηγορουμένων οἱ συνήγοροι λέγουσιν, αὐτοὶ νομιζέσθωσαν λέγειν οἱ δικαζόμενοι [5].

6. Ὑπὲρ μόνων ἑαυτῶν συνηγοροῦσι γυνὴ καὶ τυφλός. ἡ γυνὴ οὐ μετέρχεται ἀνδρεῖον ὀφφίκιον, ὁ δὲ τυφλὸς καὶ δικάζειν δύναται. τῆς δὲ συγκλήτου οὐκ ἀποκινεῖται. ἀρχὴν δὲ νέαν οὐκ ἐγχειρίζεται. καὶ ἐὰν πρὸ τοῦ πάθους εἶχε, μένει ἔχων αὐτήν [6].

7. Κωλύεται συνηγορεῖν καὶ ὁ κτερικός, εἰ μὴ κατὰ βίαν

---

[6] Basil. eod. 22 §. 1. [7] Basil. eod. 27. [8] Basil. eod. 28. [9] Basil. eod. 33.

[1] Dig. III, 1, 1 §. 1 ex Basil. VIII, 1, 1 §. 1. [2] Basil. cit. 1 §. 2. [3] Basil. cit. 1 §. 3. [4] Basil. cit. 1 §. 3. [5] Cod. II, 9, 1 ex Basil. VIII, 1, 40. [6] Basil. cit. 1 §. 4.

λῃστῶν ἢ πολεμίων πέπονθεν, ἢ ὁ κεφαλικῷ καταδικασθεὶς ἐγκλήματι, καὶ ὁ ἐπὶ συκοφαντίᾳ δημοσίᾳ καταδικασθείς [7].

8. Περὶ ἐνοχῆς. — Ἐνοχή ἐστι δεσμὸς δικαίου, δι' οὗ τις ἀναγκάζεται καταβαλεῖν τὸ ἐποφειλόμενον. πασῶν δὲ τῶν ἐνοχῶν ἡ ἄκρα διαίρεσις ἐν τούτοις ἐστί· καὶ γὰρ ἢ πολιτικαί εἰσιν ἢ πραιτωρίαι. καὶ πολιτικαὶ μὲν, αἵτινες εὑρέθησαν καὶ ἐβεβαιώθησαν ὑπὸ τοῦ πολιτικοῦ, πραιτωρίαι δὲ, ἃς ὁ πραίτωρ ἐκ τῆς ἰδίας δικαιοδοσίας ὥρισεν, αἵτινες βονοναρίαι καλοῦνται [8].

9. Περὶ συκοφαντίας ἐν ὅρκῳ λέοντος νεαρά. — Ὁ ὅρκον τινὶ ἐπάγων καὶ ἀπαραιτήτως ἀπαιτῶν, πρότερον αὐτὸς ὀμνύτω, ὅτι τυχὸν οὐ κακούργως καὶ οὐ κατὰ δόλον αἰτεῖ τὸν ὅρκον, ἀλλὰ ἀπροφασίστως καὶ διὰ πίστωσιν τοῦτο ποιεῖ [9].

10. Περὶ ἀπειθούντων εἰς δικαστήριον λέοντος νεαρά. — Ὁ κατὰ πρώτην καὶ δευτέραν δήλωσιν οὐ μὴν ἀλλὰ καὶ τρίτην, εἰς ἣν ὀφείλει καταμηνύεσθαι ἀπὸ τοῦ δικάζοντος, μὴ ἀπαντήσας εἰς τὸ δικαστήριον, ἀλλὰ προπετῶς ἄνευ εὐλόγου αἰτίας ἀπολειφθεὶς καὶ ἀπὼν, μονομερῶς καταδικάζεται, καὶ οὐδὲ ἐγκαλεῖται. αὕτη ἡ κρίσις τηρεῖται ἐφ' ἑκατέρου προσώπου, τυχὸν ἐπί τε τοῦ διώκοντος καὶ τοῦ φεύγοντος [10].

11. Ἐκ τῶν ἀγωγῶν ἐκ τοῦ β' βι. τοῦ μη' διγ. — Ἄλλου γραφέντος ἄλλος ἀγωγὴν οὐκ ἔχει [11].

12. Τὸ δίκαιον ὅπερ ἔχει τίς τοῦ τιμωρεῖσθαι οὐκ ἐντέλλεται ἄλλῳ [12].

13. Ἡ ὑπὲρ δούλου φθορᾶς ἀγωγὴ διηνεκής ἐστιν [13].

14. Δοῦλος οὐκ ἐνάγεται οἱαδήποτε ἀγωγῇ [14].

15. Σχεδὸν ἐν πάσαις ταῖς ἀγωγαῖς καὶ τῇ ἡλικίᾳ καὶ τῇ ἀγνοίᾳ συντρέχομεν [15].

16. Καὶ ὁ κωφὸς καὶ ὁ ἄλαλος δοκεῖ ἀποκρίνεσθαι ἐὰν αἴσθησιν ἔχῃ. ὁ δὲ μαινόμενος ἀντὶ ἀπόντος ἐστίν [16].

17. Ἄκων οὐδεὶς ἀναγκάζεται διεκδικεῖν πρᾶγμα [17].

18. Περὶ ὥρας χρόνου. — Ἐὰν ὁ δικαστὴς μὴ ὁρίσῃ χρόνον, μέτριος χρόνος δίδοται. ὁ δὲ μέτριος χρόνος εἰσὶ ῑ ἡμέραι [18].

19. Περὶ διασκέψεως. — Ἐρωτώμενος ἐπὶ τὸ καταθέσθαι τὶ ἐν δικαστηρίῳ ὀφείλει λαμβάνειν διάσκεψιν χρόνου [19].

---

[7] Basil. cit. 1 §. 5. [8] Theophil. Inst. III, 13 pr. §. 1. [9] Nov. Leonis 99. [10] Nov. Leonis 108. [11] Basil. II, 3, 49. [12] Basil. cit. 70. [13] *Αἱ ῥοπαί* XLVII, 4. [14] Basil. cit. 107. [15] Basil. cit. 108. [16] Basil. cit. 124. [17] Basil. cit. 156. [18] *Αἱ ῥοπαί* XLVII, 1. [19] *Αἱ ῥοπαί* XLVII, 2.

20. *Περὶ τόκου.* — *Πρὸ ὑπερθέσεως τόκος ἐπὶ παραθήκης οὐ καλῶς ἀπαιτεῖται* [20].

21. *Ἐκ τῶν ἀγωγῶν.* — *Αἱ προσωπικαὶ ἀγωγαὶ μακρῷ χρόνῳ οὐκ ἀποκλείονται* [21].

22. *Αἱ πραιτωρίαι ἀγωγαὶ διὰ δεήσεως καὶ ἀντιγραφῆς διηνεκεῖς γίνονται* [22].

23. *Μηδεὶς ἀποκρισιάριος ἐναγέσθω ὑπὲρ τοῦ στείλαντος, πλὴν εἰ μὴ κατ᾽ ἐντολὰς αὐτοῦ ἐνάγει τινὶ, ἢ ὑπὲρ ὧν συνήλλαξε κατὰ τῶν ἀποκρίσεων καιρὸν ζήτησιν ὑπομένει* [23].

24. *Μήτε ἀνδροφόνος μήτε μοιχὸς μήτε παρθενοάρπαξ κεχρήσθω ἀσυλίᾳ* [24].

25. *Περὶ ἀδικούντων.* — *Μηδεὶς ἀδικῶν ἐχέτω φόρου παραγραφήν* [25].

26. *[Πλὴν εἰ μὴ θεῖος πραγματικὸς τύπος] προφάσει δημοσίας αἰτίας ἀγώγιμον κατὰ τὴν βασιλίδα πόλιν κελεύσει αὐτὸν γενέσθαι ἢ ἐφέσεως ἐπὶ δίκῃ παρακολουθησάσης ἀνάγκη ἐν τῷ ἐφετικῷ δικαστηρίῳ γυμνασθῆναι τὴν ἔγκλητον* [26].

27. *Περὶ ἐγκλήματος.* — *Ὁ στρατιωτικὸς ἄρχων ἐν τοῖς ἐγκλήμασι κατὰ πάντων ἔχει δικαιοδοσίαν* [27].

28. *Οἱ βαλιστάριοι τοῖς πατρᾶσιν ὑπόκεινται πόλεων* [28].

29. *Ἐκ τοῦ γ΄ βι. τοῦ β΄ τί. τῶν διγ.* — *Οὐκ ἔστι παιγνικὴ τέχνη οὐδὲ ἀτιμοποιὸς ἡ τῶν ἀθλητῶν καὶ τῶν λεγόντων ἐν τοῖς ὀλυμπίοις τὰ ἐνθύρια, καὶ τῶν ἡνιόχων καὶ τῶν ἄλλως ὑπουργούντων ἐν τοῖς ἱεροῖς ἀγῶσι, καὶ τῶν ῥαινόντων ὕδωρ τοῖς ἵπποις καὶ τῶν βραβευτῶν* [29].

30. *Περὶ εἰδήσεως.* — *Ἡ ἑτέρου εἴδησις ἕτερον οὐ βλάπτει, καὶ ἡ ἄλλου ἄγνοια ἄλλον οὐκ ὠφελεῖ* [30].

31. *Περὶ τιμωριῶν δούλων.* — *Οὐ δύναται στρατηγὸς τιμωρεῖσθαι δοῦλον, ἀλλὰ μετρίως σωφρονίζειν* [31].

32. *Ἐκ τοῦ ζ΄ τί. βι. γ΄.* — *Οὐδεὶς οὐδὲ χρηματικὴν δίκην οὐδὲ ἐγκληματικὴν κινεῖν κατά τινος ἀναγκάζεται μὴ βουλόμενος* [32].

33. *Περὶ ἀσέμνου.* — *Ἡ πορνοβοσκὸς οὐκ ἔστιν ἥττων τῆς ἐν φανερῷ ἐπὶ πόρῳ πορνευούσης. πορνοβοσκὸς δέ ἐστιν*

---

[20] *Αἱ ῥοπαί* XLVII, 12. [21] *Αἱ ῥοπαί* XLVII, 7. [22] *Αἱ ῥοπαί* XLVII, 21. [23] Athan. *π. διαφ. ἀναγν.* §. 1. [24] Athan. cit. §. 4. [25] Athan. ibid. [26] Athan. cit. §. 5. [27] Ath. cit. §. 20. [28] Ath. cit. §. 21. [29] Dig. III, 2, 4 pr. §. 1 Basil. XXI, 2, 4 §. 1. [30] Dig. XXII, 6, 5. Basil. II, 4, 5. [31] Dig. II, 1, 12. Basil. VII, 3, 12. [32] Cod. III, 7, 1. Basil. VII, 19, 4.

ἡ προϊστῶσα γυναῖκας ἐπὶ μισθῷ τοῖς παρατυχοῦσι, κἂν ἐν ἑτέρῳ σχήματι, τυχὸν ἐν καπηλείῳ, τοῦτο ποιοῦσιν [33].

34. Πάντες οἱ τὴν ἀπαίτησιν ἔχοντες καὶ τῇ δόσει ὑποκείμενοι συμφωνεῖν ὀφείλουσι περὶ ἀποδόσεως. ὁ γὰρ μὴ εὑρεθεὶς οὐκ ὠφελεῖται [34].

35. Γυνὴ καὶ ἀφῆλιξ οὔτε ἐγγυῶνται, οὔτε προκριματίζονται, ἀλλὰ συγγινώσκονται [35].

36. Ἐπὶ πάσης ἐνοχῆς πολιτικῆς τε καὶ φυσικῆς ἐγγυητὴς προσλαμβάνεσθαι δύναται. καὶ ὑπὲρ δούλου καλῶς ἐνέχεται ὁ δεσπότης ὑπὲρ φυσικοῦ χρέους [36].

37. Ὁ κληρονόμος τοῦ ἐγγυητοῦ ἐνέχεται [37].

38. Δύναται ὁ ἐγγυητὴς προσλαμβάνειν τὴν ἐνοχὴν καὶ ἕπεσθαι αὐτῇ [38].

39. Ἐὰν πολλοὶ ἐγγυήσονται ἕκαστος εἰς ὁλόκληρον ἐνάγεται καὶ ἐνέχεται. ἀναγκάζεται δὲ ὁ ἐπερωτήσας ἐπιμερίζειν τὴν ἀπαίτησιν εἰς τοὺς ἐν τῷ καιρῷ τῆς προκατάρξεως εὐποροῦντας. τὸ γὰρ μέρος τῶν ἀπορούντων οἱ εὐποροῦντες ἐπιγινώσκουσι καὶ ἔχουσι κατὰ αὐτῶν οἱ ἀπαιτούμενοι [39].

40. Ἐνοχή ἐστι δεσμὸς δικαίου δι' οὗ ἀναγκαζόμεθα [καταβαλεῖν] ὅτι ἀπαιτεῖται. πᾶσαι δὲ αἱ ἐνοχαὶ ἢ πολιτικαί εἰσιν ἢ πραιτωρίαι. καὶ ἀπὸ συναλλάγματός εἰσιν, ἢ ἀπὸ τῆς ῥὲ τίκτονται ἢ ἀπὸ τῆς βέρβις ἢ τῆς λίτερις ἢ τῆς κονσένσου [40].

41. Ἐκ τοῦ β' βι. τῶν διγ. [41]. — Ἐν τῷ καιρῷ τοῦ θέρους καὶ τῆς τρύγης οὐδεὶς ἀναγκάζεται δικάσασθαι. εἰ δὲ κατὰ ἄγνοιαν ἢ ῥᾳθυμίαν ὁ δικαστὴς αὐτοὺς προσκαλέσηται, εἰ μὲν παροῦσι καὶ ἑκουσίως δικαζομένοις ψηφίζεται, ἔῤῥωται. εἰ δὲ ἀποῦσιν, ἀνίσχυρος ἡ ψῆφος καὶ χωρὶς ἐγκλήτου. εἰ δὲ μέλλει φθείρεσθαι ἡ ἀγωγὴ, ἀναγκάζονται συνελθεῖν μέχρι τοῦ προκατάρξασθαι, οὐ μὴν περαιτέρω.

42. Περὶ ἐγγύης ἐκ τοῦ ε' τί. βι. ιγ' [42] τῶν παρατίτλων. — Ὁ ἐγγυώμενος ἢ ἀντιφωνῶν ὑπέρ τινος καὶ αὐτὸς μὲν γίνεται ἔνοχος, κἀκεῖνον δὲ οὐκ ἐλευθεροῖ.

43. Πάντες οἱ συγγενεῖς καὶ προσγενεῖς δεκταῖοί εἰσι, κἂν ἄποροι τυγχάνωσι. κἂν πένητας δέ τινας ἐγγυήσονται καὶ δέ-

---

[33] Dig. XXIII, 2, 43. Basil. XXVIII, 4, 13. [34] Non invenio. [35] Dig. II, 8, 8 §. 1. 2. [36] Inst. III, 20 §. 1. [37] Inst. ib. §. 2. [38] Inst. ib. §. 3. [39] Inst. ib. §. 4. [40] Inst. II, 13. [41] Dig. II, 12, 1. Basil. VII, 17, 1. [42] Dig. XIII, 5, 28. App. Ecl. XXVII.

ξονται αὐτοὺς, οὐκ ἀπαιτοῦσιν ἑτέρους, εἰ μὴ ὁ ἐγγυητὴς ἀποθάνῃ ἢ τυχηρῶς τὴν οὐσίαν ἀπώλεσεν [43].

44. Ὁ ἀντιφωνῶν καὶ λέγων· τὸ ἱκανόν σοι ποιῶ, ἐνέχεται. εἰ δὲ εἴπῃ· ἐγὼ καὶ ὁ δεῖνα, μὴ γινομένου τοῖς ἄλλοις προκρίματος κατέχεται. εἰ δὲ εἴπῃ· ἐγὼ ἢ ὁ δεῖνα, εἰς ὁλόκληρον ἐνέχεται. εἰ δὲ εἴπῃ· τὸ ἱκανόν σοι γενήσεται, οὐδὲν πέπρακται [44].

45. Ἐκ τοῦ μ' τί. βι. η' τοῦ κώδ. — Ὁ ἐγγυησάμενός τινα παριστᾶν αὐτὸν ἔσω ῥητοῦ χρόνου, ἢ καὶ ἀντιφωνήσας φανερὰν καταβάλλεσθαι ποσότητα, μὴ ἀπαιτείσθω μετὰ παραδρομὴν τοῦ χρόνου, κἂν ἓξ μῆνες ἢ πλείονος χρόνου ἐστὶν ἡ προθεσμία, ἀλλ' ἐχέτω ἑτέρων ἓξ μηνῶν χρόνον. παραδραμούσης δὲ καὶ τῆς δευτέρας προθεσμίας, μηκέτι τὸν ἐγγυηθέντα παραγαγέτω, ἀλλὰ τὴν ποινὴν ἀπαιτείσθω [45].

46. Ὁ καθ' οἱονδήποτε τρόπον χρεωστούμενος κινείτω πρῶτον κατὰ τοῦ πρωτοτύπου, ἐκείνου δὲ ἀποροῦντος ἢ ἀπόντος κινείτω κατὰ τοῦ ἐγγυητοῦ. εἰ δὲ μὴ οὕτως πληρωθῇ τὸ χρέος, τότε κινείτω [κατὰ τοῦ νεμομένου τὰ πράγματα τοῦ πρωτοτύπου, ὕστερον δὲ καὶ] κατὰ τῶν νεμομένων τὰ πράγματα τοῦ ἐγγυητοῦ ἢ τῶν χρεωστούντων αὐτοῖς [46].

47. Ὅπου ἡ προκάταρξις γέγονεν ἐκεῖ καὶ τὸ πέρας τῆς δίκης γυμνάζεται. ἀνάγνωθι βι. γ̄ τοῦ κώδικος [47].

ΤΙΤΛΟΣ νβ' [1].

Περὶ ποινῶν.

1. Ὁ ἐρεθίζων τοὺς πολεμίους ἢ ὁ παραδιδοὺς πολεμίοις ῥωμαίους κεφαλικῶς κολάζεται [2].

2. Ὁ ποιήσας φάρμακα ἢ ἐσχηκὼς ἢ πωλήσας ἐπὶ ἀναιρέσει ἀνθρώπου κατέχεται [3].

3. Τοὺς ἐκ τῶν ῥωμαίων πρὸς τοὺς πολεμίους ἀποφεύγοντας ὡς πολεμίους ἔξεστι φονεύειν [4].

---

[43] Dig. II, 6, 1—3. II, 8, 2. 10. App. Ecl. XXVIII. [44] Nov. 115 c. ult. App. Ecl. XXIX. [45] Cod. VIII, 40, 26. App. Ecl. XXX. [46] Nov. 4. App. Ecl. XXXI. [47] Theod. Nov. 123 §. 55.

[1] Alius: π. διαφόρων κεφαλαίων τί. νγ'. [2] Proch. XXXIX, 1. Cf. Leges militares §. 45. [3] Dig. XLVIII, 8, 3 pr. ex Proch. h. t. c. 2. [4] Dig. eod. §. 6 ex Proch. h. t. c. 3.

4. Ἐὰν τὸν ἐν νυκτὶ κλέπτοντα φονεύσῃ τὶς, τότε ἀτιμώρητος μένει, ὅτε μὴ ἠδύνατο δίχα ἰδίου κινδύνου φείσασθαι αὐτοῦ [5].

5. Ἐάν τις εἰδὼς ἐλεύθερον ἀγοράσῃ ἢ πωλήσῃ αὐτὸν ἢ δωρήσηται ἢ εἰς προῖκα δώσῃ ἢ καταλλάξῃ, μιᾶς τούτων τῶν αἰτιῶν ἀποδεικνυμένης ὁ τοιοῦτος χειροκοπείσθω [6].

6. Οἱ λεγόμενοι νεωτερισταὶ καὶ στάσεις καὶ θορύβους ἐν τῷ δήμῳ ποιοῦντες, εἰ μὲν ὑπομνησθέντες παρὰ τοῦ ἄρχοντος τοῖς αὐτοῖς ἐπιμείνοιεν, ἐξορίζονται. εἰ δὲ πολλοὺς θορύβους καὶ ἀταξίας ἐποίησαν καὶ πολλάκις κρατηθέντες ἐπὶ τῆς αὐτῆς ἐπέμειναν προπετείας, τυπτόμενοι καὶ κουρευόμενοι διηνεκῶς ἐξοριζέσθωσαν. εἰ δὲ οὐχ ὑπεμνήσθησαν παρὰ τοῦ ἄρχοντος, ῥοπαλίζονται μόνον καὶ ἀπολύονται [7].

7. Ὁ τὸν προσφεύγοντα εἰς τὴν ἁγιωτάτην τοῦ θεοῦ ἐκκλησίαν ἰδίᾳ χρώμενος αὐθεντίᾳ ἀποσπάσας δερόμενος καὶ κουρευόμενος διηνεκῶς ἐξοριζέσθω [8].

8. Μηδεὶς πιπρασκέτω βαρβάροις ὅπλα εἰργασμένα ἢ ἀνέργαστα ἢ σίδηρον, ἐπεὶ κεφαλικῶς τιμωρεῖται [9].

9. Ὁ κατὰ τῆς σωτηρίας τοῦ βασιλέως μελετήσας φονεύεται καὶ δημεύεται [10].

10. Ὁ συνειδώς τινι γοητείαν καὶ κατασχὼν αὐτὸν τῇ δημοσίᾳ ὄψει παραδιδότω. εἰ δέ τις οἱοσδήποτε ἄνθρωπος συλλαβόμενος τοῦτον μὴ παραδώσει, ἐσχάτην ὑπομενέτω τιμωρίαν [11].

11. Ὁ πλαστὴν μονίταν ποιῶν μετὰ τῶν ὑπουργησάντων αὐτῷ χειροκοπείσθωσαν. ὁ δὲ τοῦ ἀγροῦ διοικητής, ἐν ᾧ γέγονεν ἡ πλαστὴ μονίτα, εἴτε γεωργὸς εἴτε δοῦλος εἴτε ἔνοικος ἢ ἐργαστηριακὸς ὑπηρετήσας τῷ ἁμαρτήματι, καὶ ὁ τοιοῦτος χειροκοπείσθω [12].

12. Ὁ συκοφάντης τῇ ταυτοπαθείᾳ ὑπόκειται [13].

13. Οἱ πρὸς τοὺς πολεμίους αὐτομολοῦντες καὶ τὰς ἡμετέρας βουλὰς ἀπαγγέλλοντες ξίφει τιμωρείσθωσαν [14].

14. Ἐάν τις [15] εἰδὼς οἰκήματα ἐμπρήσῃ ἢ σωρὸν σίτου

---

[5] Dig. eod. dig. 9 ex Proch. h. t. c. 4. [6] Dig. XLVIII, 15, 4 ex Proch. h. t. c. 5. [7] Dig. XLVIII, 19, 28 §. 3 ex Proch. h. t. c. 6. [8] Proch. cit. c. 7. [9] Cod. IV, 41, 2 ex Proch. h. t. c. 9. [10] Cod. IX, 8, 5 ex Proch. cit. c. 10. [11] Cod. IX, 18, 9 ex Proch. h. t. c. 13. [12] Proch. h. t. c. 14. [13] Cod. IX, 46, 10 ex Proch. h. t. c. 15. [14] Dig. XLVIII, 19, 38 §. 1 ex Proch. h. t. c. 17. [15] Nonnulli addunt *ἐν πόλει*.

πλησίον οἰκήματος κείμενον, ἐλεγχόμενος [πυρὶ] παραδίδοται. εἰ δὲ ἔξω πόλεως τὸ τοιοῦτον διαπράξηται, χειροκοπείσθω [16].

15. Οἱ πολέμιοι καὶ οἱ πρὸς αὐτοὺς αὐτομολοῦντες ξίφει τιμωρείσθωσαν [17].

16. Τὸ διὰ θυσιῶν μαντεύεσθαι κεκώλυται, εἰ μὴ κατὰ ἄγνοιαν τοῦτο πράξουσιν. ἀλλὰ καὶ οἱ εἰς βλάβην ἀνθρώπων δαίμονας ἐπικαλούμενοι ξίφει τιμωρείσθωσαν [18].

17. Οἱ δοῦλοι ἢ οἱ ἀπελεύθεροι ἀνδραποδίζοντες ἐλευθέρους δερόμενοι καὶ κουρευόμενοι ξίφει τιμωρείσθωσαν [19].

18. Ἀπαγορεύει ἡ διάταξις ἀμφοτέρους τοὺς πόδας καὶ τὰς χεῖρας τέμνεσθαι [20].

19. Ὁ δοῦλον ὑποδεξάμενος δίδωσιν αὐτὸν μετὰ καὶ ἑτέρου ὁμοίου ἤτοι νομισμάτων κ̄. ὁσάκις δὲ αὐτὸν ὑποδέξεται, τοσαυτάκις αὔξεται ἡ ποινή [21].

20. Κατὰ τοῦ ἁρπάσαντος πρᾶγμα ἀπὸ ἐμπρησμοῦ ἢ καταπτώσεως [ἢ] ναυαγίου, ἢ κατὰ τοῦ ὑποδεχομένου κατὰ δόλον τοιαῦτα πράγματα, ἐντὸς ἐνιαυτοῦ εἰς τὸ τετραπλάσιον δίδοται ἡ ἀγωγὴ, μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς τὸ διπλοῦν [22].

21. Πενταετίᾳ σβέννυται τὸ ἔγκλημα τῆς μοιχείας. ἀλλὰ τοῦτο λέγομεν περὶ τῶν [εἰς] ἑκοῦσαν ἡμαρτηκότων [23].

22. Οἱ διδάσκοντες τὰ ἀσεβῆ δόγματα ἐσχάτῃ ὑπόκεινται τιμωρίᾳ [24].

23. Οἱ μανιχαῖοι χριστιανοὶ γενόμενοι καὶ μετὰ ταῦτα [τὰ] τῶν μανιχαίων διαπραττόμενοι, ἢ τοῖς τοιούτοις ἐντυγχάνοντες καὶ μὴ παραδίδοντες τοῖς ἄρχουσιν, ἐσχάτῃ τιμωρίᾳ ὑπόκεινται. καὶ οἱ ἐν ἀξίαις ἢ στρατείαις ἢ συστήμασιν ὄντες ὀφείλουσι φροντίζειν, μήτις αὐτῶν ἐστὶ τοιοῦτος· ἐπείτοιγε εἰ ἴσασιν αὐτὸν καὶ μὴ παραδιδοῦσι, κἂν ὀρθόδοξοι ὦσιν, ἐσχάτῃ τιμωρίᾳ ὑποβάλλονται [25].

24. Ἕλληνες καὶ ἰουδαῖοι καὶ αἱρετικοὶ οὔτε στρατεύονται οὔτε πολιτεύονται, ἀλλ᾽ ἐσχάτως ἀτιμοῦνται [26].

25. Οἱ μανιχαῖοι καὶ μετὰ θάνατον ἐλέγχονται, καὶ οὐδεὶς αὐτῶν κληρονομεῖ ἐκ διαθήκης ἢ ἐξ ἀδιαθέτου, κἂν συγ-

[16] Dig. eod. 28 §. 12 ex Proch. h. t. c. 18. [17] Dig. XLIX, 16, 7 ex Proch. h. t. c. 19. [18] Cod. IX, 18, 3. 6 ex Proch. h. t. c. 20. 21. [19] Cod. IX, 20, 15 ex Proch. h. t. c. 22. [20] Nov. 134 c. 13 ex Proch. h. t. c. 23. [21] Cod. VI, 1, 4 ex Proch. h. t. c. 24. [22] Cod. VI, 2, 18 ex Proch. h. t. c. 25. [23] Dig. XLVIII, 5, 29 ex Proch. h. t. c. 26. [24] Cod. I, 5, 2 ex Proch. h. t. c. 27. [25] Cod. I, 5, 16 ex Proch. h. t. c. 28. [26] Cod. I, 5, 12 sive 18.

γενεῖς εἰσιν ὀρθόδοξοι, πλὴν παίδων, ἀλλ' εἰσκομίζονται τὰ πράγματα αὐτῶν. μόνοι γὰρ οἱ ὀρθόδοξοι παῖδες κληρονομοῦσιν αὐτούς. τὰ αὐτὰ δὲ καὶ περὶ δονατιστῶν [27].

26. Ὁ ποιῶν ἑλληνικὰς θυσίας ἢ τιμῶν εἴδωλα ἢ θυσιάζων ἢ λιβάνοις αὐτοῖς καίων, ἐσχάτῃ ὑποβάλλεται τιμωρίᾳ. ὁμοίως δὲ τιμωροῦνται καὶ οἱ συνίστορες αὐτῶν καὶ οἱ ὑπηρέται τῶν θυσιῶν [28].

27. Ἐὰν ἰουδαῖος χριστιανὸν ἀνδράποδον κτήσηται καὶ περιτέμῃ, κεφαλικῶς τιμωρεῖται [29].

28. Ἐὰν ἰουδαῖος τολμήσῃ διαστρέψαι χριστιανικὸν λογισμὸν, ὑπόκειται κεφαλικῇ τιμωρίᾳ [30].

29. Οἱ ἀξιωθέντες τοῦ ἁγίου βαπτίσματος καὶ πάλιν ἑλληνίζοντες, ἐσχάτῃ ὑπόκεινται τιμωρίᾳ [31].

30. Οἱ ἀποστάντες τῆς ὀρθοδόξου πίστεως καὶ αἱρετικοὶ γενόμενοι ἢ θύσαντες ἢ θῦσαί τινι ἐπαγγειλάμενοι οὐ δύνανται διαθέσθαι ἢ δωρεῖσθαι, οὔτε ἐκ διαθήκης οὔτε ἐξ ἀδιαθέτου λαμβάνειν τὶ δύνανται [32].

31. Δοῦλος συνειδὼς καὶ συμπράττων τῇ ἁρπαγῇ τῆς δεσποίνης καίεται [33].

32. Ὁ διδάσκων τοὺς βαρβάρους ναῦς κατασκευάζειν κεφαλικῇ ὑπόκειται τιμωρίᾳ [34].

33. Οἱ ἁρπάσαντες γυναῖκα ἢ μεμνηστευμένην ἢ ἀμνήστευτον ἢ χήραν, εἴτε εὐγενής ἐστιν εἴτε δούλη ἢ ἀπελευθέρα, καὶ μάλιστα εἰ τῷ θεῷ εἰσὶ γυναῖκες καθιερωμέναι, κἂν τὴν ἰδίαν μνηστήν τις ἥρπασεν, εἰ μὲν μεθ' ὅπλων ἢ ξίφων ἢ ῥοπάλων τὴν ἁρπαγὴν ἐποιήσατο, ὁ τοιοῦτος ξίφει τιμωρείσθω. οἱ δὲ συνυπουργήσαντες ἢ συνειδότες ἢ ἑκόντες ὑποδεξάμενοι ἢ οἱανδήποτε σπουδὴν εἰσενεγκόντες, τυπτόμενοι καὶ κουρευόμενοι ῥινοκοπείσθωσαν. εἰ δὲ χωρὶς οἱωνδήποτε ὅπλων τὴν ἁρπαγὴν ἐποιήσαντο, ὁ μὲν τὴν ἁρπαγὴν ποιήσας χειροκοπείσθω, οἱ δὲ βοηθήσαντες ἢ συνειδότες ἢ ὑπηρετήσαντες ἢ ἑκόντες ὑποδεξάμενοι ἢ οἱανδήποτε σπουδὴν αὐτοῖς ἐνεγκόντες τυπτόμενοι καὶ κουρευόμενοι ἐξοριζέσθωσαν [35].

34. Ἐάν τις οἰκειακὸς ἢ δοῦλος ἐγκληματικῶς κατηγορῇ

---

[27] Cod. I, 5, 15 ex Proch. h. t. c. 29. [28] Cod. I, 11, 7 ex Proch. h. t. c. 30. [29] Cod. I, 10, 1 ex Proch. h. t. c. 31. [30] Cod. I, 9, 18 ex Proch. h. t. c. 32. [31] Cod. I, 7, 3 ex Proch. h. t. c. 33. [32] Cod. I, 7, 4 ex Proch. h. t. c. 34. [33] Cod. IX, 13, 1 §. 3 ex Proch. h. t. c. 36. [34] Cod. IX, 47, 25 ex Proch. h. t. c. 38. [35] Proch. h. t. c. 40.

τοῦ ἔχοντος αὐτὸν, ἀποτεμνέσθω· ἐξῃρημένου τοῦ ἐπὶ καθοσιώσει κατηγοροῦντος. καὶ ὁ ἀπελεύθερος ἔγκλημα ἐπιφέρων τῷ πάτρωνι ἢ τῷ κληρονόμῳ αὐτοῦ τὴν αὐτὴν ὑποστήτω τιμωρίαν [36].

35. *Ὁ τὸν μοιχὸν μετὰ τῆς ἰδίας γυναικὸς ἐν συμπλοκῇ καταλαβὼν, εἰ συμβῇ αὐτὸν ἀνελεῖν, οὐ κινδυνεύεται ὡς ἀνδροφόνος. εἰ δέ τις ὡς εἰκὸς ὑποπτεύσει τινὰ βούλεσθαι τῇ τῆς ἰδίας γαμετῆς συμπαῖξαι σωφροσύνῃ, καὶ παραγγελίας αὐτῷ ἐγγράφους τρεῖς πέμψῃ, ἐχούσας μαρτυρίας ἀνδρῶν ἀξιοπίστων, καὶ μετ᾽ αὐτὰς τὰς τρεῖς παραγγελίας διὰ μαρτύρων εὕροι αὐτὸν συντυγχάνοντα τῇ αὐτοῦ γαμετῇ, εἰ μὲν εἰς τὸν ἴδιον οἶκον ἢ τὸν ταύτης ἢ τοῦ μοιχοῦ, ἢ ἐν προπίναις ἢ ἐν προαστείοις, εἶναι ἄδειαν τῷ ἀνδρὶ ταῖς οἰκείαις χερσὶν τὸν τοιοῦτον ἀνελεῖν, οὐδένα κίνδυνον ἐντεῦθεν ὑφισταμένῳ. εἰ δὲ ἐν ἀλλοτρίῳ τόπῳ τὸν τοιοῦτον εὕροι μετὰ τῆς αὐτοῦ γαμετῆς, τῷ ἄρχοντι παραδιδόναι τῷ τὰ ἐγκλήματα ἐξετάζοντι, ἐκεῖνον δὲ τὸν τὰς παραγγελίας ἐκ τρίτου δεξάμενον καὶ μετ᾽ αὐτῆς εὑρεθέντα ὡς ἐκ μόνου τούτου τῷ τῆς μοιχείας ἐγκλήματι ὑποπεσεῖν, μηδεμιᾶς ἄλλης ζητουμένης ἀποδείξεως εἰς τὸ τιμωρεῖσθαι· ἄδειαν δὲ εἶναι τῷ ἀνδρὶ ὡς ἂν βούλεται τῆς ἰδίας γαμετῆς κατηγορεῖν, καὶ κατὰ τοὺς νόμους τῷ ἐγκλήματι ἐπεξιέναι* [37].

36. *Γυνὴ ὕπανδρος τῷ ἰδίῳ δούλῳ μοιχευθεῖσα, αὐτὴ μὲν τυπτομένη καὶ κουρευομένη ῥινοκοπείσθω, ἀπελαυνομένη καὶ τῆς πολιτείας ἐν ᾗ κατοικεῖ, ἐκπίπτουσα καὶ τῆς ἰδίας οὐσίας· ὁ μέντοιγε μοιχεύσας δοῦλος ξίφει τιμωρείσθω* [38].

37. *Γυνὴ μὴ ἔχουσα ἄνδρα καὶ τῷ ἰδίῳ δούλῳ μιγεῖσα, εἰ μὲν μὴ ἔχουσα παῖδας τοῦτο διαπράξηται, τυπτέσθω καὶ κουρευέσθω, καὶ ὁ τοιοῦτος δοῦλος τυπτόμενος καὶ κουρευόμενος πιπρασκέσθω καὶ ἡ τιμὴ αὐτοῦ εἰσκομιζέσθω. εἰ δὲ ἐπὶ παισὶ τοῦτο διαπραχθῇ, καὶ ἡ ὑπόστασις αὐτῆς πᾶσα κατὰ δεσποτείας τρόπον παραυτίκα τοῖς παισὶ ἀνεκποίητος παραφυλαττέσθω, τῆς χρήσεως μόνης παρ᾽ αὐτῆς μενούσης· ἡ δὲ τιμὴ τοῦ δούλου τοῖς παισὶν ἀνήκει* [39].

38. *Οἱ μοιχοὶ τυπτόμενοι καὶ κουρευόμενοι ῥινοκοπείσθωσαν. οἱ δὲ μέσοι καὶ ὑπουργοὶ τῷ τοιούτῳ ἀσεβήματι γεγονότες, τυπτόμενοι καὶ κουρευόμενοι διηνεκῶς ἐξοριζέσθωσαν* [40].

[36] Cod. IX, 1, 20. 21 ex Proch. h. t. c. 41. [37] Nov. 117 c. 15 pr. ex Proch. h. t. c. 42. [38] Proch. h. t. c. 43. [39] Proch. h. t. c. 44. [40] Proch. h. t. c. 45.

39. Ὁ ἐκ δικαστικῆς ψήφου [ἢ] ἐξ αἰτήσεως τοῦ ἀντιδίκου ὅρκον ὑπέχων ἐν ἐκκλησίᾳ τῶν ἀχράντων ἐφαπτόμενος εὐαγγελίων, ἐπιορκεῖν δὲ μετὰ ταῦτα ἐλεγχθεὶς, γλωσσοκοπείσθω. τὸ αὐτὸ καὶ ἐπὶ μαρτύρων [41].

40. Ἀδελφὸς κατὰ ἀδελφοῦ μέγα ἔγκλημα κινεῖν οὐ δύναται, ἐπείτοιγε οὐκ ἀκουσθήσεται [42].

41. Ὁ ἁρπάζων γῆν ἢ μετατιθεὶς ὅρια διπλὴν τὴν ἁρπαγὴν δίδωσι [43].

42. Ἐὰν χωρὶς δικαστικῆς ἀποφάσεως ἀφέληταί τις πρᾶγμα, εἰ μὲν ἴδιον αὐτοῦ, ἐκπίπτει τῆς αὐτοῦ δεσποτείας· εἰ δὲ ἀλλότριον, παρεχέτω αὐτὸ τὸ πρᾶγμα καὶ τὴν διατίμησιν αὐτοῦ [44].

43. Ὁ κεχρημένος ἵππῳ ἕως ὡρισμένου τινὸς τόπου, τὸν δὲ ὡρισμένον τόπον ὑπερβὰς, τὴν ὡς εἰκὸς γενομένην ἐπ᾽ αὐτῷ βλάβην ἢ τοῦ θανάτου αὐτὸς τὸν λόγον ὑπέχει καὶ τὸ ἀζήμιον τῷ κυρίῳ τοῦ ἵππου περιποιεῖται. εἰ δὲ ἐντὸς τοῦ ὁρισθέντος χρόνου τυχὸν ἢ τόπου βλάβη γένηται τῷ ἵππῳ ἢ θάνατος, ἀζήμιός ἐστιν ὁ κεχρημένος, εἰ μὴ ἄρα ἐξ ἀμελείας ἢ ἐπιβουλῆς τὸ περὶ τὸν ἵππον εἰργάσατο πάθος [45].

44. Ὁ ἐναποκλείσας ἀλλότρια θρέμματα καὶ τροφῆς ἐνδείᾳ φθείρας ἢ ἄλλως πως ἀνελὼν, εἰς τὸ διπλάσιον καταδικάζεται [46].

45. Κριῶν ἢ ἵππων ἢ χοίρων ἢ ἄλλων τινῶν θρεμμάτων συνεληλυθότων, εἰ μὲν ὁ πρῶτος ἐλθὼν τοῖς ἄλλοις ἀνῃρέθη, ἀνεύθυνος ἔσται ὁ τοῦ ἀνελόντος [δεσπότης· εἰ δὲ ἀνέλῃ ὁ ἐπελθὼν, ὑπεύθυνος γίνεται ὁ δεσπότης τοῦ ἀνελόντος], καὶ ἢ τὸ ζῶον δίδωσι τῷ τοῦ ἀναιρεθέντος δεσπότῃ ἢ τὸ ἀζήμιον αὐτῷ περιποιεῖται [47].

46. Τοὺς ἐν οἱᾳδήποτε πολιτείᾳ κλέπτοντας, ἅπαξ μὲν τοῦτο ποιοῦντας, θεσπίζομεν, εὐπόρους μὲν καὶ ἐλευθέρους ὑπάρχοντας, πρὸς τῇ ἀποκαταστάσει τοῦ κλαπέντος καὶ διπλὴν ποσότητα καταβαλεῖν τῷ τὴν κλοπὴν ὑπομείναντι· εἰ δὲ ἄποροι εἶεν, τυπτόμενοι ἐξοριζέσθωσαν. ἐὰν δὲ οὐχ ἅπαξ ἀλλὰ καὶ πολλάκις ἁλῶσι, χειροκοπείσθωσαν [48].

---

[41] Ecl. XVII, 2 ex Proch. h. t. c. 46. [42] Cod. IX, 1, 13 ex Proch. h. t. c. 47. [43] Proch. h. t. c. 48. [44] Cod. VIII, 4, 7 ex Proch. h. t. c. 49. [45] Dig. XIII, 6, 5 §. 7 et dig. 23 (Ecl. XVII, 7) ex Proch. h. t. c. 50. [46] Cod. III, 35, 5 (Ecl. XVII, 8) ex Proch. h. t. c. 51. [47] Dig. IX, 1, 1 §. 11 (Ecl. XVII, 9) ex Proch. h. t. c. 52. [48] Ecl. XVII, 11 ex Proch. h. t. c. 54.

47. Τοὺς ἐν φοσσάτῳ κλέπτοντας, εἰ μὲν ὅπλα, σφοδρῶς προστάττομεν τύπτεσθαι· εἰ δέ τι τῶν ὑποζυγίων, χειροκοπεῖσθαι [49].

48. Ὁ τοῦ κλαπέντος δούλου δεσπότης ἢ τὸ ἀζήμιον περιποιεῖται τῷ τὴν κλοπὴν ὑποστάντι, ἢ εἰ μὴ βούλοιτο τοῦτο ποιεῖν, τὸν δοῦλον εἰς τελείαν δεσποτείαν παραδίδωσι τῷ τὴν κλοπὴν ὑποστάντι [50].

49. Οἱ τὰς ἀλλοτρίας ἀγέλας ἀπελαύνοντες, ἅπαξ μὲν τοῦτο ποιοῦντες τυπτέσθωσαν, δὶς δὲ διαπραττόμενοι ἐξοριζέσθωσαν. εἰ δὲ τρίτον φωραθεῖεν τὸ τοιοῦτον κατατολμῆσαι, χειροκοπείσθωσαν, τῆς ἀπελαθείσης ἀγέλης τῇ ἰδίᾳ δεσποτείᾳ παρ' αὐτῶν ἀποκαθισταμένης [51].

50. Οἱ τοὺς νεκροὺς ἐν τοῖς τάφοις ἐκδύοντες χειροκοπείσθωσαν [52].

51. Ὁ ἐν θυσιαστηρίῳ νυκτὸς ἢ ἡμέρας εἰσιὼν καὶ τῶν ἐν αὐτῷ ἱερῶν τι ἀφελόμενος, τυφλούσθω· ὁ δὲ ἔξω τοῦ θυσιαστηρίου ἐκ τοῦ ναοῦ τι εἰληφὼς, τυπτόμενος καὶ κουρευόμενος ἐξοριζέσθω [53].

52. Ὁ ἔχων γυναῖκα καὶ πορνεύων, διὰ δώδεκα ἀλλακτῶν σωφρονιζέσθω [54].

53. Ὁ μὴ ἔχων γυναῖκα καὶ τῇ αὐτῇ περιπίπτων ἁμαρτίᾳ, διὰ ἓξ ἀλλακτῶν σωφρονιζέσθω [55].

54. Ὁ ἔχων γυναῖκα καὶ τῇ ἰδίᾳ δούλῃ μιγνύμενος, τῆς πράξεως γινωσκομένης αὐτὸς μὲν τυπτόμενος σωφρονιζέσθω, ὁ δὲ κατὰ τόπον ἄρχων ἀναλαμβάνων τὴν δούλην ὑπὲρ ἐπαρχίαν αὐτὴν πιπρασκέτω, τῆς τιμῆς αὐτῆς τῷ δημοσίῳ εἰσκομιζομένης. εἰ δὲ ἀλλοτρίαν δούλην πορνεύοι, τῶν εὐπόρων ὑπάρχων, παρεχέτω ὑπὲρ τοῦ πταίσματος τῷ δεσπότῃ τῆς δούλης νομίσματα λς, εἰ δὲ εὐτελὴς ᾖ, τυπτέσθω καὶ καθ' ὅσον εὐπορεῖ κατὰ ἀναλογίαν τῶν λς νομισμάτων διδότω [56].

55. Οἱ ταῖς μοναζούσαις ἢ ταῖς διακονίσσαις ἢ ταῖς ἀσκητρίαις ἐνασελγαίνοντες, ὡς εἰς τὴν νύμφην τοῦ χριστοῦ ἐκκλησίαν ὑβρίζοντες ῥινοκοπείσθωσαν, αὐτοί τε καὶ αἷς αὐτοὶ συνεφθάρησαν [57].

---

[49] Ecl. XVII, 10 ex Proch. h. t. c. 53. [50] Ecl. XVII, 12 ex Proch. h. t. c. 55. [51] Ecl. XVII, 13 ex Proch. h. t. c. 56. [52] Ecl. XVII, 14 ex Proch. h. t. c. 57. [53] Ecl. XVII, 15 ex Proch. h. t. c. 58. [54] Ecl. XVII, 19 ex Proch. h. t. c. 59. [55] Ecl. XVII, 20 ex Proch. h. t. c. 59. [56] Ecl. XVII, 21. 22 ex Proch. h. t. c. 60. 61. [57] Ecl. XVII, 23. 24 ex Proch. h. t. c. 62.

56. Ὁ τῇ ἰδίᾳ συντέκνῳ ἢ ὀνόματι γάμου ἀγαγόμενος ἢ καὶ ἄλλως πως συμπλεκόμενος, ἅμα αὐτῇ ῥινοκοπείσθω· δηλονότι πρότερον ἀπ' ἀλλήλων διϊσταμένων. εἰ μέντοι εἰς ὕπανδρον σύντεκνον τοῦτο διαπράττῃ, ἡ μὲν ποινὴ ὡσαύτως προβήσεται, πρὸς τούτοις δὲ καὶ τυπτέσθωσαν [58].

57. Ὁ μοιχείαν τῇ ἰδίᾳ συνειδὼς γυναικὶ καὶ παραχωρῶν, τυπτόμενος ἐξοριζέσθω· ὁ δὲ μοιχὸς καὶ ἡ μοιχαλὶς ῥινοκοπείσθωσαν [59].

58. Ὁ παρθένῳ κόρῃ μιγνύμενος, ἐκείνης μὲν προαιρέσει, ἀγνοούντων δὲ τῶν γονέων, τῆς πράξεως διαγινωσκομένης εἰ μὲν θέλῃ λαβεῖν αὐτὴν εἰς γυναῖκα καὶ συναινέσουσι καὶ οἱ γονεῖς, γενέσθω τὸ συνάλλαγμα· εἰ δὲ ἓν μέρος τῶν γονέων οὐ θελήσῃ, εἰ μὲν εὔπορός ἐστιν ὁ φθορεὺς, διδότω τῇ φθαρείσῃ χρυσίου λίτραν μίαν· εἰ δὲ ἐνδεέστερος, τὸ ἥμισυ τῆς αὐτοῦ ὑποστάσεως· εἰ δὲ παντελῶς εἴη ἀνεύπορος, τυπτόμενος καὶ κουρευόμενος ἐξοριζέσθω [60].

59. Ὁ βιάζων κόρην καὶ φθείρων αὐτὴν, ῥινοκοπείσθω, διδοὺς αὐτῇ καὶ τὸ τρίτον τῆς ὑποστάσεως αὐτοῦ [61].

60. Ὁ βιάζων πρὸ τῆς ἥβης ἤγουν πρὸ τοῦ ιγ̄ χρόνου, ῥινοκοπείσθω καὶ τὸ ἥμισυ τῆς ὑποστάσεως αὐτοῦ παρεχέτω τῇ φθαρείσῃ κόρῃ [62].

61. Ὁ τὴν ἀλλοτρίαν μνηστὴν φθείρων, εἰ μὲν προαιρέσει τῆς κόρης, ῥινοκοπείσθω· εἰ δὲ ἀπροαιρέτως, μετὰ τὴν ποινὴν ταύτην καὶ τὸ τρίτον τῆς ὑποστάσεως αὐτοῦ παρεχέτω τῇ φθαρείσῃ [63].

62. Οἱ αἱμομῖκται, εἴτε γονεῖς πρὸς τέκνα ἢ τέκνα πρὸς γονεῖς ἢ ἀδελφοὶ πρὸς ἀδελφὰς, ξίφει τιμωρείσθωσαν. οἱ δὲ κατὰ ἄλλην συγγένειαν πρὸς ἀλλήλους συμφθειρόμενοι, τουτέστι πατὴρ εἰς γυναῖκα υἱοῦ ἢ υἱὸς εἰς γυναῖκα πατρὸς ἤγουν μητρυιὰν ἢ πατρωὸς εἰς προγονὴν ἢ ἀδελφὸς εἰς γυναῖκα ἀδελφοῦ ἢ θεῖος εἰς ἀνεψιὰν ἢ ἀνεψιὸς εἰς θείαν ἢ εἰς δύο ἀδελφὰς ἢ εἰς μητέρα ξένην καὶ τὴν αὐτῆς θυγατέρα ἐν εἰδήσει μιγνύμενος, οἱ τοιοῦτοι τυπτόμενοι καὶ κουρευόμενοι ῥινοκοπείσθωσαν, αὐτοί τε καὶ αἷς αὐτοὶ συνεφθάρησαν [64].

63. Ὁ δύο γυναῖκας ἔχειν πειραθεὶς, οὐ νόμῳ ἀλλὰ φάκτῳ

---

[58] Ecl. XVII, 25. 26 ex Proch. h. t. c. 63. [59] Ecl. XVII, 28 ex Proch. h. t. c. 64. [60] Ecl. XVII, 29 ex Proch. h. t. c. 65. [61] Ecl. XVII, 30 ex Proch. h. t. c. 66. [62] Ecl. XVII, 31 ex Proch. h. t. c. 67. [63] Ecl. XVII, 32 ex Proch. h. t. c. 68. [64] Ecl. XVII, 33. 34 ex Proch. h. t. c. 69.

καὶ προαιρέσει, καλῶς ὑποστήσεται τὸ τῆς μοιχείας ἔγκλημα. ἡ δὲ ὕστερον αὐτῷ γαμηθεῖσα, εἰ ἠγνόει ἔχειν νόμιμον γαμετὴν, συγγνωσθήσεται [65].

64. Ἐὰν γυνὴ ἔγκυος γένηται καὶ ἐπιβουλεύσῃ τῇ ἰδίᾳ γαστρὶ πρὸς τὸ ἐκτρῶσαι, τυπτομένη ἐξοριζέσθω [66].

65. Οἱ πρὸς γάμον συναπτόμενοι ἢ ἄλλως πως σαρκικῶς συμπλεκόμενοι ἐξάδελφοι καὶ οἱ ἐξ αὐτῶν τικτόμενοι παῖδες καὶ μόνον, ἢ καὶ πατὴρ καὶ υἱὸς πρὸς μητέρα καὶ θυγατέρα, ἢ δύο ἀδελφοὶ εἰς δύο ἀδελφὰς, ἢ ἀνεψιὸς εἰς τὴν τοῦ θείου γυναῖκα, ἢ θεῖος εἰς τὴν γεγενημένην τοῦ ἀνεψιοῦ γυναῖκα, πρὸς τῷ χωρισμῷ καὶ τυπτέσθωσαν [67].

66. Οἱ ἀσελγεῖς, ὅ τε ποιῶν καὶ ὁ πάσχων, ξίφει τιμωρείσθωσαν, εἰ μὴ ἄρα ὁ πεπονθὼς ἔλαττον ᾖ τῶν ιβ χρόνων. τότε γὰρ τὸ ἐνδεὲς τῆς ἡλικίας αὐτοῦ τῆς τοιαύτης αὐτὸν ἀπαλλάττει ποινῆς [68].

67. Οἱ ἀλογευόμενοι ἤγουν κτηνοβάται καυλοκοπείσθωσαν [69].

68. Εἴ τις τὴν καλάμην τοῦ ἰδίου χωραφίου βουληθεὶς καῦσαι ἐνέβαλε κατ᾽ αὐτοῦ πῦρ, τὸ δὲ πῦρ ἀχθὲν τὰ ἀλλότρια ἔκαυσε χωράφια ἢ τὸν ἀλλότριον ἀμπελῶνα, δεῖ τὸν ἀκροατὴν ἐξετάζειν, καὶ εἰ μὲν ἐξ ἀπειρίας ἢ ῥαθυμίας τοῦ ἀνάψαντος τὸ πῦρ ἀνῆψεν ἡ φλὸξ, καὶ εἰ μὴ παρεφυλάξατο τοῦ προελθεῖν τὴν φλόγα περαιτέρω, ὡς ἀμελήσας τοῦ τοιούτου καταδικάζεται. εἰ δὲ πάντα μὲν ὁ τοιοῦτος παρεφυλάξατο, ἀθρόον δὲ πνεῦμα προσπεσὸν τὴν τοῦ πυρὸς φλόγα ἐπὶ τὸν βλαβέντα μετεκόμισεν, ἀνεύθυνος ὁ τὸ πῦρ ἀνάψας διαμένει [70].

69. Ἐὰν ἀπό τινος τύχης οἶκός τινος ἐμπρησθῇ, κἀκεῖθεν τὸ πῦρ ἐκδραμὸν τὰ συμπαρακείμενα ἐμπρήσῃ, οὐδὲν ὑπόκειται ὁ κατ᾽ ἀρχὰς ἐμπρησθείς [71].

70. Εἴ τις ἐλεύθερος ἢ δοῦλος ἐπὶ οἱαδήποτε προφάσει δώσει ποτὸν, εἴτε γυνὴ ἀνδρὶ εἴτε ἀνὴρ γυναικὶ εἴτε δούλη δεσποίνῃ εἴτε δοῦλος δεσπότῃ, καὶ διὰ τῆς τοιαύτης προφάσεως ἀσθενείᾳ περιπέσῃ ὁ τὸ ποτὸν ἐκπιὼν, καὶ συμβῇ αὐτὸν ἐκ τούτου καταῤῥεῦσαι καὶ ἀποθανεῖν, ξίφει τιμωρείσθω [72].

---

[65] Ecl. XVII, 35 ex Proch. h. t. c. 70. [66] Ecl. XVII, 36 ex Proch. h. t. c. 71. [67] Ecl. XVII, 37 ex Proch. h. t. c. 72. [68] Ecl. XVII, 38 ex Proch. h. t. c. 73. [69] Ecl. XVII, 39 ex Proch. h. t. c. 74. [70] Ecl. XVII, 41 ex Proch. h. t. c. 75. [71] Ecl. XVII, 41 ex Proch. h. t. c. 76. [72] Ecl. XVII, 42 ex Proch. h. t. c. 77.

71. Οἱ τὰ λεγόμενα ποιοῦντες φυλακτὰ ἐπὶ φιλίᾳ τὸ δοκεῖν ἀνθρώπων, δημευόμενοι ἐξοριζέσθωσαν [73].

72. Ἐκ τοῦ βι.[74] τί. δ' κεφ. κβ' τῶν κωδίκ. τῆς [ρλδ'] διατάξεως [75]. — Μὴ βαλέσθω γυνὴ εἰς δεσμωτήριον ἢ παρὰ φυλάκων τηρείσθω ὑπὲρ χρηματικῆς ἀγωγῆς, ἀλλὰ νομίμως δι' ὧν βούλεται τοῖς ἐνάγουσιν ἀποκρινέσθω, ποινῆς ἐπικειμένης τῷ βαλόντι ἄρχοντι καὶ προύχοντι κ̄ χρυσίου λιτρῶν, τῷ δὲ ἥττονι ῑ, τοῖς δὲ ὑπουργήσασι σωφρονισμοῦ καὶ ἐξορίας. εἰ δὲ συμβῇ τὴν γυναῖκα ἀδεφένδευτον γενέσθαι ἢ καταδικασθῆναι, μηδὲ οὕτως ἐγκλειέσθω ἢ φυλαττέσθω, ἀλλὰ τὰ δοκοῦντα τοῖς νόμοις ἐπὶ τοῖς πράγμασιν αὐτῆς ψηφιζέσθω. ἐγκληματικῶς δὲ ἐναγομένη ἐγγύας προσώπων παρεχέτω ἢ ἐν μοναστηρίῳ ἢ σεμναῖς γυναιξὶ διδόσθω μέχρι τελείας ἐκβάσεως τοῦ ἐγκλήματος.

73. Μηδεὶς τοῦ λοιποῦ ἄρχων δι' οἱονδήποτε ἔγκλημα τεμνέτω δύο χεῖρας ἢ δύο πόδας ἢ τὰ ἄρθρα παραλυέτω [76].

74. Ἐὰν πατὴρ ἢ μήτηρ τὴν ἰδίαν θυγατέρα ἢ μισθίαν παρασκευάσῃ εἰς τὸ φθαρῆναι ἐπὶ μισθῷ, τοῦ τοιούτου μύσους γινομένου ἔξεστι τῇ κόρῃ τὴν τῆς φθορᾶς ποινὴν ἀπὸ τοῦ φθείραντος αὐτὴν ἀναλαβέσθαι, τοὺς δὲ τοῦτο ἐργασαμένους γεννήτορας ὑποκεῖσθαι τῷ ἀκουϊλίῳ [77].

75. Ἐκ τοῦ ζ' τί. κεφ. ζ' [78]. — Γυνὴ κατηγορίας ἀφισταμένη οὐχ ὑποπίπτει τῷ κατὰ συκοφάντου νόμῳ.

76. Ὁ μετὰ τὸ ἐγγράψασθαι μὴ δυνηθεὶς ἐπὶ πρῶτον ἢ δεύτερον ἐνιαυτὸν προκατάρξασθαι τοῦ ἄρχοντος ἀσχοληθέντος, οὐχ ὑποπίπτει τῷ κατὰ τῶν συκοφαντῶν νόμῳ [79].

77. Οὐ κουφίζεται τῆς ποινῆς ὁ κατήγορος, ἐὰν μετὰ τὸ ἀποστῆναι αὐτὸν ἀποθάνῃ ὁ κατηγορούμενος· οὔτε γὰρ ὁ ἀποστὰς ἀκούεται θέλων μετὰ ταῦτα κινῆσαι [80].

78. Ἐκ τοῦ θ' βι. τοῦ κώδ. τί. μς' [81]. — Τὸν ἐνάγοντα συκοφάντην χρὴ ἐλεγχθῆναι ἐν αὐτῷ τῷ δικαστηρίῳ παρόντα. μετὰ δὲ τὸ περαιωθῆναι ἅπαξ τὸ ἔγκλημα καὶ ἑκατέ-

---

[73] Ecl. XVII, 44 ex Proch. h. t. c. 78. [74] Nonnulli „θ' βι." respicientes ad Cod. IX, 4. [75] Athanas. IV, 22 ex Nov. 134 c. 9. [76] Athan. l. c. ex Nov. 134 c. 13. [77] Forte legendum ἰουλίῳ. Fontem hujus loci non invenio. In nonnullis Codicibus huic capiti pariter atque sequenti inscribitur ἐκ τοῦ ζ' τί. κεφ. ζ'. [78] Forte ἐκ τοῦ ξ' βι. τί. α' κεφ. ιγ'. Est enim locus Basil LX, 1, 13. [79] Basil. LX, 1, 24 §. 6. [80] Basil. l. c. §. 5. [81] Basilicorum qui sequuntur loci ex Cod. IX, 46 hausti sunt.

ρους ὑπεξελθεῖν τοῦ δικαστηρίου οὐκέτι χρὴ τὸν ἐνάγοντα τιμωρηθῆναι [82].

79. Οἱ συκοφαντήσαντες ἐν δημοσίῳ δικαστηρίῳ κινδυνεύουσιν, οὐ μὴν καὶ οἱ περὶ τύχης ἐνάγοντες καὶ ἀποτυχόντες [83].

80. Ὁ νόμος κελεύει, τὸν δεσπότην τοῦ βασανισθέντος δούλου λαμβάνειν παρὰ τοῦ συκοφάντου τὸ διπλάσιον τῆς διατιμήσεως [84].

81. Οἱ ποιοῦντες πιττακώματα ἀπαιτοῦνται αὐτὰ συστῆσαι [85].

82. Καὶ οἱ εἰς βλάβην ἀνθρώπων δαίμονας ἐπικαλούμενοι ξίφει τιμωρείσθωσαν [86].

83. Ὡς συκοφάνται τιμωροῦνται οἱ ἐπὶ βλάβῃ τινὸς χάρτην ἢ μαρτυρίας συσκευάσαντες ἢ γράψαντες ἢ ἐν δικαστηρίῳ παραγαγόντες [87].

84. Ὁ τῷ χρόνῳ ἀποκλεισθεὶς καὶ μὴ δυνηθεὶς συστῆσαι τὸ μοιχικὸν, οὐχ ὑποπίπτει τῷ κατὰ συκοφαντῶν νόμῳ [88].

85. Κατέχεται καὶ ὁ αἰσχρῶς συμφωνήσας [89]. κἂν πατήρ ἐστι καὶ τὴν ἰδίαν θυγατέρα προύδωκεν εἰς τὸ φθαρῆναι, ζημιουμένου τοῦ φθείραντος τὴν νόμιμον ποινήν.

86. Ὁ δεδωκὼς δικαστῇ ἢ τῷ ἀντιδίκῳ αὐτοῦ μὴ ἐπὶ διαλύσει, τῆς δίκης ἐκπίπτει, εἴτε καθολικὴ πάντων ἦν ἢ ἰδιωτικὴ ἢ καὶ ἡ τῷ δημοσίῳ ἀνήκουσα [90].

87. Ὁ διδάσκαλος ἀνελὼν ἢ τραυματίσας ἐν τῷ διδάσκειν τὸν μαθητὴν, ὑπόκειται μὲν τῷ ἀκουϊλίῳ, περὶ δὲ τοῦ μισθοῦ [91] ἀμφιβάλλεται· μετρίως γὰρ σωφρονίζειν δεῖ. οὐκ ἐνέχεται δὲ τῇ περὶ ὕβρεως ἀγωγῇ, ἐπειδὴ οὐκ ἐφ᾿ ὕβρει ἔτυψεν. ἡ δὲ πολλὴ τοῦ διδασκάλου τραχύτης ἔοικε τῇ ῥαθυμίᾳ [92].

88. Καὶ ὁ πατὴρ τοῦ ὑπεξουσίου μαθητοῦ κινεῖ κατὰ τοῦ διδασκάλου, εἰς ὃ προφάσει τοῦ τραύματος οὐ δύναται σχεῖν, καὶ εἰς τὰς δαπάνας τῆς ἐπιμελείας κατέχεται. ὡσαύτως ἐνέχεται καὶ οἱῳδήποτε ὀργάνῳ φονεύων [93].

89. Ὁ ἰατρὸς ἀπείρως τεμὼν δοῦλον ἢ τῇ μισθώσει ἢ τῷ ἀκουϊλίῳ ἐνέχεται [94].

90. Ἐάν τις σφαιρίζων ῥίψῃ τὴν σφαῖραν εἰς τὴν χεῖρα τοῦ κουρέως καὶ λαρυγγοτομηθῇ ὁ κουρευόμενος δοῦλος, ὁ κου-

---

[82] Basil. LX, 1, 28. [83] Basil. cit. 32. [84] Basil. cit. 33. [85] Basil. cit. 15 §. 4. [86] Lex fugitiva. Cf. Proch. h. t. c. 21. [87] Basil. l. c. 15 §. 5. [88] Basil. cit. 20. [89] Basil. cit. 3 §. 2. Cf. supra §. 74. [90] Basil. cit. 1 §. 4. [91] Lege *τῆς μισθώσεως*. [92] Basil. LX, 3, 5 §. 3 et c. 6. [93] Basil. cit. 7 §. 1. 2. [94] Basil. cit. 7 §. 9.

ρεὺς ἐνέχεται, ἐὰν ἐκούρευσεν ἔνθα κατὰ συνήθειαν ἦν τὸ παίγνιον ἢ ἔνθα συνεχὴς ἦν ἡ πάροδος [95].

91. Ἐάν τις κρατῶν κύνα παρασκευάσῃ αὐτὸν δακεῖν καὶ πλήξῃ, ὑπόκειται τῷ ἀκουϊλίῳ [96].

92. Ὁ ἀκουΐλιος κατὰ μὲν τοῦ συνομολογοῦντος εἰς τὸ ἁπλοῦν κινεῖται, κατὰ δὲ τοῦ ἀρνουμένου εἰς τὸ διπλοῦν [97].

93. Ὁ μήτε ὀμνύων μήτε ἀνεπάγων τὴν καταδίκην ὑφίσταται [98].

94. Ἐκ τοῦ θ΄ [99] βι. τῶν κωδ. περὶ ποινῶν. — Οὐδέποτε διὰ τὴν ἡλικίαν συγχωρεῖται ἡ τιμωρία τοῦ ἁμαρτήματος, ἐάν ἐστι πλησιάζων τῇ ἥβῃ τις, ὅτε καὶ αἰσθάνεται τῶν παρ᾽ αὐτοῦ ἁμαρτανομένων [100].

95. Βί. α΄ τί. ε΄ τῶν διατ. [101]. — Ἡ ἔγκυος, πρὶν ἢ τέκῃ, οὐ τιμωρεῖται οὔτε βασανίζεται. ὁ δὲ τεχθεὶς ἐλευθεροῦται [102].

96. Ποινὴ μετάλλου ἐστὶ τὸ καταδικασθῆναί τινα ἄσβεστον ποιεῖν ἢ θεῖον ὀρύττειν [103].

97. Οὐχ ὑφίσταται σπῖλον ὁ υἱὸς ἀπὸ πατρῴου ἐγκλήματος ἢ ποινῆς, οὐδέ τις ἕτερος ἐξ ἁμαρτήματος ἑτέρου [104].

98. Οἱ τὸν δῆμον ἐρεθίζοντες εἰς στάσιν ἢ θόρυβον, πρὸς τὴν ἀξίαν αὐτῶν ἢ φουρκίζονται ἢ θηρίοις παραδίδονται ἢ περιορίζονται [105].

99. Ὁ ἐντολεὺς τὰ τῆς δίκης προδοὺς δικαιώματα, εὐτελὴς μὲν ὢν μεταλλίζεται, τίμιος δὲ δημεύεται εἰς τὸ ἥμισυ καὶ διηνεκῶς ἐξορίζεται [106].

100. Ὁ τὰ παρατεθέντα αὐτῷ δικαιώματα διδοὺς τῷ ἑνὶ ἀπολιμπανομένου τοῦ ἄλλου, ἢ τῷ ἀντιδίκῳ, πρὸς τὴν αἵρεσιν τοῦ οἰκείου προσώπου ἢ μεταλλίζεται ἢ περιορίζεται [107].

101. Ὁ ποιήσας ὀχλαγώγιον ἢ κατὰ δόλον παρασκευάσας γενέσθαι ἐνέχεται. ἐστὶ δὲ ὀχλαγώγιον πολλῶν σύνοδος, ὅτε πολλῶν τινων φωναὶ παρὰ τοὺς ἀγαθοὺς τῆς πόλεως τρόπους εἰς ταὐτὸν συντρέχουσιν εἰς φόνον καὶ ἀτιμίαν τινός [108].

102. Ὁ ἐν τελείᾳ ἡλικίᾳ ὢν καὶ ἐνωμότως διαλυσάμενος,

---

[95] Basil. cit. 11 §. 1. [96] Basil. cit. 11 §. 6. [97] Basil. cit. 23 §. 11. [98] Cf. Dig. XII, 1, 34 §. 9. [99] Alii α΄, alii β΄. Significatur Cod. IX, 47, 7. [100] Basil. LX, 51, 45. [101] Fortasse significatur additamentum ad hunc locum, qui est Dig. XLVIII, 19, 3, ex Dig. I, 5, 18 desumtum esse. [102] Basil. LX, 51, 3. [103] Basil. cit. 8 §. 11. [104] Basil. cit. 24. [105] Basil. cit. 38 §. 3. [106] Basil. cit. 38 §. 9. [107] Basil. cit. 38 §. 10. [108] Basil. LX, 21, 15 §. 3.

εἰ πειραθῇ διὰ προσελεύσεως ἀνατρέψαι τὴν διάλυσιν, ἀτιμοῦται καὶ τῆς ἀγωγῆς ἐκπίπτει καὶ τὸ πρόστιμον ἀπαιτεῖται μεθ' ὧν ἔλαβεν ἐπὶ διαλύσει, ἰσχυούσης τῆς διαλύσεως, εἴπερ μετὰ παρέλευσιν τοῦ νομίμου χρόνου, τοῦ ἴσως εἰ περιεγράφη βοηθοῦντος αὐτῷ, ἐνάγει [109].

103. Ἐκ τοῦ περὶ ὕβρεων. — Κατηγόρησέ τις ἐγκληματικὴν αἰτίαν τινὸς, καὶ ἐπειδὴ ἀποδεῖξαι τὴν κατηγορίαν ἀληθῆ οὐκ ἠδυνήθη, ἐκέλευσεν αὐτὸν καὶ ῥοπάλοις τύπτεσθαι, καὶ τὸν κήρυκα ἐπιβοᾶν αὐτῷ οὕτως· κατηγορίαν ἄνευ τινὸς δικαίας ὑποστάσεως ἀγεννὴς ὑπάρχων μὴ ἐνίστασο. λέγει τοίνυν ἡ διάταξις, τὸν ταῦτα ὑπομείναντα ἄτιμον εἶναι, ὡς περὶ συκοφαντίας ἐν δημοσίῳ δικαστηρίῳ κατακριθέντα [110].

104. Ἐὰν ἐναγόμενός τις ἀρνήσηται χεῖρα ἰδίαν προσφερομένην ἐν γραμματείῳ, ἐν προικὶ ἢ ἐν ἑτέρῳ χάρτῃ, εἰ μὲν ἀπὸ συγκρίσεως ἐλεγχθῇ, τουτέστιν ἑτέρας αὐτοῦ φερομένης χειρὸς καὶ ἴσης εὑρισκομένης, διδόναι λόγῳ προστίμου τῷ ἐνάγοντι κατ' αὐτοῦ νομίσματα κδ. εἰ δὲ συμβολαιογράφος ἐστὶ, πρὸς τῷ ἐπιτιμίῳ καὶ καθαιρείσθω [111].

105. Ἐν ἐγκλήμασι μὴ ἄλλος ἀντ' ἄλλου κρατείσθω καὶ ζημιούσθω, μηδὲ [τὰ πράγματα] τοῦ ἁμαρτήσαντος ἀφαιρείτω τὶς, ἀλλ' αὐτὸς τιμωρείσθω, οὐ δυνάμενος δόσει χρημάτων διαδρᾶσαι τὰς ποινάς [112].

106. Δύο χεῖρας ἢ πόδας μηδεὶς ἄρχων δι' οἱονδήποτε ἔγκλημα ἀφαιρείσθω, ἀλλὰ μηδὲ ἐξαρθρούτω [113].

107. Αἱ περιουσίαι τῶν δι' ἔγκλημα θανάτῳ ἢ δημεύσει ὑποκειμένων τοῖς μὲν κατιοῦσιν αὐτοῦ πιστευέσθωσαν, τοῖς δὲ ἀνιοῦσι μέχρι τρίτου βαθμοῦ διαφερέτωσαν [114].

108. Ἐκ τῆς νεαρᾶς λέοντος βασιλέως. — Ἡ μοιχευθεῖσα γυνὴ ῥινὸς ἐκτομῇ κινδυνεύει, ἄλλως τε δὲ καὶ ὁ συμφανεὶς μοιχὸς τῇ ὁμοίᾳ ποινῇ ὑποκείσθω. ὁ δὲ ἀδικηθεὶς ἀνὴρ τὴν περιουσίαν τῆς μοιχαλίδος κερδαινέτω ἅμα τοῖς παισὶ καὶ τῇ μονῇ, ἐν ᾗ βάλλεται. εἰ δὲ μὴ παῖδές εἰσιν, οἱ γονεῖς ἀντ' αὐτῶν καλοῦνται. εἰ δὲ καὶ γονέων ἀπορῇ, οἱ λοιποὶ συγγενεῖς [115].

---

[109] Summa c. 41 C. II, 4. [110] Cod. II, 11, 16. Basil. XXI, 3, 15. [111] Cod. IV, 21, 16. Vide Basil. XXII, 1, 75. [112] Nov. 134 c. 4 ex Athan. IV, 22. (In editione Heimbachiana hoc loco folii unius lacuna est ab editore non observata. Cf. editionis Heimb. p. 63. 192.) [113] Nov. 134 c. 13 ex Athan. IV, 22. [114] Nov. 134 c. 13 ex Athan. IV, 22. [115] Nov. Leonis 32.

109. Ὁ ἀνδραποδίζων ἀλλότριον οἰκέτην σὺν τῇ ἀποδόσει αὐτοῦ ἀπαιτεῖται καὶ νομίσματα κ̄ [116].

110. Τοὺς αὐτομολοῦντας πρὸς τοὺς πολεμίους εἶτα πρὸς τὴν πατρίδα αὖθις ἐπαναδραμόντας ἑκουσίως, ἅπαξ τοῦτο ποιοῦντας συγγινώσκεσθαι· δὶς δὲ, πρὸς δούλωσιν τριετῆ πωλεῖσθαι· ἐκ τρίτου δὲ, εἰς ἀΐδιον ἐκδίδοσθαι δουλείαν πιπρασκομένους. εἰ δὲ αὐτόμολος οὐκ ἐξ οἰκείας γνώμης καταλάβῃ, ἀλλὰ ληφθεὶς ὑφ᾽ ἑτέρων εἰς τὴν πατρίδα ἐπανέλθῃ, καὶ μάλιστα εἰ εἰς ἐμφύλιον αἷμα μεμόλυσται, ὁ τοιοῦτος ξίφει τιμωρείσθω [117].

111. Δεῖ τὸν πλαστογραφήσαντα ἀποτέμνεσθαι, καὶ τῇ αὐτῇ παραδίδοσθαι τιμωρίᾳ, ἣν καθ᾽ ἑτέρου ἐσκέψατο [118].

112. Ὁ ὀφθαλμούς τινος ἐκκεντήσας οὕτως τιμωρεῖται· εἰ μὲν τὸν ἕνα τυχὸν ἐξορύξει, καὶ αὐτὸς τῷ αὐτῷ ὁμοιωθῇ· εἰ δὲ τοὺς δύο, αὐτὸς μὲν τοῦ ἑνὸς στερηθήσεται, καὶ ἀντὶ τῆς ὀφειλομένης ἀνοσίου χειρὸς ἐκκοπῆς εὔπορος ὢν τὴν διμοιρίαν τῆς ὑπάρξεως καταθήσει τῷ ὑπ᾽ αὐτοῦ λωβηθέντι, εἰ δὲ ἄπορος ᾖ, τὴν ταὐτοπάθειαν ὑπομενέτω. ὡσαύτως δὲ καὶ τοὺς ὡς εἰκὸς συμπράξαντας, εἰ μὲν αὐτόχειρες γεγόνασι τῆς συμφορᾶς τῷ ἀνθρώπῳ, καὶ αὐτοὶ κατὰ τὴν εἰρημένην διάταξιν [119] τιμωρείσθωσαν· εἰ δὲ ἀπέσχοντο τῆς τιμωρίας, σφοδρῶς τυπτόμενοι καὶ τὸ τρίτον ἕκαστος διδότω τῆς περιουσίας αὐτοῦ τῷ παθόντι [120].

113. Ὁ κατασχεθεὶς ἐπὶ μοιχείᾳ ἢ κλοπῇ ἤ τινι ἁμαρτήματι, ἐὰν δῷ τι ἢ ὁμολογήσῃ, ὥστε μὴ παραδοθῆναι, ἔχει τὴν περὶ τῆς δόσεως αἰτίαν, εἰ καὶ τὰ μάλιστα οὐ πάντα μοιχὸν ἢ κλέπτην ἔξεστι φονεύειν, ἀλλὰ τὸν ἀκοντίῳ ἑαυτὸν διεκδικοῦντα. ὁ δὲ λαβὼν ὑπὲρ προφανοῦς μοιχικοῦ καὶ εἰς τὸ περὶ μοιχείας ἐνέχεται [121].

114. Ὁ λαβὼν ἢ ὁμολογηθεὶς ἐπὶ τὸ φυλάξαι ἢ ἐλευθερῶσαί τινα ληστῶν ἢ πολεμίων, οὐκ ἐνέχεται, εἰ μὴ μετέσχε τῆς βίας· ὑπουργίας γὰρ μισθὸν ἔλαβεν [122].

115. Ἐὰν τὸν δοῦλόν μου δεδεμένον ἔλυσας ἵνα φύγῃ, εἰ μὲν ὡς ἐλεῶν, χώρα τῇ εἰς τὸ ἁπλοῦν ἀγωγῇ, εἰ δὲ μὴ, τῇ περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγῇ [123].

116. Ὁ κύνα ἄγριον ἢ κάπρον ἢ λύκον ἢ ἄρκτον ἢ παν-

---

[116] Nov. Leonis 66. Cf. Basil. LX, 48, 4. [117] Nov. Leonis 67.
[118] Nov. Leonis 77. [119] Malim διάστιξιν. [120] Nov. Leonis 92.
[121] Basil. X, 2, 7. 8. [122] Basil. cit. 9 §. 2. [123] Basil. X, 3, 7 §. 7.

θῆρα ἢ λέοντα ἢ ἕτερον βλαπτικὸν ζῶον λελυμένον ἔχων ἐν δημοσίᾳ παρόδῳ, καὶ ἄνθρωπος ἐλεύθερος ἐκ τούτου βλαβεὶς τελευτήσει, νομίσματα διακόσια δίδωσιν. εἰ δ᾽ οὐ τελευτήσει, εἰς ὃ ἐβλάβη ἐνέχεται. τῶν δὲ λοιπῶν πραγμάτων διπλὴν δίδωσι τὴν ζημίαν [124].

117. Ἐὰν τιμωρηθῇ ἀπελεύθερος ἢ διὰ φόβον ἐγκλήματος ἑαυτὸν ἀνέλῃ ἢ τὴν πολιτείαν διαφύγῃ, ὁ μὲν πάτρων τὸ χρεωστούμενον αὐτῷ μέρος τρίτον λαμβάνει, καὶ τὸ λοιπὸν δημεύεται [125].

118. Εἴ τις τὴν ἰδίαν γαμετὴν μάστιξιν ἢ ξύλοις τυπτήσῃ χωρίς τινος τῶν αἰτιῶν, ἃς κατὰ τῶν γυναικῶν πρὸς τὴν τοῦ γάμου διάλυσιν ἀρκεῖν παρεσκευασάμεθα, γάμου μὲν διάλυσιν ἐκ τούτου γίνεσθαι οὐ βουλόμεθα, τὸν δὲ ἄνδρα κελεύομεν τοσοῦτον ὑπὲρ τῆς τοιαύτης ὕβρεως ἐκ τῆς ἄλλης αὐτοῦ περιουσίας διδόναι τῇ γυναικὶ καὶ συνεστῶτος τοῦ γάμου, ὅσον τῆς προγαμιαίας δωρεᾶς τὸ τρίτον μέρος εἶναι γινώσκεται [126].

119. Ὁ γαμετὴν ἀλλοτρίαν ἐκ τῆς ὁδοῦ ἀναλαβὼν καὶ εἰς τὸν ἴδιον οἶκον ἀπιών, κἀκεῖθεν στείλας διαζύγιον τῷ ἀνδρὶ αὐτῆς, ἐπὶ τριετίαν ἐξορίζεται [127].

120. *Περὶ γονέων τιμῆς ἐκ τοῦ λα΄ βι. τοῦ β΄ τί.* — Ὁ στρατιώτης υἱὸς τὴν εὐσέβειαν χρεωστεῖ τῷ πατρὶ, καὶ ἁμαρτάνων εἰς αὐτὸν κολάζεται πρὸς τὸ μέτρον τοῦ ἁμαρτήματος [128].

121. Καὶ οἱ συνελευθερωθέντες τῇ μητρὶ παῖδες τιμᾶν αὐτὴν ὀφείλουσιν [129].

122. Ὁ πατέρα ἢ μητέρα ὑβρίζων ἢ τύπτων, οὓς προσκυνεῖν ὀφείλει, κατὰ τὸ μέτρον τοῦ ἁμαρτήματος τιμωρείσθω. πρὸς γὰρ τὴν δημοσίαν εὐσέβειαν ἀναφέρεται καὶ τοῦτο [130].

123. Ὁ πατέρα ἢ μητέρα, ὑφ᾽ ὧν ἀνετράφη, γόητας εἰπών, ἀνάξιός ἐστι στρατείας [131].

124. Ὁ ὑπεξούσιος, ὅσα τῷ πατρὶ προσεπόρισεν, οὐ δύναται ἐκποιεῖν. εἰ δὲ ὑβριστικῶς αὐτῷ κέχρηται, σωφρονιζέσθω παρ᾽ αὐτοῦ πατρικῇ ἐξουσίᾳ. ἐπιμένων δὲ τῇ αὐτῇ προπετείᾳ, δίδοται παρ᾽ αὐτοῦ τῷ ἄρχοντι πρὸς τὸ σωφρονισθῆναι [132].

---

[124] Basil. XIX, 10, 40—42. [125] Basil. XLIX, 4, 24. [126] Basil. XXVIII, 7, 7. [127] Basil. cit. 14. [128] Basil. XXXI, 2, 1 §. 1. [129] Basil. cit. 1 §. 2. [130] Basil. cit. 1 §. 3. [131] Basil. cit. 1 §. 4. [132] Basil. cit. 5.

125. *Καὶ ὁ πατὴρ τῷ υἱῷ καὶ ὁ πάτρων τῷ ἀπελευθέρῳ τίμιος καὶ ἅγιος νομίζεται*[133].

126. *Τὸν υἱὸν οὐ δύναται ἀρνεῖσθαι ὁ πατὴρ, τοῦτο μὲν διὰ τὸ δόγμα, τοῦτο δὲ καὶ διὰ τὴν ποινὴν ὁμοίως τοῦ προκρίματος, καὶ διὰ τοῦτο τρέφεσθαι αὐτὸν παρὰ τοῦ πατρὸς μείζω ὄντα τριῶν ἐνιαυτῶν*[134].

127. *Ἐκ τοῦ η' τί. τοῦ α' βι. τῶν διατ. ποιναί.* — *Ὁ διὰ τείχους εἰσιὼν κεφαλικῶς τιμωρεῖται. καὶ ῥεμὸς ἐφονεύθη θελήσας ὑπερπηδῆσαι τείχους*[135].

128. *Κορνήλιος κινεῖται κατὰ τοῦ ποιήσαντος πλαστὰ ἐκμαρτύρια ἢ διαθήκας, ἢ ἐκδεδωκότος ἢ ὑποβάλλοντος εἰς ἀνάγνωσιν. τῷ κορνηλίῳ ὑπόκειται ὡσαύτως καὶ ὁ χρήματα λαβὼν ἢ συμφωνήσας ἢ κοινωνήσας ἢ μαρτυρήσας κατὰ τῶν ἀνευθύνων, καὶ ὁ λαβὼν χρήματα ἐπὶ τὸ κατηγορῆσαι ἢ μὴ κατηγορῆσαι, εἰδὼς μαρτυρῆσαι ἢ μὴ μαρτυρῆσαι, καὶ ὁ ὑποφθείρας ἢ ὑποφθαρῆναι δικαστὴν σπουδάσας. κεκίνηται κατὰ τοῦ ἀνοίξαντος ζῶντος διαθήκην καὶ κατὰ τοῦ προδόντος τὰ παρακατατιθέντα αὐτῷ δικαιώματα τῷ ἀντιδίκῳ τοῦ παραθεμένου. καὶ ὁ διαθήκην κρύψας ἢ ἀπαλείψας ἢ ἁρπάσας ἢ παραλείψας ἢ ἀποσφραγίσας ἢ ἀναγνοὺς κατὰ δόλον, πάντες τιμωρίᾳ τοῦ κορνηλίου ὑπόκεινται*[136].

ΤΙΤΛΟΣ νγ'.

Περὶ διαμερισμῶν σκύλων.

1. *Οἱ κατὰ πολεμίων τρόπαιον στήσαντες, σκύλων τινῶν ὡς εἰκὸς εὑρισκομένων, τοῦ ἕκτου μέρους μόνου ἀφαιρουμένου τῷ δημοσίῳ, τὸ δὲ λοιπὸν οἱ ἄρχοντες καὶ οἱ ἀρχόμενοι μεριζέσθωσαν. ἀρκεῖ γὰρ τοῖς ἄρχουσιν ἡ προσθήκη τῶν ῥογῶν αὐτῶν. εἰ δὲ εὑρεθῶσί τινες ἐκ τῶν ἀρχόντων διαφερόντως ἀνδρισάμενοι, ὁ στρατηγὸς ἐκ τοῦ εἰρημένου μέρους τοῦ δημοσίου ἄδειαν ἐχέτω φιλοτομεῖσθαι αὐτούς. κατὰ δὲ τὴν μερίδα τοῦ ἐν τῷ πολέμῳ ἐξ αὐτῶν εὑρισκομένου παρόμοιαν καὶ ὁ ἐν τοῖς τούλδοις καταλειπόμενος λήψεται*[1].

---

[133] Basil. cit. Locus ex Dig. XXXVII, 15, 9 restituendus. [134] Basil. cit. 10. [135] Dig. I, 8, 11. Cf. Basil. XLVI, 3, 9. [136] Dig. XLVIII, 10, 1. 2. Cf. Basil. LX, 41, 1. 2.

[1] Proch. XL, 1.

2. Ἐκ τοῦ γ' τῶν ποινῶν [2]. — Μηδεὶς τὸν ἐν ἐκκλησίᾳ προσφεύγοντα βίᾳ ἀφαιρείσθω, ἀλλὰ τὴν αἰτίαν τοῦ πρόσφυγος δηλοποιείτω τῷ ἱερεῖ καὶ παρ' αὐτὰ τὰ κατ' αὐτοῦ. εἰ δέ τις κατατολμήσῃ χειρὶ τοῦτον ἀναλαβέσθαι, ὁ τοιοῦτος σωφρονιζέσθω, καὶ τότε τὰ κατ' ἀλλήλων ζητείσθω.

3. Ὁ σῶμα ἐλεύθερον κλέπτων καὶ πιπράσκων χειροκοπείσθω [3].

4. Περὶ αἱρετικῶν ἐκ τοῦ ε' τί. β' διατ. — Αἱρετικοὶ μὴ διδασκέτωσαν ἢ ἐμφανιζέτωσαν τὴν πίστιν αὐτῶν, μήτε ποιείτωσαν κληρικούς. αἱρετικὸς δέ ἐστι καὶ τοῖς κατὰ τῶν αἱρετικῶν ὑπόκειται νόμοις ὁ μικρὸν γοῦν ἐκκλίνων τῆς ὀρθοδόξου πίστεως [4].

5. Ἡ ὀρθόδοξος ἐκκλησία τὰ τῶν αἱρετικῶν συνακτήρια λαμβάνει, κἂν ἐν ἰδιοκτήτοις ὦσιν οἴκοις. οὐ λιτανεύουσι δὲ νύκτωρ ἢ μεθ' ἡμέραν. εἰ δέ τι τοιοῦτον ἢ ἐν δημοσίᾳ ἢ ἰδιωτικῷ οἴκῳ γένηται, ἡ τάξις αὐτοὺς προτιμάσθω [5].

6. Τὰ προφάσει τῆς θρησκείας φιλοτιμηθέντα προνόμια οὐκ ἔχουσιν οἱ αἱρετικοὶ, ἀλλὰ καὶ ταῖς λειτουργίας ὑπόκεινται [6].

7. Ἰουδαῖος οὐ τυγχάνει ἀξιώματος οὔτε ἄρχειν δύναται, τῇ τύχῃ δὲ τῶν κοορταλίνων ὑπόκειται καὶ τοῖς ἐντεῦθεν βάρεσιν [7].

8. Αἱρετικοὶ συνακτήρια ποιεῖν οὐ δύνανται ἢ παρασυνάξεις ἢ συνόδους ἢ χειροτονίας ἢ βαπτίσματα ἢ ἐκδικίας ἐγχειρίζεσθαι ἢ φροντίζειν ἢ διοικεῖν χωρία ἢ δι' ἑαυτῶν ἢ διὰ παρενθέντων προσώπων ἤ τι τῶν ἀπηγορευμένων ποιεῖν. ὁ δὲ παραβαίνων ἐσχάτως κινδυνεύει [8].

9. Ὁ ἔχων βιβλία μανιχαϊκὰ καὶ μὴ φανερὰ ποιῶν αὐτὰ, εἰς τὸ καυθῆναι τιμωρεῖται [9].

10. Αἱ τῶν σαμαρειτῶν συναγωγαὶ καθαιροῦνται, καὶ ἐὰν ἑτέρας ἐπιχειρήσωσι ποιεῖν, τιμωροῦνται [10].

11. Οἱ αἱρετικοὶ συνάξεις καὶ βαπτίσματα ποιοῦντες τιμωροῦνται [11].

---

[2] Inscriptio quid sibi velit nescio. Est ex Ecl. XVII, 1. [3] Ecl. XVII, 16. [4] Cod. I, 5, 2. Appendix Ecl. XL. [5] Cod. I, 5, 3. App. Ecl. in Cod. Bieneri. Ibi in fine sic: ἡ μὲν τάξις τοῦ ἐπάρχου συγχωροῦσα ρ' λίτρας προστιμᾶται, οἱ δὲ ἐπιχώριοι ν' προστιμῶνται. [6] Cod. I, 5, 1. App. Ecl. ibid. [7] Cod. I, 5, 12. App. Ecl. ibid. [8] Cod. I, 5, 14. App. Ecl. XLIII. [9] Cod. I, 5, 16 §. 2. App. Ecl. XLIV in f. [10] Cod. I, 5, 17. App. Ecl. XLVI. [11] Cod. I, 5, 20. App. Ecl. XLVII.

12. Οἱ ἀρειανοὶ καὶ μακεδονιανοὶ, πνευματομάχοι καὶ ἀπολιναρισταὶ, ναυατιανοὶ ἤγουν τεσσαρεσκαιδεκατῖται, οὐαλεντινιανοὶ, παπιανισταὶ, μοντανισταὶ, πρισκιλλιανισταὶ τουτέστι φρύγες, πεποζῖται, μαρκιονισταί, βορβοριανοὶ, μεσαλλιανοὶ, ὑδροπαραστάται, ἀσκοδροῦγοι, βαθρακῖται, ἑρμῖται, παυλιανοὶ, μαρκελλιανοὶ, ὀφῖται, ἐγκρατῖται, ἀποτακτῖται, σακκοφόροι καὶ οἱ μανιχαῖοι οὐ δύνανται συνάγεσθαι ἢ εὔχεσθαι. οἱ δὲ μανιχαῖοι τῶν πόλεων ἐκβάλλονται καὶ ἐσχάτως τιμωροῦνται. καὶ κύρια ἔσται πάντα τὰ κατὰ τῶν αἱρετικῶν νομοθετηθέντα [12].

13. Ὁ ἀπὸ χριστιανῶν γενόμενος ἰουδαῖος δημεύεται [13].

14. Ἐπίσκοπος δίς τινα ἀναβαπτίζων καθαιρείσθω [14].

15. Ὁ ἀναβαπτίζων ὀρθόδοξον σὺν αὐτῷ ἐσχάτως τιμωρεῖται [15].

16. Οἱ μετὰ τὸ ἅγιον βάπτισμα τῇ πλάνῃ τῶν ἑλλήνων ἐπιμένοντες, ἐσχάτως τιμωροῦνται. οἱ δὲ μήπω βαπτισθέντες, ἑαυτοὺς καὶ παῖδας καὶ γαμετὰς καὶ πάντας τοὺς ἑαυτῶν προσαγαγέτωσαν ταῖς ἁγίαις ἐκκλησίαις. καὶ τὰ μὲν αὐτῶν τέκνα μικρὰ ὄντα χωρὶς ἀναβολῆς βαπτίζονται, οἱ δὲ τέλειοι πρότερον τὰς γραφὰς κατὰ τοὺς κανόνας διδάσκονται. εἰ δὲ τυχὸν διὰ τὸ τυχεῖν ἀξίας ἢ στρατείας σχηματίζονται βαπτίζεσθαι, καὶ τοὺς παῖδας ἢ τὰς γαμετὰς αὐτῶν ἢ τοὺς ἐν τοῖς οἴκοις αὐτῶν ἐπὶ τῆς πλάνης ἐάσουσι, δημεύονται καὶ δεόντως τιμωροῦνται καὶ τῆς πολιτείας οὐ μετέχουσιν [16].

17. Ὁ σαμαρείτης τῆς τῶν χριστιανῶν πίστεως ἀποστῆσαί τινα πειραθεὶς, καὶ δημεύσει ὑποβάλλεται καὶ τὴν κεφαλὴν ἀποτέμνεται [17].

18. Οἱ τὸν οὐρανὸν θρησκεύοντες τοῖς κατὰ τῶν αἱρετικῶν ὑπόκεινται νόμοις, καὶ τὰ συνακτήρια αὐτῶν ἡ ἐκκλησία λαμβάνει [18].

19. Μανιχαῖοι βαπτίζονται, φρύγες βαπτίζονται, εὐνομιανοὶ χρίονται, ἀρειανοὶ χρίονται, παυλιανισταὶ βαπτίζονται, ἀπολιναρισταὶ ἀπαγγέλλουσι τὴν ἐν νικαίᾳ ἐκτεθεῖσαν πίστιν [19].

20. Ὁ μοιχεύων τὴν ὑπὸ πολλῶν διὰ κέρδος ἀφανιζομένην, οὐ κατέχεται εἰς τὰ περὶ μοιχείας ἐγκλήματα, ὡς οὐδὲ ὁ μοιχεύων τὴν ἐν ἐργαστηρίῳ ὑπηρετοῦσαν [20].

---

[12] Cod. I, 5, 5. App. Ecl. XLII. [13] Cod. I, 7, 1. App. Ecl. in Cod. Bieneri. [14] Cod. I, 6, 1. App. Ecl. XLIX. [15] Cod. I, 6, 2. App. Ecl. in Cod. Bieneri. [16] Cod. I, 11, 10. App. Ecl. XXXVIII. [17] Cod. I, 9, 18. App. Ecl. XXXIX. [18] Cod. I, 9, 12. App. Ecl. XLI. [19] App. Ecl. L. Vide syn. Trull. c. 95. [20] Cod. XI, 9, 22. App. Ecl. XXXVI, 2.

21. Ἐκ τοῦ μη' βι. τῶν διατ. τί. η'. — Ἐὰν γυνὴ λαβοῦσα χρήματα παρὰ τῶν σουβστητούτων κληρονόμων ἐπὶ τὸ ἀμβλῶναι τὸν ἐγκυμονούμενον παρ' αὐτῆς ἰνστητοῦτον κληρονόμον, καὶ διά τινος φαρμάκου ἐκτρώσει, κεφαλικῶς τιμωρεῖται [21].

22. Οἱ περὶ τὸ ἐκτρῶσαι παρέχοντες πόμα ἐσχάτῃ ὑπόκεινται τιμωρίᾳ [22].

23. Ὁ φάρμακα ἀντὶ ἰατρείας δούλῳ δεδωκὼς ὑπόκειται ὡς αἰτίαν θανάτου παρασχών [23].

24. Ἐκ τοῦ μη' βι. τί. η' διγ. γ' [24]. — Κατέχεται καὶ ἀποτέμνεται ὁ διὰ τὸ φονεῦσαι ἄνθρωπον φάρμακα ποιῶν ἢ πιπράσκων.

25. Ἐκ τοῦ λη' διγ. [25]. — Ὁ δεδωκὼς πόμα πρὸς φίλτρον ἢ ἀμβλωθρίδιον, κἂν χωρὶς δόλου, εὐτελὴς μὲν ὢν μεταλλίζεται, τίμιος δὲ ἐξορίζεται.

26. Ἐκ τοῦ μζ' βι. τί. ι' διγ. ιε' [26]. — Ὁ παραφρονῆσαί τινα φαρμάκῳ ποιήσας ἐνέχεται εἰς ποινήν.

27. Ὁ ἀστρολόγος καὶ ὁ ἀπηγορευμένην μαντείαν ποιῶν ἐὰν ἐρωτηθεὶς εἴπῃ κλέπτην τὸν μὴ ὄντα, τῇ μὲν ἀτιμίᾳ οὐκ ἐνέχεται, ὑπόκειται δὲ εἰς τὰ τῶν διατάξεων [27].

28. Ὁ μάγος καὶ μηδὲν ποιῶν ἐξ αὐτοῦ τοῦ εἰδέναι ἐνέχεται [28].

29. Ἐκ τῆς ζ' [διατ.] [29]. — Οἱ ἐν κωνσταντίνου πόλει μαντευόμενοι, εἰ καὶ ἀξιωματικοί εἰσιν, ἐν ξύλῳ ἀναρτούμενοι καίονται.

30. Ἐὰν ἡνίοχος ἤ τις τοιοῦτος γόητα καλούμενος εὑρεθῇ, ἐσχάτως τιμωρεῖται [30].

31. Ἐκ τοῦ ζ' τί. τῆς ε' διατ. [31]. — Ὁ δοῦλον βιαζόμενος ἢ πείθων ἀπὸ χριστιανῶν εἰς ἀθέμιτον αἵρεσιν μετελθεῖν, ἀποτεμνέσθω.

32. Ἰουδαῖος χριστιανὸν περιτεμὼν διηνεκῶς ἐξορίζεται [32].

33. Ἐκ τοῦ α' βι. τοῦ κώδ. τί. ι' [33]. — Μηδεὶς τῶν

---

[21] Dig. XLVIII, 19, 39. App. Ecl. in Cod. Bieneri. [22] Dig. XLVIII, 19, 38 §. 5. App. Ecl. ibid. [23] Dig. IX, 2, 7 §. 6. App. Ecl. ibid. [24] Dig. XLVIII, 8, 3 pr. App. Ecl. XXXIII. [25] Dig. XLVIII, 19, 38 §. 3. Cf. Coll. const. eccles. ed. Voelli p. 1312. [26] Dig. XLVII, 10, 15 pr. Cf. Coll. cit. [27] Dig. XLVII, 10, 15 §. 13. Cf. Coll. cit. [28] Cod. IX, 18, 4. [29] Cod. IX, 18, 7. [30] Cod. IX, 18, 9. [31] Cod. I, 7, 5 App. Ecl. XXIII. [32] Cod. I, 9, 16. Cf. Coll. const. eccl. ed. Voell. p. 1297. [33] Cod. I. 10, 1. Cf. Coll. cit. ed. Voell. p. 1296.

αἱρετικῶν ἢ ἰουδαίων ἢ ἑλλήνων ἔχει χριστιανὸν ἀνδράποδον, [ἐπεὶ] ἐλευθεροῦται, αὐτὸς [δὲ] κεφαλικῶς τιμωρεῖται.

34. Εἴ τις τῶν ἀλλοδόξων ὢν σχῇ χριστιανὸν ἀνδράποδον, αὐτὸ μὲν ἐλευθεροῦται, ὁ δὲ τοιοῦτος δίδωσι τοῖς πριβάτοις ποινῆς ἕνεκα λίτρας λ̄ [34].

35. Βι. τοῦ αὐτοῦ [35]. — Ὁ δοῦλος οἱῳδήποτε αἱρετικῷ δουλεύων, εἰ καὶ μή ἐστι χριστιανὸς, θελήσει δὲ γενέσθαι, ἅμα τῷ σφραγισθῆναι ἐλευθεροῦται, μὴ δυναμένου τοῦ δεσπότου αὐτοῦ τῇ δουλείᾳ ἄγειν, εἰ καὶ αὐτὸς μετὰ ταῦτα χριστιανὸς γένηται.

---

[34] Cod. I, 10, 2. App. Ecl. XX. [35] Cod. I, 3, 54. App. Ecl. XXII

BAYERISCHE STAATS-BIBLIOTHEK MUENCHEN

INDICES.

INDEX RERUM.

Appendix Eclogae p. 52. 128 sqq. 142 sqq. 174. 367 sq.
Athanasii Epitome Novellarum p. 52. 153. 175.
Basilica p. 175. 179.
Canones Apostolorum p. 52. 170.
Codices MSS.
Ambrosianus p. 174.
Bienerianus A (hodie Lipsiensis) p. 173.
Bienerianus B (hodie Lipsiensis) p. 173.
Bodlejanus 264 — p. 173.
Bodlejanus 716 — p. 173.
Lipsiensis Senatus I, 66 — p. 51.
Monacensis gr. 203 — p. 173.
Palatinus 371 — p. 51.
Parisiensis gr. 1263 — p. 51.
" " 1357 — p. 173.
" " 1381 A — p. 173.
" " 1383 — p. 173.
" " 1384 — p. 3. 51.
" " 1720 — p. 51.
Vaticanus 640 — p. 51.
Vindob. jur. gr. 3 — p. 3.
Ecloga Leonis et Constantini p. 3. 174.
Ecloga privata p. 3 sqq. 51.
Ecloga legis Mosaicae p. 52. 154.
Epanagoge p. 52. 174.
Epitome p. 52. 146 sqq. 178.
Ἰσαυρικὸς νόμος p. 231 not. 8.
Leges militares p. 52. 138. 175.
Leges navales p. 52. 162. 175.
Leges rusticae p. 52 121. 124. 175.
Loci singulares vel de quorum fonte non constat, in Ecloga privata aucta: p. 5. 11 not. 15. 24 not. 6. 27 not. 3. 43 not. 19. 45 not. 32. 46 not. 38; — in Ecloga ad Prochiron mutata: p. 52. 63 not. 4. 64 not. 11. 71 not. 27. 77 not. 6. 91 not. 17. 94 not. 17, 21. 107 not. 29. 109 not. 16, 18. 115 not. 18, 22, 23. 119 not. 25. 124 not. 1. 137 not. 4. 169 not. 4; — in Epanagoge aucta: p. 211 not. 8. 262 not. 48. 293 not. 5. 302 not. 42. 317 not. 58. 319 not. 4. 336 not. 37. 350 not. 34.
Novellae Leonis p. 177.
Prochiron Basilii p. 52. 174.
Ῥοπαί, αἱ, p. 178. 347.

INDEX FONTIUM.

I. Institutiones.

Lib.	tit.	
I	14	— p. 321 not. 15.
—	23 pr. §. 1	— p. 28 not. 4.
—	24 pr.	— p. 322 not. 25.
II	9 §. 3	— p. 149 not. 36.
—	13	— p. 350 not. 40.
III	14 pr.	— p. 31 not. 1.
—	19 §. 9	— p. 321 not. 16.
—	20 §. 1—4	— p. 350 not. 36—39.
—	23 pr.	— p. 30 not. 4.

II. Digesta.

Lib.	tit.	dig.		
I	5	5	§. 1	— p. 91 not. 20.
—	—	23. 24		— p. 130 not.
—	18	21		— p. 149 not. 45.
II	4	10	§. 12	— p. 148 not. 29.
—	6	1—3		— p. 133 not. 5.
—	8	2		— p. 133 not. 5.
—	—	8	§. 1. 2	— p. 350 not. 35.
—	—	10		— p. 133 not. 5.
—	15	1		— p. 40 not. 5.
IV	2	1		— p. 146 not. 4.
VI	1	37		— p. 123 not. 2.
VII	9	ult.		— p. 151 not. 74.
IX	2	5	§. 3	— p. 148 not. 31.
—	—	7		— p. 142 not. 3.
—	—	9		— p. 142 not. 4.
—	—	52	§. 1	— p. 148 not. 34.
—	4	6		— p. 152 not. 76.
X	2	4		— p. 142 not. 5.
—	—	35		— p. 76 not. 4.
XI	3	1		— p. 152 not. 77.
—	7	8	pr.	— p. 148 not. 32.
—	—	16		— p. 147 not. 16.
—	—	21		— p. 147 not. 15.
—	—	22		— p. 147 not. 17.
XII	1	34	§. 9	— p. 362 not. 98.
—	2	11	§. 1	— p. 103 not. 22.
XIII	1	7	§. 1	— p. 151 not. 69.
—	5	28		— p. 131 not. 3.
—	7	13	§. 1	— p. 33 not. 7.
XVI	3	1	pr. §. 1	— p. 34 not. 1.
—	—	1	§. 5	— p. 34 not. 2.
—	—	1	§. 23. 24	— p. 97 not. 4.
—	—	32		— p. 34 not. 2.
XIX	1	13	pr.	— p. 121 not. 38.
XXII	2	3		— p. 33 not. 6.
—	3	19	pr.	— p. 103 not. 25.
—	5	1	§. 3	— p. 39 not. 21.
—	—	12		— p. 39 not. 21.
XXIII	1	15		— p. 89 not. 6.
—	3	59	§. 2	— p. 149 not. 44.
XXIV	3	10	§. 1	— p. 152 not. 84.
—	—	15	§. 2 sq.	— p. 76 not. 5.
XXV	2	12		— p. 152 not. 75.
—	—	17	§. 3	— p. 151 not. 68.
XXVI	2	10		— p. 321 not. 15.
—	6	2	§. 1	— p. 12 not. 18.
				p. 89 not. 5.
XXIX	1	1		— p. 20 not. 9.
—	—	38	§. 1	— p. 82 not. 26.
XXXIX	1	20	pr.	— p. 118 not. 8.
XL	1	4		— p. 149 not. 37.
XLIII	8	2	§. 9	— p. 148 not. 27.
—	16	3	§. 2	— p. 147 not. 9.
XLIV	5	1	pr.	— p. 103 not. 23.
XLVII	2	14	§. 16	— p. 151 not. 65.
—	—	39		— p. 146 not. 5.
				p. 149 not. 46.
—	—	45		— p. 152 not. 80.
—	—	52	§. 14	— p. 151 not. 70.
—	8	2	§. 27	— p. 151 not. 69.
—	10	3	§. 3. 4	— p. 148 not. 28.
—	—	9	§. 3	— p. 148 not. 30.
—	—	15	§. 9	— p. 143 not. 10.
—	—	25		— p. 149 not. 42.
—	11	1	§. 2	— p. 152 not. 87.
—	—	9		— p. 119 not. 21.
—	12	2	§. 5	— p. 147 not. 18.
—	—	11		— p. 147 not. 19.
—	14	1	§. 1. 2	— p. 147 not. 11.
—	—	1	§. 3	— p. 147 not. 12.
—	—	3	pr.	— p. 147 not. 13.
—	—	3	§. 3	— p. 147 not. 14.

Lib.	tit.	dig.	
XLVII	21	2	— p. 119 not. 22.
—	—	3 §. 1	— p. 112 not. 10.
			p. 119 not. 26.
XLVIII	1	5 pr.	— p. 150 not. 54.
—	2	3 pr. §. 1.4	— p. 150 not. 55.
—	—	4	— p. 150 not. 54.
—	—	11 §. 1	— p. 151 not. 61.
—	3	14 §. 7	— p. 152 not. 78.
—	5	14 §. 3	— p. 150 not. 53.
—	—	27	— p. 148 not. 24.
—	—	29 §. 6. 9	— p. 147 not. 7.
—	—	39 pr. §. 2	— p. 146 not. 6.
—	6	5 §. 2	— p. 147 not. 8.
—	—	6. 7. 10 pr.	— p. 147 not. 8.
—	—	11 pr.	— p. 45 not. 35.
			p. 147 not. 10.
—	7	7	— p. 146 not. 2.
—	8	1 §. 4. 5	— p. 152 not. 85.
—	—	3	— p. 46 not. 43.
			p. 142 not. 6.
			p. 143 not. 7.
			p. 152 not. 86.
—	9	13	— p. 143 not. 8.
—	10	1 pr.	— p. 150 not. 57.
—	—	1 §. 13	— p. 47 not. 49.
—	—	6 pr.	— p. 150 not. 59. 60.
—	—	8	— p. 47 not. 49.
—	—	26	— p. 150 not. 58.
—	13	6 pr.	— p. 46 not. 40.
—	—	9 pr. §. 1	— p. 46 not. 40.
—	15	6 §. 1	— p. 152 not. 79.
—	—	7	— p. 47 not. 51.
—	18	10 §. 2. 3	— p. 149 not. 38. 39.
—	19	26	— p. 148 not. 33.
—	—	30	— p. 143 not. 9.
—	—	38	— p. 3. p. 142 not. 2. p. 151 not. 62.
—	—	39	— p. 142 not. 1.
XLIX	14	3 §. 10	— p. 151 not. 63.
—	—	15 §. 3	— p. 150 not. 56.
—	—	16	— p. 150 not. 56.
—	—	27	— p. 148 not. 25.
—	16	6 §. 4	— p. 42 not. 14.
L	2	11	— p. 149 not. 49.
L	5	2 pr.	— p. 149 not. 48.
—	—	8 pr.	— p. 149 not. 48.
—	6	5 pr.	— p. 149 not. 47.

III. Codex.

Lib.	tit.	const.	
I	3	22 pr.	— p. 150 not. 52.
—	—	51	— p. 28 not. 7.
—	5	5	— p. 144 not. 5.
—	—	12	— p. 145 not. 13.
			p. 353 not. 26.
—	—	14	— p. 144 not. 3.
—	—	16	— p. 144 not. 4.
—	—	17	— p. 144 not. 7.
—	—	18	— p. 353 not. 26.
—	—	20	— p. 145 not. 8.
—	—	21	— p. 134 not. 17.
—	—	34	— p. 145 not. 15.
—	—	54	— p. 146 not. 17.
—	6	2	— p. 145 not. 11.
—	7	1	— p. 145 not. 9.
—	—	3	— p. 46 not. 38.
—	—	5	— p. 146 not. 18.
—	—	6	— p. 145 not. 10.
—	9	18	— p. 144 not. 2.
—	10	—	— p. 145 not. 16.
—	11	1	— p. 144 not. 6.
—	—	10	— p. 144 not. 1.
II	1	1	— p. 103 not. 20.
—	4	13	— p. 41 not. 9.
—	—	14	— p. 40 not. 6.
—	—	17	— p. 41 not. 8.
—	—	19	— p. 41 not. 9.
—	—	24	— p. 40 not. 7.
—	—	31	— p. 40 not. 7.
—	—	41	— p. 363 n. 109.
—	20	8	— p. 41 not. 9.
—	31	—	— p. 41 not. 11.
—	45	2	— p. 28 not. 6.
—	52	7	— p. 41 not. 11.
III	22	1	— p. 149 not. 40.
—	32	17	— p. 94 not. 19.
—	44	10	— p. 148 not. 20.
—	—	12. 15	— p. 148 not. 21.
IV	1	11	— p. 103 not. 21.
—	8	2	— p. 151 not. 67.
—	20	3	— p. 205 not. 17.

Lib.	tit.	const.	
IV	20	9	— p. 38 not. 8. 9.
			p. 102 not. 11.
—	—	10	— p. 38 not. 10.
—	—	17	— p. 38 not. 12.
—	—	20	— p. 38 not. 13.
—	32	26	— p. 32 not. 4.
			p. 33 not. 6.
			p. 274 not. 38.
—	—	27	— p. 32 not. 5.
—	48	2	— p. 93 not. 14.
—	49	12	— p. 93 not. 14.
—	55	4	— p. 94 not. 20.
—	65	33	— p. 100 not. 16.
V	1	2	— p. 7 not. 4.
—	5	4	— p. 148 not. 23.
—	—	7	— p. 130 not. 15.
—	—	8	— p. 130 not. 16.
—	8	2	— p. 130 not. 17.
—	9	11	— p. 73 not. 33.
—	12	5	— p. 234 not. 2.
—	—	10	— p. 234 not. 3. 6.
—	13	1 §. 15	— p. 234 not. 5.
—	14	8	— p. 73 not. 34.
—	17	2	— p. 137 not. 4.
—	18	5	— p. 76 not. 7.
—	28	5	— p. 321 not. 15.
—	34	4	— p. 28 not. 7.
—	62	20	— p. 88 not. 4.
			p. 321 not. 14.
—	71	4	— p. 88 not. 2.
VI	1	2	— p. 151 not. 73.
—	—	3	— p. 91 not. 23.
—	—	6	— p. 149 not. 41.
—	3	13	— p. 151 not. 72.
—	4	4	— p. 288 not. 3.
—	12	32	— p. 25 not. 14.
—	20	2	— p. 80 not. 13. 15.
—	—	13	— p. 80 not. 14.
—	21	15	— p. 20 not. 10.
—	—	17	— p. 20 not. 11.
—	30	22	— p. 25 not. 12.
—	37	3	— p. 24 not. 7.
—	—	12	— p. 24 not. 8.
—	—	16	— p. 24 not. 9.
—	—	19	— p. 128 not. 4.
—	38	4	— p. 129 not. 5.

Lib.	tit.	const.	
VI	58	10	— p. 89 not. 5.
VII	6	1 §. 3	— p. 28 not. 3.
—	7	1	— p. 91 not. 21.
—	10	7	— p. 4. 92 not. 25.
—	16	6	— p. 316 not. 49.
—	24	—	— p. 149 not. 43.
—	45	9	— p. 133 not. 1.
—	50	20	— p. 4.
VIII	4	7	— p. 46 not. 36.
			p. 146 not. 3.
—	5	1	— p. 128 not. 7.
—	10	11	— p. 118 not. 7.
—	—	12 §. 9	— p. 101 not. 17.
—	27	1	— p. 34 not. 14.
			p. 133 not. 2.
—	44	14	— p. 94 not. 18.
—	53	34 §. 1	— p. 17 not. 2.
—	55	10	— p. 18 not. 8.
IX	2	1	— p. 119 not. 24.
—	4	2	— p. 149 not. 35.
—	7	—	— p. 41 not. 4.
—	8	6	— p. 112 not. 11.
—	9	22	— p. 109 not. 10.
—	—	29	— p. 45 not. 28.
—	11	1	— p. 135 not. 2.
—	13	—	— p. 42 not. 12.
—	16	2	— p. 107 not. 32.
—	18	3	— p. 143 not. 11.
—	—	4	— p. 112 not. 12.
			p. 143 not. 12.
			p. 369 not. 28.
—	—	6	— p. 143 not. 13.
—	—	7	— p. 143 not. 14.
			p. 369 not. 29.
—	—	9	— p. 369 not. 30.
—	20	15	— p. 152 not. 81.
—	46	5	— p. 150 not. 51.
—	47	25	— p. 48 not. 64.
XI	64	—	— p. 133 not. 8.

IV. Novellae.

Justiniani	4	— p. 133 not. 6.
—	5	— p. 116 not. 11.
—	7 c. 11	— p. 116 not. 1.
—	18 c. 11	— p. 129 not. 8. 9.
—	22 c. 4	— p. 14 not. 31.

Just. 22 c. 5 — p. 13 not. 29.
— — c. 6 — p. 14 not. 30. 33.
— — c. 22 — p. 12 not. 20.
— 39 c. 2 — p. 86 not. 21.
— 78 c. 2 — p. 4.
— 89 c. 12 — p. 129 not. 11. p. 130 not. 12. 13.
— 115 c. 3 — p. 19 not. 6. p. 26 not. 16. 17. 18. p. 137 not. 5. p. 129 not. 6.
— — c. 4 — p. 26 not. 19. 20.
— c. 7 — p. 129 not. 6.
— 117 c. 8—10 — p. 15 not. 34. p. 16 not. 35.
— 118 c. 3 — p. 24 not. 3.
— — c. 5 — p. 28 not. 7.
— 120 c. 7 — p. 116 not. 2.
— 121 — p. 32 not. 5.
— 123 c. 1. 5 — p. 28 not. 7.
— — c. 38 — p. 13 not. 29. p. 14 not. 32.
— — c. 39 — p. 7 not. 5.
— 127 c. 1 — p. 23 not. 2.
— 128 c. 21 — p. 124 not. 4.
— 131 — p. 117 not. 12.
— 133 — p. 116 not. 9.
— 134 c. 13 — p. 152 not. 82.
— 138 — p. 32 not. 5.
— 140 — p. 14 not. 31.
— 162 c. 1 — p. 17 not. 2.
Irenae — p. 131 not. 18.
Leonis Sap. 5 — p. 290 not. 4.
— — 6 — p. 290 not. 5.
— — 19 — p. 286 not. 40.
— — 26 — p. 337 not. 4.
— — 27 — p. 337 not. 5.
— — 32 — p. 363 not. 115.
— — 34 — p. 321 not. 13.
— — 40 — p. 301 not. 37.
— — 42 — p. 286 not. 41.
— — 66 — p. 364 not. 116.
— — 67 — p. 364 not. 117.
— — 69 — p. 286 not. 42.
— — 77 — p. 364 not. 118.
— — 82 — p. 287 not. 43.
Leonis Sap. 92 — p. 364 not. 120.
— — 99 — p. 348 not. 9.
— — 100 — p. 314 not. 30.
— — 101 — p. 314 not. 29.
— — 108 — p. 348 not. 10.

V. Athanasii Epitome Novellarum.

Tit. const.
I 1 — p. 153 not. 1. p. 193 not. 6.
— 2 — p. 104 not. 4. p. 114 not. 8. p. 115 not. 19. p. 116 not. 5—8. p. 153 not. 2—5. p. 197 not. 15. p. 217 not. 19. p. 290 not. 9.
— 13 — p. 153 not. 6.
— 14 — p. 153 not. 7.
II 1 — p. 98 not. 3. 4. p. 99 not. 5—7. p. 137 not. 6. p. 264 not. 14. 15.
— 3 — p. 200 not. 8.
— par. §. 5 — p. 200 not. 9.
IV const. 1 — p. 114 not. 9. p. 195 not. 4.
— — 3 — p. 114 not. 10. p. 134 not. 12. p. 196 not. 6.
— — 22 — p. 33 not. 10. p. 116 not. 10. p. 129 not. 7. p. 135 not. 5. p. 271 not. 15. p. 272 not. 27. p. 360 not. 75. 76. p. p. 363 not. 112—114.
— — 24 — p. 133 not. 9.
V — 5 — p. 37 not. 3. p. 39 not. 17. p. 102 not. 9. p. 210 not. 53. p. 270 not. 11.
— par. §. 5 — p. 209 not. 41.
VII const. 7 — p. 133 not. 4. p. 135 not. 4.
VIII — 1 — p. 209 not. 42.
IX — 2 — p. 96 not. 14. 15.
— — 10 — p. 85 not. 14.
X — 2 — p. 90 not. 12. p. 91 not. 19. p. 115 not. 20. 21. p. 131 not. 20. 21. p. 235 not. 14.

Tit. const
X 6 — p. 133 not. 7. p. 271 not. 12.
— 9 — p. 256 not. 5. 6.
— par. §.11 — p. 228 not. 56.
XI const. 5 — p. 127 not. 1.
XIV — 3 — p. 103 not. 18.
XVI — 1 — p. 34 not. 13. p. 271 not. 13.
XVIII — 2 — p. 131 not. 19. p. 238 not. 35.
— — 5 — p. 91 not. 18. p. 154 not. 8.
— — 7 — p. 154 not. 9. p. 313 not. 16.
— par. §. 7 — p. 129 not. 10. p. 313 not. 17. p. 314 not. 18. 19.
XX const. 1 — p. 134 not. 10. 11. p. 272 not. 28.

Περὶ διαφόρων ἀναγνωσμάτων.
§. 1 — p. 349 not. 23.
§. 4 — p. 124 not. 3. p. 333 not. 71. p. 349 not. 24. 25.
§. 5 — p. 191 not. 21. p. 349 not. 26.
§. 6 — p. 134 not. 13–15.
§. 7 — p. 134 not. 16.
§. 10 — p. 136 not. 2. p. 303 not. 3.
§. 11 — p. 303 not. 4.
§. 13 — p. 314 not. 26. 27.
§. 18 — p. 131 not. p. 314 not. 28.
§. 19 — p. 136 not. 1.
§. 20 — p. 349 not. 27.
§. 21 — p. 349 not. 28.

VI. Theodori Breviarium Novellarum.

Nov. 2 §. 1 — p. 72 not. 28.
— — — 5 — p. 73 not. 31.
— 22 — 27 — p. 73 not. 29.
— — — 30 — p. 73 not. 32.
— — — 43 — p. 73 not. 30.
— 53 — 11 — p. 128 not. 2. 3.
— 72 — — — p. 3 sq.
— 74 — 8 — p. 69 not. 18.
— 134 — 34 — p. 151 not. 71.

Lipsiae, typis J. B. Hirschfeld.

F. X. BEER
kgl: Hofbuchbinder
in
MÜNCHEN
Lederergasse № 25.